.2.

1
4904

S. DIONYSI.
Areopagi.

13.

BIBLIOTECA
Sala 1ª
DE LA
Universidad de Salamanca.
Est. 2 Caj. 9 Núm. 33

1ª
2.904

Num. 2. cax. 4. num. 13.

BIBLIOTECA UNIVERSITARIA - SALAMANCA -

(1) b17276M
(2) b16638724

ΤΑΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤΗΔΕ ΤΗ ΒΙ ΒΛΩ ΤΟΥ ΑΓΙΟΥ ΔΙΟΝΥΣΙΟΥ.


| | | |
|---|---|---|
| Π ερὶ τῆς οὐρανίας ἱεραρχίας. | Κεφάλαια | ιε'. |
| Π ερὶ θείων ὀνομάτων. | Κεφάλαια | ιγ'. |
| Π ερὶ τῆς ἐκκλησιαστικῆς ἱεραρχ. | Κεφάλαια | ζ'. |
| Π ερὶ μυστικῆς θεολογίας. | Κεφάλαια | ε'. |
| Ε πιστολαί. | | ι'. |
| Μ αρτύριον τοῦ ἁγίου διονυσίου. | | |


HÆC INSVNT IN HOC LIBRO SANCTI DIONYSII.


| | | |
|---|---|---|
| D e cœlesti hierarchia. | Cap. | xv. |
| D e diuinis nominibus. | Cap | xiii. |
| D e pontificali dignitate. | Cap. | vii. |
| D e mystica theologia. | Cap. | v. |
| E pistolæ. | | x. |
| M artyrium sancti Dionysii. | | |


Num. 2. cap. 4. num. 13.

BIBLIOTECA UNIVERSITARIA · SALAMANCA ·

# ΠΡΟΛΟΓΟΣ ΕΙΣ ΤΟΝ ΜΑΚΑΡΙΟΝ ΔΙΟΝΥΣΙΟΝ.

Τ Ην μὲν εὐγένειαν, τό, τε περιφανὲς ἐν βίου τῷ τοῦ μεγάλου Διονυσίου, καὶ μόνον αὐτὸ τὸ κατὰ ἀθηναίοις βουλευτήριον καθ᾽ ὃ βουλεύειν ᾑρέθη παρίστησιν. Τῶν γὰρ ἀρεοπαγιτῶν εἷς ἐτύγχανεν οὗτος· ὡς ὁ θεῖος ἐδήλωσεν λουκᾶς ἱστορῶν τὰς τῶν ἱερῶν ἀποστόλων ἱερὰς πράξεις.

Ε ἰπὼν γὰρ τὸν ἁγιώτατον ἀπόστολον παῦλον γενόμενον ἐν ἀθήναις συμβάλλοντά τε τισὶν εἰς λόγους τῶν ἐξ ἐπικούρου φιλοσόφων. καὶ τῶν γε μὴν, ἀπὸ τῆς στοᾶς. καὶ κηρύξαντα τὴν εἰς τὸν κύριον ἰησοῦν χριστὸν πίστιν, τήν τε τῶν νεκρῶν ἀνάστασιν καὶ τὴν καθολικὴν κρίσιν. συλληφθῆναι παρὰ τῶν ἀφιλοσόφων ἀχθῆναί τε κατὰ τὸν ἄρειον πάγον καὶ δημηγορήσαντα. παραχρῆμα τινὰς ἑλεῖν. καὶ πρὸς τὸ τῆς ἀληθείας μεταθεῖναι φῶς, ἐπάγει. καὶ οὕτως ὁ παῦλος ἐξῆλθεν ἐκ μέσου αὐτῶν.

Τ ινὲς δὲ ἄνδρες κολληθέντες αὐτῷ ἐπίστευσαν. ἐν οἷς καὶ διονύσιος ὁ ἀρεοπαγίτης καὶ γυνὴ ὀνόματι δάμαρις καὶ ἕτεροι σὺν αὐτοῖς.

Ε γὼ μὲν οὖν οὐδὲ μάτην ἀκούω τοῦ παρὰ πάντας τοὺς τότε πεπιστευκότας διὰ τοῦ θείου παύλου, μόνον τὸν ἄριστον διονύσιον ἐξονομασθῆναι παρὰ

τοῦ θεοφόρου συγγραφέως προστεθείσης αὐτοῦ καὶ τῆς ἀξίας.

Φησὶν γὰρ ἀρεοπαγίτης· ἐπιβάλλω δὲ μᾶλλον· ὅτι διά τε τὸ κατὰ σοφίαν περιττὸν· καὶ διὰ τὸ ἐν ἀθηναίοις ἀνεπιλήπτου πολιτείας ἔκκριτον. μνημονευθῆναι μετὰ τῆς οἰκίας αὐτοῦ. χρὴ γὰρ εἰδέναι καθ' ἃ προέφην ὡς οὐ τοῦ τυχόντος ἀνδρός ἦν· εἰς τὴν ἐξ ἀρείου πάγου βουλὴν τελεῖν· ἀλλ' οἱ παρ' ἀθηναίοις προτεύοντες ἔν τε γένει καὶ πλούτῳ καὶ βίῳ χρηστῷ καὶ κατὰ τοῦτ' ἐπίσημοι καθεστῶτες· ἐβούλευον εἰς τὴν ἐξ ἀρείου πάγου βουλήν.

Ἐκ γὰρ τῶν ἐννέα καθισταμένων ἀρχόντων τῶν ἀθήνησιν· τοὺς ἀρεοπαγίτας ἔδει, συνεστάναι δικαστὰς ὡς φησὶν ἀνδροτίων ἐν δευτέρᾳ τῶν ἀτθίδων. ὕστερον δὲ πλειόνων μὲν γέγονεν ἡ ἐξ ἀρείου πάγου βουλή· τουτέστιν ἐξ ἀνδρῶν περιφανεστέρων πεντήκοντα καὶ ἑνός, πλὴν ἐξ εὐπατριδῶν ὡς ἔφημεν καὶ πλούτῳ καὶ βίῳ σώφρονι διαφερόντων ὡς ἱστορεῖ φιλόχωρος διὰ τῆς τρίτης τῶν αὐτοῦ ἀτθίδων.

Ἔξω δὲ τῆς πόλεως ἦν τὸ κατὰ ἄρειον πάγον δικαστήριον κληθὲν οὕτω καθ' ἃ μυθολογοῦσιν ἀθηναῖοι, ἐκ τῆς κατ' αὐτὴν τὴν ἐξοχὴν τοῦ κατὰ τὴν πόλιν ὄρους συστάντος δικαστηρίου μεταξὺ ποσειδῶνος καὶ ἄρεος.

Ὁ γὰρ ποσειδῶν δίκην εἶπεν πρὸς ἄρεα κατὰ τοὺς ἀρχαίους μύθους παρ' ἀθηναίοις· ἐν τῷ τόπῳ τούτῳ φάσκων ἀναιρεθῆναι τὸν ἴδιον υἱὸν ἁλιρρόθιον ὑπὸ ἄρεως· κἀκεῖθεν ἐξ ἄρεως ὁ πάγος ἐκεῖνος ἄρειος ἐκλήθη.

Ἐδίκαζον οὖν οἱ ἀρεοπαγῖται περὶ πάντων σχεδὸν τῶν σφαλμάτων καὶ παρανομιῶν ὡς ἅπαντά φασιν ἀνδροτίων ἐν πρώτῃ καὶ φιλόχωρος ἐν δευτέρᾳ καὶ τρίτῃ τῶν ἀτθίδων.

Διὰ δὲ τοῦτο ἅτε καινῶν δαιμονίων καταγγελέα τὸν θειότατον παῦλον ὡς ἱστόρησεν ὁ φιλαλήθης λουκᾶς· οἱ τῆς ὑπὸ θεοῦ μωρανθείσης σοφίας ἐρασταὶ· πρὸς τὴν ἐξ ἀρείου πάγου βουλὴν ἕλκουσιν.

Ἀλλ' ἐν τοῖς ἀρεοπαγίταις τηνικαῦτα χρόνου βουλευόντων· ἅτε δικαστὴς ἀκλινέστατος ὁ πάμμεγας διονύσιος· ἀδέκαστον ἀπένειμεν τῇ κατὰ τὸν πνευματοφόρον παῦλον ἀληθείᾳ τὴν ψῆφον ἐρρῶσθαί τε πολλὰ φράσας τῇ τῶν ἀρεοπαγιτῶν ἀνοήτῳ σεμνότητι· τὸν ἀληθῆ καὶ πανεπίσκοπον κριτὴν ἐννοήσας χριστὸν ἰησοῦν· τὸν τοῦ θεοῦ καὶ πατρὸς υἱὸν μονογενῆ καὶ λόγον ὃν ὁ παῦλος ἐκήρυξεν· εὐθὺς εἴχετο τοῦ φωτός. καὶ γὰρ ῥωμαῖοι καὶ τότε ἐκράτουν· ἀλλ' οὖν αὐτονόμους ἀφῆκαν ἀθήνας καὶ λακεδαίμονας· ὅθεν ἔτι παρὰ ἀθηναίοις καὶ τὰ κατὰ τοὺς ἀρεοπαγίτας ἐπολιτεύετο.

Καὶ τελεῖται μὲν ἅπαντα τῆς σωτηρίας τὰ δόγματα· διὰ παύλου τοῦ κρατίστου· παιδαγωγεῖται δὲ διδασκαλικῶς ὁ διονύσιος· ὑπὸ ἱεροθέῳ τῷ μεγίστῳ καθ' ἅ φησιν αὐτός.

Εἶτα καθίσταται κατὰ τὸ φερόμενον ἐν ἑβδόμῳ βι-

βλίῳ τῶν ἀποστολικῶν διαταγμάτων ὁ Διονύσιος ἐπίσκοπος ὑπὸ Παύλου τοῦ χριστοφόρου τῶν Ἀθήνησιν ἐπιστάντων.

Εἰ δὲ τὴν ὀρθότητα καὶ πολυμάθειαν ἀποθαυμάσαι τοῦ Διονυσίου, τὸν ἀληθῶς διὰ πολλῆς ἡγμένον ἐπιστήμης τῶν ἀνεπιλήπτων τῆς ἐκκλησίας παραδόσεων· θεάσασθαί τε τὰ παρὰ τοῖς Ἑλλήνων φιλοσόφοις νόθα δόγματα πρὸς τὴν ἀλήθειαν μετηγμένα· ἐλεῆσαι γάρ ἐστι μᾶλλον καὶ συναλγῆσαι τῆς ἀπροσεξίας τοὺς ὀλιγώρους τῆς εὐπαιδευσίας ἐξεταστάς· ὅτι τῇ σφῶν ἀμαθίᾳ συμμετροῦσι καὶ τὰς τῶν ἑξῆς ἀνθρώπων φιλομαθεῖς εὐθυμοσύνας.

Ἐντυγχάνοντες οὖν οἱ τοιοῦτοι συγγράμμασιν ἐνίων· καὶ τυχὸν οὐ παρακολουθοῦντες τῇ τῶν λεγομένων διανοίᾳ· πρὸς ἀδιάκριτον εὐθὺς ἐκφέρονται τοῦ συγγραφέως διαβολήν.

Καίτοι γε παντελῶς οὐ δυνάμενοι τὰ σκόμματα διευθύνειν τε καὶ διελέγχειν ἅ φασιν· αὐτὸ δέον αὐτῶν σφᾶς αὐτοὺς τρέπειν τὴν ὀργὴν καὶ μᾶλλον ἀχάλλειν ὅτι μὴ σπουδάσαντες ἔγνωσαν καὶ αὐτοὶ τὰ περιγνῶσιν ἠνιγμένα· ἤ τ' ἀληθές· ὅτι μὴ πρὸς τοὺς ἱκανοὺς περὶ τὰ τοιαῦτα φιλομαθῶς γεγονότες· τῶν ἀπορημάτων ἀπελύθησαν· ἀλλὰ τολμῶσί τινες λοιδορεῖν ὡς αἱρέσεως τὸν θεῖον Διονύσιον καθάπαξ καὶ τὰ τῶν αἱρετικῶν ἀγνοοῦντες· ἢ γὰρ ἂν ἐξ ἑκάστου τῶν κατακεκριμένων ἐν τοῖς αἱρετίζουσι συγκρίνοντες τὰ παρὰ τούτων δόγματα· πολλῷ τε φλαύρων ἀφεστηκότα διεγίνωσκον καθ' ὅσον φῶς ἀληθὲς καὶ σκότος.

Τί γὰρ εἴποιεν ἐν τοῖς περὶ τῆς μόνης προσκυνητῆς τριάδος θεολογουμένοις παρ' αὐτῷ.

Τί δὲ περὶ τοῦ τῆς παμμακαρίας ταύτης τριάδος ἑνὸς Ἰησοῦ Χριστοῦ τοῦ μονογενοῦς θεοῦ λόγου τελείως ἐνανθρωπῆσαι θελήσαντος· οὐχὶ ψυχὴν ἔννουν καὶ σῶμα τὸ καθ' ἡμᾶς γήϊνον διεξῆλθεν καὶ τὰ λοιπὰ ἅπαντα ὅσα τοῖς ὀρθοῖς ἐντέτακται διδασκάλοις.

Τί δὲ περὶ νοητῶν καὶ νοερῶν καὶ τῶν αἰσθητῶν μέμψαιτ' ἄν τις εἰκότως· ἢ περὶ τῆς καθολικῆς ἡμῶν ἀναστάσεως τῆς μετὰ σώματος τοῦ καθ' ἡμᾶς καὶ τῆς ἡμῶν ψυχῆς γενησομένης· καὶ περὶ τῶν τότε δικαιωτηρίων· δικαίων τε καὶ τῶν μὴ τοιούτων· εἰς ταῦτα γὰρ συλλήβδην εἰπεῖν ἡ καθ' ἡμᾶς ἀφορᾷ σωτηρία· ἅτινα τελέως διεξελθεῖν οὐ δίκαιον· τῆς τῶν σχολίων ἐξηγήσεως ἅπαντα κατὰ καιρὸν τῶν σημαινομένης· πρὸς οὓς λεκτέον· ὡς πάμπολλα παρῆκεν Εὐσέβειος οὐκ ἐλθόντα περὶ χεῖρας οἰκείας.

Καὶ γὰρ οὔτε φησὶν ἅπαντα καθάπαξ συνηγιοχέναι· μᾶλλόν γε μὴν ὁμολογεῖ καὶ ἀριθμοῦ κρείττονα βιβλία καθεστάναι· μηδαμῶς εἰς αὐτὸν ἐληλυθότα· καὶ πολλῶν ἐδυνάμην μνημονεῦσαι μὴ κτηθέντων αὐτῷ· καὶ ταῦτα τῆς αὐτῶν χώρας ὡς

ὑμεναίου καὶ ναρκίσσου τῶν ἱερασαμένων ἐν ἱερο
σολύμοις.

Ε γὼ γοῦν ἐνέτυχόν τισι τῶν ὑμεναίου. καὶ μὴν οὔτε
παντένου τοὺς πόνους ἀνέγραψεν. οὔτε τοῦ ῥω
μαίου κλήμεντος. πλὴν δύο καὶ μόνων ἐπιστολῶν.
ἀλλ' οὔτε πλειόνων ἑτέρων. ὁ γὰρ ὠριγένης. οὐκ οἶ
δα εἰ πάντων. μόλις δέ τε παρ' ὧν ἐμνήσθη.

Δ ιάκονος δέ τις ῥωμαῖος πέτρος ὄνομα. διηγήσατό
μοι. πάντα τὰ τοῦ θείου διονυσίου σώζεσθαι. κατὰ
τὴν ἐν ῥώμῃ τῶν ἱερῶν βιβλιοθήκην ἀνατεθειμένα.

Γ ράφει δὲ τὰ πλεῖστα. πρὸς τὸν τρισμακάριον τι
μόθεον τὸν τοῦ παύλου φοιτητὴν ἐφεσίων ἐπίσκο
πον ὑπὸ τῶν κατὰ τὴν ἔφεσον τῆς ἰωνικῆς φιλο
σοφίας προεστώτων ὡς εἰκὸς πάσχοντα πράγμα
τα. καὶ πυνθανόμενον ὡς ἀδήμωνος τῆς ἔξω περι
κῆς φιλοσοφίας ἵνα καὶ μᾶλλον ἀγωνίζοιτο, καὶ
οὐδὲν ἀπεικός.

Ε πεὶ καὶ ὁ θεοφιλὴς ἀπόστολος παῦλος. ταῖς ἑλ
λήνων ἐχρήσατο ῥήσεσιν. ταῦτα ἀκούων τυχόν.
παρὰ τῶν συνόντων αὐτῷ. τῆς ἑλληνικῆς φιλοσο
φίας ἐμπείρων.

Σ υνίστησι δὲ καὶ τοῦτο διονυσίου ταῦτα φιλαληθῶς
τὰ συγγράμματα καθεστάναι. τὸ γὰρ ἀνεπιτηδεύ
τως μνημονεύειν αὐτὸν ῥήσεων τῶν συνακμασάν
των αὐτοῖς ἀνδρῶν. ὧν αἵ τε θεῖαι τῶν ἀποστόλων
μνημονεύουσι πράξεις. καὶ παύλου τοῦ θεοφιλοῦς
αἱ πολυωφελεῖς ἐπιστολαὶ τὸ τῶν συγγραμμά

των ἀσκευώρητον ἀποφαίνουσιν. μάλιστα δὲ πάντων.
τὸ τῶν δογμάτων ἀσφαλέστατον.

Ε ξηγητικῶν μὲν οὖν ὑπομνημάτων. ὡς ὅτι μάλιστα
διεξοδικωτάτων ἐδεῖτο πρὸς ἑρμηνείαν τῆς αὐτοῦ
πολυμαθείας. πλὴν κεφαλαιωδέστερον διὰ σχο
λίων τὰ φανέντα μοι. θεῷ πεποιθὼς παρα
τέθεικα. καὶ τοὺς ἑξῆς παρακειμέ
νοις λόγους. οὕς πως εἰς τὰς
ἡμᾶς ἐλθεῖν συμβέβη
κε χεῖρας.

# ΣΧΟΛΙΑ.

ἰ Στέον ὡς τινὲς τῶν ἔξω φιλοσόφων· καὶ
μάλιστα πρόκλος· θεωρήμασι πολλάκις
τοῦ μακαρίου διονυσίου κέχρηται· καὶ
αὐταῖς δὲ ξηραῖς ταῖς λέξεσι· καὶ ἔστιν
ὑπονοῆσαι ἐκ τούτου λαβεῖν· ὡς οἱ ἐν ἀθήναις παλαι
οὶ περὶ τῶν φιλοσόφων· σφετερισάμενοι τὰς αὐτοῦ
πραγματείας· ὡς ἐν τῇ παρούσῃ ἀπομνημονεύει
βιβλίῳ ἀπέκρυψαν· ἵνα πατέρες αὐτοὶ ὀφθῶσι τῶν
θείων αὐτοῦ λόγων καὶ κατ' οἰκονομίαν θεοῦ· νῦν
ἀνεφάνη ἡ παροῦσα πραγματεία πρὸς ἔλεγχον
τῆς αὐτῶν κενοδοξίας καὶ ῥαδιουργίας· καὶ ὅτι συ
νηθὲς αὐτοῖς τὰ ἡμέτερα σφετερίζεσθαι· διδάσκει
ὁ θεῖος βασίλειος· εἰς τὸ ἐν ἀρχῇ ἦν ὁ λόγος· ἐπ' αὐ
τῆς λέξεως οὑτωσὶ λέγων· ταῦτα οἶδα πολλοὺς
τῶν ἔξω λόγου τῆς ἀληθείας μεγάλα φρονοῦντας
ἐπὶ σοφίας κοσμικῇ· καὶ θαυμάσαντας· καὶ τοῖς
ἑαυτῶν συντάγμασιν ἐγκαταλέξαι τολμήσαντας.
κλέπτης γὰρ ὁ διάβολος καὶ τὰ ἡμέτερα ἐκφερομυ
θῶν, πρὸς τοὺς ἑαυτοῦ προφήτας· καὶ οὗτος μὲν οὕτως·

Τ ὰ δὲ νουμηνίου τοῦ πυθαγορικοῦ προφανῶς λέγον
τος· τί γάρ ἐστι πλάτων, ἢ μωσῆς ἀττικίζων, οὐδεὶς
ἀρνήσασθαι δύναται· οὐχ ἡμετέρου ἀλλὰ τῶν ἐναντί
ων ὄντος· ὡς μαρτυρεῖ καὶ εὐσέβειος ὁ τῆς παλαι
στινῶν καισαρείας καθηγησάμενος· ὅπου νῦν μό
νον· ἀλλὰ καὶ πρὸ τῆς χ̅ῦ παρουσίας σύνηθες τοῖς

τῆς ἔξωθεν σοφίας τὰ ἡμέτερα κλέπτειν· ἐπειδὴ
δέ τινες φασίν, μὴ εἶναι τοῦ ἁγίου τὸ σύγγραμμα·
ἀλλά τινος τῶν μεταγενεστέρων· ἀνάγκη αὐτοῖς καὶ τῶν
ἀπηγορευμένων τινὰ καὶ ἄτοπον αὐτὸν τιθέναι κα
ταψευδόμενον τοιαῦτα ἑαυτοῦ, ὡς συνῆν τοῖς ἀπο
στόλοις καὶ ἐπέστελλεν· οἷς οὐδὲ συνεγένετο ποτὲ
κατ' αὐτοὺς, οὐδὲ ἐπέστειλεν.

Τ ὸ δὲ καὶ πλάσασθαι προφητείαν πρὸς τὸν ἀπόστο
λον ἰωάννην ἐν ἐξορίᾳ ὄντα· ὡς ἐπανήξειν πάλιν εἰς
τὴν ἀσιατίδα γῆν καὶ τὰ συνήθη διδάξει· τοῦτο τε
ρατολόγου ἀνδρὸς καὶ προφήτου δόξαν ἐκμανῶς
θηρευομένου· τὸ δὲ καὶ λέγειν αὐτὸν ἐν αὐτῷ τῷ και
ρῷ· τοῦ σωτηρίου πάθους· ἐν ἡλίου πόλει συνόντα·
ἀπολλοφανεῖ θεωρεῖν καὶ συμφιλοσοφεῖν περὶ τῆς
ἡλιακῆς ἐκλείψεως· ὡς οὐ κατὰ φύσιν οὐδὲ κατὰ
τὸ ἦθος τότε γεγενημένης· λέγειν δὲ αὐτὸν καὶ πα
ρεῖναι σὺν τοῖς ἀποστόλοις τῇ προκομιδῇ τοῦ ἁγίου
λειψάνου τῆς ἁγίας θεοτόκου μαρίας· καὶ χρήσεις
προφέρειν ἱεροθέου τοῦ ἰδίου διδασκάλου ἐκ τῶν
εἰς αὐτὴν ἐπιταφίων λόγων· πλάττεσθαι δὲ καὶ ἐπι
στολὰς καὶ λόγους ὡς πρὸς τοὺς μαθητὰς τῶν ἀπο
στόλων ἐκφωνηθέντας· τόσης ἀτοπίας καὶ κατα
γνώσεως ἄξιον· καὶ τῷ τυχόντι ἀνθρώπῳ, μήτιγε
δὴ ἀνδρὶ τοσοῦτον ἀνηγμένῳ· κατά τε ἦθος καὶ
γνῶσιν· ὑπεραίρειν τὰ αἰσθητὰ πάντα· καὶ τοῖς νοε
ροῖς συνάπτεσθαι κάλλεσιν· καὶ δι' αὐτῶν ὡς ἐφι
κτὸν θεῷ.

Ἐπισκεπτέον ὅτι καὶ ἑτέρων αὐτοῦ πραγματειῶν μνήμην ποιεῖται ἐν τῇδε τῇ βίβλῳ οὕτως· ἐκ τοῦ περὶ θείων ὀνομάτων κεφαλαίου β΄.

Τοῦτο μὲν οὖν καὶ ἐν ἄλλοις ἐξετασθὲν ἡμῖν ἀποδέδεικται· τὸ πάσας ἀεὶ τὰς θεοπρεπεῖς θεωνυμίας οὐ μερικῶς καὶ τὰ ἑξῆς, καὶ μετ' ὀλίγα.

Τούτων ἡμῖν βραχέως μὲν ἐν τούτοις καὶ μερικῶς· ἐν ἄλλοις δὲ ἱκανῶς ἐκ τῶν λογίων ἀποδεδειγμένων. καὶ μεθ' ἕτερα ἐν τῷ τετάρτῳ κεφαλαίῳ.

Καὶ ὅσα ἄλλα εἴρηται πρὸς ἡμῶν ἐν τῷ περὶ ἀγγελικῶν ἰδιοτήτων· καὶ πάλιν

Καὶ ὅσα ἄλλα εἴρηται πρὸς ἡμῶν ἐν τοῖς περὶ ψυχῆς· καὶ ἐπὶ τέλει τοῦ αὐτοῦ κεφαλαίου δ΄.

Ἀλλὰ ταῦτα μὲν ἡμῖν ἐν τούτοις περὶ δικαίου καὶ θείου δικαιωτηρίου κατὰ δύναμιν ἱκανῶς εἰρήσθω.

Ἐκ τοῦ περὶ τῆς οὐρανίας ἱεραρχίας κεφαλαίου ζ΄ περὶ τὸ τέλος.

Ταύτας δὲ τὰς ὑπερτάτας τῶν ὑπὲρ οὐρανίων νοῶν ὑμνολογίας· ἤδη μὲν ἐν τοῖς περὶ τῶν θείων ὕμνων ὡς ἐφικτὸν ἀνεπτύξαμεν.

Ἐκ τοῦ περὶ τῆς ἐκκλησιαστικῆς ἱεραρχίας λόγου, μετ' ὀλίγα τῆς ἀρχῆς.

Ἀλλὰ ταῦτα μὲν ἡμῖν ἐν τῇ περὶ νοητῶν τε καὶ αἰσθητῶν πραγματείᾳ διεξοδικώτερον εἴρηται· καὶ μετ' ὀλίγα πάλιν περὶ τῆς αὐτῆς πραγματείας λέγει.

Ἐν δὲ τῷ περὶ μυστικῆς θεολογίας κεφαλαίῳ γ΄. ἄρχεται οὕτως· ἐν μὲν οὖν ταῖς θεολογικαῖς ὑποτυπώσεσι· τὰ δὲ ὑμνήσαμεν. καὶ μεθ' ἕτερα.

Ἐν δὲ τῇ συμβολικῇ θεολογίᾳ τὰ δὲ καὶ τὰ δέ.

Οὗτος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Διονύσιος· εἴωθε λέγειν· τελετάς· ἱεροτελετάς· τελετάρχας· μυσταγωγούς· τελεστικούς· τελεσιουργούς· ἱεράρχας· προηγουμένως τὸν Χριστόν· ἑπομένως δὲ Παῦλον καὶ τοὺς λοιποὺς ἀποστόλους· καὶ τοὺς τούτοις ὑφηγησαμένους· τούς τε πατριάρχας· καὶ ἀρχιεπισκόποις· καὶ μητροπολίτας καὶ ἐπισκόποις.

Ἱερεῖς δὲ καὶ φωτιστικοὺς καὶ ἱερουργοὺς, τοὺς πρεσβυτέρους· λειτουργοὺς δὲ καὶ καθαρτικοὺς, τοὺς διακόνοις· θεραπευτάς, τοὺς διακόνοις καὶ ὑποδιακόνους· καὶ τοὺς ἐνιαίους· μοναχούς· ὧν τινῶν μοναχῶν τὴν τάξιν· πασῶν τῶν τελουμένων τάξεων ὑψηλοτέραν εἶναι φησίν, καὶ ὑπὸ τῆς ἱερᾶς θεσμοθεσίας ἀφιερωτικῆς ἠξιῶσθαι ἐπικλήσεως· οὐχ ἱερατικῆς.

Οὐ γὰρ ὑπὸ ἱεράρχου φησὶν αὐτοῖς τελεσιουργεῖσθαι· ἀλλ' ὑπὸ τῶν ἱερέων δευτέρως ἱερουργεῖσθαι εἰς τὴν μοναχικὴν τελείωσιν.

## ΕΡΜΗΝΕΙΑ ΛΕΞΕΩΝ ΚΑΤΑ ΣΤΟΙ-
## χεῖον ἐμφερομένων τῷδε τῷ βιβλίῳ.

| | |
|---|---|
| ἀγάμενος | θαυμάσας, ἐκπλαγείς. |
| ἄγαν | πάνυ. |
| ἀγεννῶς | ἀσθενῶς, ἀνάνδρως. |
| ἁγιστεία | ἁγιασμὸς, κάθαρσις. |
| ἄγκυλον | σκολιόν. δυσχερές. ποικίλον. |
| ἀγκυλόχειλον | σκολιόχειλον. |
| ἀγλαΐα | λαμπρότης. |
| ἄγνωτες | ἄγνωστοι. ἀνεπιστήμονες. ἀμαθεῖς |
| ἀδέκαστος | δίκαιος. ἀδωροδόκητος. ἀπροσω-<br>πόληπτος. ὀρθός. |
| ἄδυτα | τὰ ἐνδότατα. ἅγια. ἀποκρυφό-<br>τερα. |
| ἀδρανῶς | ἀσθενῶς. |
| ἀθυρόντων | παιζόντων. |
| ἀθύρματα | παίγνια. |
| αἴγλη | λαμπηδών. |
| αἶσχος | ῥύπος. μίασμα. |
| ἀκρεφνὲς | καθαρόν. διαυγές. τέλειον. ἄ-<br>θικτον. |
| ἀκηλίδωτον | καθαρόν. ἄρυπον. |
| ἀκμὴ | νεότης. |
| ἅλις | ἀρκούντως. ἱκανῶς. |
| ἁλῶναι | ληφθῆναι. |

| | |
|---|---|
| ἀμάλθακτον | ἀνένδοτον· ἑδραίαν· ἰσχυράν· παγίαν βεβηκυῖαν. |
| ἀμείλικτον | ἀπαρακάλυτον· ἀπαρέγκλιτον. |
| ἀμβλωθρίδια | τὰ ἐξημβλωμένα ἔμβρυα. |
| ἀμοιβαίοις | ἀνταλλαττομένοις. |
| ἀμυδρῶς | ἀσθενῶς· λεπτῶς· οὐ σαφῶς· ἀλάμπως. |
| ἀμυήτους | ἀμαθεῖς κατηχητούς· ἀνεπιστήμονας. |
| ἀμφοῖν | τοῖς δύο ἢ ἀμφοτέροις. |
| ἄμφω | ἑκατέρωθεν· ἀμφοτέροις. |
| ἀμαυρά | ἀσθενής· ἀλαμπής· ἀτράνωτος· σκοτεινή. |
| ἄναντες | πρόσω· ἄνω· ἐπὶ τὸ προκείμενον. |
| ἀνακτόροις | βασιλείοις. |
| ἀναπαῦλαι. | ἀνάπαυσιν. |
| ἀνάπτυξις | διασάφησις. |
| ἀνακάθαρσις | διάνυξις· διασάφησις· ἐπίλυσις· διευκρίνησις. |
| ἀνίερος | βέβηλος· αἰσχρός. |
| ἀνιόντων | ὀδυνόντων· λυπούντων. |
| ἀντερεῖ | ἀντιλέξει. |
| ἀντωπεῖν | ἀντιβλέπειν· ἀντοφθαλμεῖν. |
| ἀντιπεπονθότως | ἀντικειμένως· ἐναντίως. |
| ἀολλῆ ποιεῖ | συνηθροισμένα ἡνωμένα. |
| ἀπαναίνεσθαι | ἀπαρνεῖσθαι. |

ἀπερ

| | |
|---|---|
| ἀπερράπισεν | ἀπεφίμωσεν· ἐπεστόμησεν ἢ ἀπερρίπισεν· ἀπήλασεν· ἀπεδίωξεν. |
| ἀπερισάλπιγκτοι | ἀπερίηχητοι· ἀκατήχητοι. |
| ἀπεμφαίνει | ἀπέοικεν. |
| ἀπεφθεγμάτισαν | ἀπεφθέγξαντο. |
| ἀπήμονα | ἀβλαβῆ. |
| ἀπόχρη | ἐξαρκεῖ. |
| ἀπόφανσις | λόγος ἀποφαντικός. |
| ἀπόφασις | ἀπόφασις τινὸς ἀπό τινος. |
| ἀποφάσκει | ἀπαγορεύει ἢ ἀποφαντικῶς ἀγορεύει ἤτοι διαγορεύει. |
| ἀποδεόντων | ἀπολειπομένων. |
| ἀποπερατοῦσαι | συμπληροῦσαι· συμπεραιοῦσαι. |
| ἀραρότως | ἁρμοζόντως ἢ παγίως· ἑδραίως |
| ἀρρενωπόν | ἄθελκτον· ἀθήλυντον· ἀνδρεῖον ἀνένδοτον· ἀπαρέγκλιτον ὑφέσει πάσῃ. ἰστέον δὲ ὡς ἐπὶ γυναικῶν ἀνδριζομένων ἢ ἀρρενοφανῶν εἴρηται. |
| ἀρωγός | βοηθός. |
| ἀσμένως | περιχαρῶς· ἡδέως. |
| ἄττα | τινὰ ἢ ἅτινα ἢ παραπλήσια. |
| ἀτιθάσσων | ἀνημέρων. |
| αὖ | δὴ ἢ πάλιν |
| αὖθις | παραυτὰ ἢ εὐθέως ἢ πάλιν. |
| βάναυσος | πᾶς τεχνίτης· διὰ πυρὸς ἐργαζόμενος. |
| Γανυμένη | εὐφραινομένη, ἢ χαίρουσα. |

b

| | |
|---|---|
| γαργαλίζοντας | ἐπὶ τὸ ἡδέως καταπίσειν προτρεπομένους. |
| γενικῶς | γενναίως. |
| γέρα | τιμαί· ἀμοιβαί· ἀνταποδόσεις. |
| δαῖτας | εὐωχίας· ἀρίστας τροφάς. |
| δειδιττόμενος | ἐκφοβῶν. |
| δειμάτων | φόβων. |
| δεινοὶ | σοφοὶ ἔμπειροι. |
| διευκρινηθείη | εὐδιακριθείη· εὐδιορίστως καὶ σαφῶς διατρανωθείη. |
| διειδέστατον | διαφανέστατον· καθαρώτατον· διαυγέστατον· λαμπρόν. |
| διεῖσα | διεῖσα λάμπουσα· διϊσοῦσα· διεισβάλλουσα· τοῖς διειδεστάτοις ἤτοι διαφανεστάτοις. |
| διαπορθμεύεται | διακομίζεται· διαπερᾷ· διατυποῦται. |
| διάμετρον | τὸ ἀπὸ πέρατος εἰς πέρας κατὰ πλάτος διάστημα. |
| δόρατα | ξίφη· ὅπλα. |
| δράσει | ἐνεργήσει· πράξει. |
| δραστηρίως | ἐνεργῶς ἐργαστικῶς. |
| δρώμενα | ἐνεργούμενα· πραττόμενα. |
| ἐκφαντορία | ἔκφανσις· φανέρωσις. |
| ἐλάτειραν | ἀπελαστικὴν ἐκδιώκτειραν. |
| ἐμφερείας | ὁμοιότητος. |
| ἐναπομόργνυνται. | ἐναποτυποῦνται. |

| | |
|---|---|
| ἐναρμόνιον | ἐμμελές· πρόσφορον. |
| ἐναγεστάτη | ῥυπαρωτάτη. |
| ἐνὴν | δυνατὴν· ἐνδεχομένην. |
| ἐν κόσμῳ | ἐν εὐκοσμίᾳ. |
| εἰκῆ | ματαίως. |
| εἰκὸς | πρέπον· δέον· ἀκόλουθον. |
| εἰκαιολογῆσαι | ματαιολογῆσαι. |
| εἰκαῖον | μάταιον. |
| εἶναι θεῖος | ὑπάρχειν· γεγενῆσθαι διὰ τοῦ βαπτίσματος. |
| εἴ τῳ | εἴ τινι. |
| εἰ δέ τῳ | εἰ δέ τινι. |
| ἐκτετικότες | ἀποδεδωκότες. |
| ἐξιωμένους | ἰωμένους· ἰατρεύοντας. |
| ἐπίπροσθεν | ἔμπροσθεν· πρὸ τοῦ θυσιαστηρίου. |
| ἐπιφοίτησις | ἐπέλευσις· παρουσία. |
| ἐρῶν | ἐφιέμενος· ἐπιθυμῶν. |
| ἐρῶν | φήσων λέξων. |
| εὔρυνον | πλάτυνον. |
| εὐρώστως | ὑγιῶς |
| εὐεικτὰ | εὐπειθῆ. |
| ἑστιάσεις | εὐωχία· εὐφροσύνη· χαρά. |
| ἐστέφθη | ἐνταῦθα ἀντὶ τοῦ ἐσεβάσθην· ἐτίμησεν· ἐθαύμασεν· ἐξεπλάγη· εἴρηται καὶ ἀντὶ τοῦ ἡσύχασεν· ᾐσχύνθη. |
| ἔφεσις | ἐπιθυμία. |
| ἐφικτὸν | καταληπτόν. |
| ἐφετὸν | ἐξόν. |

| | |
|---|---|
| ἀθυμοσύνας | ἀθέτους καὶ ἀσχήμοις· δημιουργίας ἢ τὰς ἀνεχούσας τάξεις καὶ ἕξεις |
| ἑῷον | πρωϊνόν· ἀνατολικόν· |
| ἢ· ὅτε διασύνεται καὶ περιπατεῖται. ἀντὶ τοῦ ὡς· καὶ καθό. | |
| ἡβῶσαν | ἀκμάζουσαν· νεάζουσαν· |
| ἡγήσοιτο | προηγήσοιτο· |
| ἡττόνων | ὑποδεεστέρων· |
| θεοειδές | τὸ κατ᾽ εἰκόνα λέγει· |
| θεογενεσίαν | τὸ βάπτισμα· |
| θεοῤῥημοσύνη | τοῖς θείοις ῥήμασι τῇ θείᾳ διδασκαλίᾳ τῇ κατηχήσει· |
| θεωρός | θεωρητική· |
| θεμιτόν | ἔννομον δίκαιον· |
| θειασῶται | χορευταί· οἱ τὰ θεῖα ᾄδοντες· |
| ἰδιαίτερον | ἰδικώτερον ἰδίως προσειρημένον· |
| ἵδρυσις | ἑδραίωσις ἀσφάλεια. |
| ἵλεω | ἱλασμός· |
| ἵλεως | ἱλαρός· εὐμενής· |
| ἴνδαλμα | φαντασία· ἀφομοίωμα· |
| ἴσχει | ἐνταῦθα κατέχει· |
| ἴτω | ἰέτω· ἐρχέσθω· |
| ἰταμοί· | ἀναίσχυντοι· ἀναιδεῖς· |
| κακεργέτησιν | κακοεργοῖς· |
| κατάφασις· | λόγος καταφατικός· |
| κατάφασις· | ἀπόφασις τινὸς κατά τινος· |
| κατὰ τῆς κόῤῥης | κατὰ τῆς σιαγόνος κατὰ τοῦ κροτάφου κατὰ τῆς κορυφῆς· |
| κατακάθετον | τὸ ἀπὸ ὕψους εἰς βάθος διάστημα |
| καταδεῖται | καταδεσμεῖται· |
| καταδάρθη | κατεκλίθη ἐκαθεύδησεν· ὕπνωσεν |
| κηλίς | μῶμος· μομφή· |
| κλεινός | ἔνδοξος ἀρετῇ· |
| κλείθροις | κλειδώμασιν· |
| κραιπάλη | ὁ ἐκ πολλῆς οἰνώσεως ἐπακολουθῶν παλμὸς καὶ κλόνος τῷ κρανίῳ ἤγουν τῇ κάρᾳ. |
| λῆξιν | συμπλήρωσιν· συμπεραίωσιν· |
| λοξά | σκολιά· καμπύλα· οὐκ ἐξ εὐθείας γινωσκόμενα· |
| μαρμαρυγαί | λαμπηδόνες· |
| μαιευόμενοι | λοχευόμενοι· ἀναγόμενοι· τρεφόμενοι· |
| μέθη | ἡ ἐκ πολλῆς οἰνώσεως· οἷον μετάπνεξις τοῦ ἡγεμονικοῦ· |
| μίθρου | τοῦ ἡλίου· |
| μυσταγωγία | μυστηρίων ἀγωγὴ διδασκαλία, καὶ μετουσία, ἡ μυήσεως ἀγωγὴ καὶ μετάληψις δηλαδὴ θεία· |
| μύησις | μάθησις· κατήχησις· ἐπιστήμη· |
| μυχῶν | τόπων σκοτεινῶν καὶ κρυπτῶν· |
| ὁμογώτα | ὁμογενῆ· γνήσια· φίλα· |
| ὀνίνησιν | ὠφέλλει· |
| οἷοι | δυνατοί· |
| οἶμον | ὁδόν· |

οὐκ ἀθδύσας· οὐκ ἀπρεπεῖς οὐκ ἀλλοτρίας οὐκ
ἐναντιουμένας·
οὐκ ἀπεικότως οὐ παρὰ τὸ πρέπον·
οὐκ ἄπο· οὐ πόῤῥω· οὐκ ἔξω·
οὐκ ἐξορχήσει οὐκ ἐπιδεικτικῶς· οὐδὲ θεατρικῶς
δημοσιεύσεις·
ὀλβίου πλουσίου·
ὀπαδῶς ἀκολούθως·
ὀῤῥωδῶ φοβοῦμαι·
πάμπαν παντελῶς·
περιουσία περιουσία πλεονασμός· ὑπεροχή·
ἀσύγκριτος οὐσία·
περιπεζίας ἐπιβάτης πεζευτὴς καταλείπης·
περιχέον ἀποτελοῦν·
περιφῦς περιπλακείς·
προεπηλάκιζες ὕβριζες·
προϊοῦσα προερχομένη·
προνάουσα προέχουσα·
πρὸς ἕω· πρὸς ἀνατολάς·
προσεχὴς ἀκλινῶς καὶ ἀνεπιστρόφως ἑαυ/
τῆς καὶ τῶν ἑαυτῆς θεωρός·
πρωτουργὸς προτοεργός·
πήσεται παθὴ ὑποστήσεται·
παλέοις ὡς διὰ ψαλαίοις εἴρηται ἐπὶ ποιοῖς
πόσιν ἰδίως· ὄφεσι τοῖς κατὰ ἱερι/
χῶ μάλιστα εὑρισκομένοις· ἐξ ὧν
ἰατροὶ ὡς τὰ πολλὰ τὴν θηρια/

κὴν σκευάζουσιν· οὕτως ἀντιθέ/
τως τούτοις ἐνταῦθα ἁπλῶς τί/
θεται ἀντὶ τῶν παλαιοῖς τουτέστιν πα/
νομένοις προσμένοις λιπαροῖς πλου/
σίοις ἅμα καὶ ὑπερεκχυνομένοις
καὶ κορεστικοῖς·
πτοιὰν φόβον πτόησιν·
ῥᾶον εὐχερὲς εὔκολον·
ῥαστώνην εὐχέρειαν εὐκολίαν·
Σεφθείημεν σεβασθείημεν· τιμήσοιμεν· θαυ/
μάσοιμεν· ἐκπλαγείημεν·
στέρνα στήθη·
συμπτύσσει συγκλείει· συνάγει· ἑνοῖ·
σύμβολον αἰσθητόν τι, ἀντὶ νοητοῦ παραλαμ/
βανόμενον· οἷον ἀντὶ τῆς ἀΰλου
καὶ θείας τροφῆς καὶ εὐφροσύνης
ἄρτος καὶ οἶνος καὶ ὅσα τοιαῦτα·
συνελὼν συλλαβὼν συναγαγών·
συλλήβδην συνειλημμένως ὑφ᾽ ἕν, ὁμοῦ·
ταύτῃ οὕτως·
ταύτην ὁμοίαν ἴσην τὴν αὐτήν·
τελετὴ μυστηρίων ἐπιτέλεσις· τελείωσις·
τελεταρχία τῶν τελετῶν, ἢ τῶν τελουμένων
ἄρχουσα·
πότε ἀντὶ τοῦ πότε·
ὕας χοίρους·
ὕπαιθρος ὑπαέριος·

| | |
|---|---|
| ὑποτυπώσεις | ὑπογραμμός· ὑπόδειγμα. |
| ὑποτύφοντας | ὑποφλέγοντας· καίοντας. |
| ὑποφῆται | διδάσκαλοι· ὑπουργοί· διάκονοι. |
| ὕφεσις | ὑπόβασις. |
| ὑφειμένον | ὑποβεβηκὸς δ' ἀπερδὸν |
| φαμὲν | λέγομεν. |
| φασὶν | λέγουσιν. |
| φάναι | εἰπεῖν. |
| φαινὴν | λαμπράν. |
| φανοτάτῳ | λαμπροτάτῳ. |
| φθινὸν | λῆγον ἐλαττούμενον. |
| φοιτῶσαν | ἀφικνουμένην· παραγινομένην. |
| φρουρητικὸν | φυλακτικόν. |
| ὠλέναι | χεῖρες· πήχεις βραχίονες. |

# LEO· PP· X·

Dilectis filiis Philippo de Giuntis &
eius filiis Bibliopolis Florentinis.

Dilecti filij Salutem & Aplicam ben.
æquum esse censemus, ut sedes aplica, cui
nos auctore dño præsidemus, iis qui pro uti
litate publica in re psertim litteraria labora/
re non desinunt, non modo auxilii sui dexte
rā pbeat, sed eos sub suæ protectionis clipeo
benigne suscipiens, ad continuandos augen
dosq; labores huiusmodi, animare nō cesset.
Cū itaq; sicut nobis exponi fecistis, uos Pla/
tonem latinum & alios quāplurimos libros
tam latinos q̄ græcos, lōge meliores illis qui
passim circūferuntur, habeatis, eosq; impri/
mere ac, propterea rem litterariā augere stu
diosisq; ad summum disciplinarum apicem
tendentibus opem ferre cupiatis, dubitetisq;
ne alii eosdem libros, quū primum a uobis
impressi & emissi fuerint, iterum imprimen
tes maximum uobis damnum inferant.
Nos qui ab ineunte ætate litterarum studia
semper dileximus, ac eorū amatoribus, opē
ferre optamus, uos in hoc laudabili uestro p

posito, iuuare uolentes, uestris in hac parte
supplicationibus inclinati, omnibus & singu
lis Bibliopolis, librariis īpressoribus & mer/
catoribus ubi libet existentibus, sub excōmu
nicatiōis latæ sentētiæ, ac amissionis librorum,
Nostris uero ac. S Ro. E. Temporali domi/
nio mediate uel immediate subiectis ultra p/
missa, etiam sub quingentorum ducatorum
cameræ Apostolicæ applicandorum, totiēs
quotiens contra fecerint eo ipso incurren/
dis pœnis, ne eosdem libros per uos in qui/
busuis litterarum caracteribus imprimēdos
intra decennium ab emissione singulorum
librorum imprimendorum, huiusmodi, cō
putandum, absq; expressa licētia uestra reim
primere, aut ab aliis impressos uendere au/
deāt uel præsumant auctoritate aplica, teno
re præsentium districte præcipiēdo manda/
mus & inhibemus. Quo circa uenerabili fra
tri Episcopo Asculañ. & dilectis filiis uene/
rabilium fratrum Archiepiscopi Florentini,
& Episcopi Pistoriensis Vicariis in spiritua/
libus generalibus, p præsentes cōmittimus
& mandamus, quatenus ipsi, uel duo aut u/
nus eorum, per se uel per alium seu alios in præ
missis efficacis defensionis præsidio assisten
tes, premissa omnia & singula faciant obser

uari. Contradictores quoslibet & inobediē
tes condemnent, cēsuras & pœnas huiusmo
di incurrisse declarent illosq; aggrauēt, & au
xilium brachii secularis si opus fuerit inuo-
cent, non obstātibus constitutionibus, & or-
dinatiōibus apostolicis similibusq;, & aliis lit
teris tam per quoscunq; dominos Principes
& Respub. q̄ per nos & sedem prædictam,
quibus uis personis hactenus concessis, & in
posterum concedendis, cæterisq; contrariis
quibuscunq; uolumus autē q libros per uos
imprimendos huiusmodi pro iusto & ratio-
nabili pretio uendere teneamini, & insuper
quia difficile foret has nostras litteras ad lo-
ca distantia & remota perferre, etiam uolu-
mus & ap̄lica auctoritate concedimus, q ea
rum transumptis manu notarii publici sub-
scriptis & sigillo alicuius prælati aut perso-
næ in dignitate ecclesiastica constitutæ mu-
nitis, plena fides adhibeatur, perinde ac si
eędem præsentes nostræ litteræ originaliter
exhibitæ forent, uel ostensæ. Datum Flo
rentiæ sub annulo Piscatoris. Die. XV. Fe-
bruarii. M.D.XVI. Pont. nostri Anno
tertio.

A. Colotius.

## ΕΠΙΓΡΑΜΜΑ ΕΙΣ ΤΟΝ ΜΑΚΑΡΙΟΝ ΔΙΟΝΥΣΙΟΝ ΠΕΡΙ ΤΗΣ ΟΥΡΑ'ΝΙΑΣ ΙΕΡΑΡΧΙΑΣ.

Ἀγγελικῆς σοφίης ἀμαρύγματα πολλὰ κιχήσας
Ἀνθρώποις ἀνέφηνας ἰδεῖν νοοσύνθετον ἄρρην.

## ΤΩΙ ΣΥΜΠΡΕΣΒΥΤΕΡΩΙ ΤΙΜΟΘΕΩΙ ΔΙΟΝΥΣΙΟΣ Ο ΠΡΕΣΒΥΤΕΡΟΣ. ΠΕΡΙ ΤΗΣ ΟΥΡΑΝΙΑΣ ΙΕΡΑΡΧΙΑΣ. ΚΕΦΑΛΑΙΟΝ Α'.

Ὅτι πᾶσα θεία ἔλλαμψις κατὰ ἀγαθότητα ποικίλως εἰς τὰ προνοούμενα προϊοῦσα. μένει ἁπλῆ, καὶ οὐ τοῦτο μόνον. ἀλλὰ καὶ ἑνοποιεῖ τὰ ἐλλαμπόμενα.

Πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἀπὸ τοῦ πατρὸς τῶν φώτων. ἀλλὰ καὶ πᾶσα πατροκινήτου φωτοφανίας πρόοδος εἰς ἡμᾶς ἀγαθοδότως φοιτῶσα. πάλιν ὡς ἑνοποιὸς δύναμις, ἀνατατικῶς ἡμᾶς ἀναπλοῖ καὶ ἐπιστρέφει πρὸς τὴν τοῦ συναγωγοῦ πνεύματος ἑνότητα καὶ θεοποιὸν ἁπλότητα καὶ γὰρ ἐξ αὐτοῦ τὰ πάντα καὶ εἰς αὐτὸν, ὡς ὁ ἱερὸς ἔφη λόγος.

Οὐκοῦν Ἰησοῦν ἐπικαλεσάμενοι, τὸ πατρικὸν φῶς, τὸ ὄν, τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, δι' οὗ τὴν πρὸς τὸν ἀρχίφωτον πατέρα προσαγωγὴν ἐσχήκαμεν, ἐπὶ τὰς τῶν ἱερωτάτων λογίων πατροπαραδότους ἐλλάμψεις, ὡς ἐφικτὸν ἀνανεύσωμεν, καὶ τὰς ὑπ' αὐτῶν συμβολικῶς ἡμῖν καὶ ἀναγωγικῶς ἐκφανθείσας τῶν οὐρανίων νόων ἱεραρχίας, ὡς οἷοί τέ ἐσμεν ἐποπτεύσωμεν. καὶ τὴν ἀρχικὴν καὶ ὑπεράρχιον τοῦ θεαρχικοῦ πατρὸς φωτοδοσίαν, ἣ τὰς τῶν ἀγγελικῶν ἡμῖν ἐν τυπωτικοῖς συμβόλοις ἐκφαίνει μακαριωτάτας ἱεραρχίας ἀΰλοις καὶ ἀτρεμέσι, νοὸς ὀφθαλμοῖς εἰσδεξάμενοι, πάλιν ἐξ αὐτῆς ἐπὶ τὴν ἁπλῆν αὐτῆς ἀνατανθῶμεν ἀκτῖνα. Καὶ γὰρ οὐδὲ αὐτή ποτε τῆς οἰκείας ἑνικῆς ἐνδότητος ἀπολείπεται. πρὸς ἀναγωγὴν δὲ καὶ ἑνοποιὸν τῶν προνοουμένων σύγκρασιν ἀγαθοπρεπῶς πληθυνομένη καὶ προϊοῦσα, μένει τε ἔνδον ἑαυτῆς ἀραρότως. ἐν ἀκινήτῳ ταυτότητι μονίμως πεπηγυῖα. καὶ τοὺς ἐπ' αὐτὴν ὡς θεμιτὸν ἀνανεύοντας. ἀναλόγως αὐτοῖς ἀνατείνει καὶ ἑνοποιεῖ κατὰ τὴν ἁπλωτικὴν αὐτῆς ἕνωσιν.

Καὶ γὰρ οὐδὲ δυνατὸν ἑτέρως ἡμῖν ἐπιλάμψαι τὴν θεαρχικὴν ἀκτῖνα, μὴ τῇ ποικιλίᾳ τῶν ἱερῶν παραπετασμάτων ἀναγωγικῶς περικεκαλυμμένην. καὶ τοῖς καθ' ἡμᾶς προνοίᾳ πατρικῇ συμφυῶς καὶ οἰκείως διεσκευασμένην. Διὸ καὶ τὴν ὁσιωτάτην ἡμῶν ἱεραρχίαν, ἡ τελετάρχις ἱεροθεσία, τῆς



τῶν οὐρανίων ἱεραρχιῶν ὑπερκοσμίου μιμήσεως ἀξιώσασα. καὶ τὰς εἰρημένας ἀΰλους ἱεραρχίας. ὑλαίοις σχήμασι καὶ μορφωτικαῖς συνθέσεσι διαποικίλασα παραδέδωκεν. Ὅπως ἀναλόγως ἡμῖν αὐτοῖς ἀπὸ τῶν ἱερωτάτων πλάσεων ἐπὶ τὰς ἁπλᾶς ἀτυπώτους ἀναχθῶμεν ἀναγωγὰς καὶ ἀφομοιώσεις. ἐπεὶ μηδὲ δυνατόν ἐστι τῷ καθ' ἡμᾶς νῷ, πρὸς τὴν ἄϋλον ἐκείνην ἀνατανθῆναι τῶν οὐρανίων ἱεραρχιῶν μίμησίν τε καὶ θεωρίαν, εἰ μὴ τῇ κατ' αὐτὸν ὑλαίᾳ χειραγωγίᾳ χρήσαιτο. τὰ μὲν φαινόμενα κάλλη τῆς ἀφανοῦς εὐπρεπείας ἀπεικονίσματα λογιζόμενος, καὶ τὰς αἰσθητὰς εὐωδίας ἐκτυπώματα τῆς νοητῆς διαδόσεως. καὶ τῆς ἀΰλου φωτοδοσίας εἰκόνα τὰ ὑλικὰ φῶτα. καὶ τῆς κατὰ νοῦν θεωρητικῆς ἀποπληρώσεως. τὰς διεξοδικὰς ἱερὰς μαθητείας, καὶ τῆς ἐναρμονίου πρὸς τὰ θεῖα καὶ τεταγμένης ἕξεως. τὰς τῶν ἐνθάδε διακοσμήσεων τάξεις. καὶ τῆς Ἰησοῦ μετουσίας. τὴν τῆς θειοτάτης εὐχαριστίας μετάληψιν. καὶ ὅσα ἄλλα ταῖς οὐρανίαις μὲν οὐσίαις ὑπερκοσμίως. ἡμῖν δὲ συμβολικῶς παραδέδοται.

Ταύτης οὖν ἕνεκα τῆς ἡμῶν ἀναλόγου θεώσεως, ἡ φιλάνθρωπος τελεταρχία, καὶ τὰς οὐρανίας ἱεραρχίας ἡμῖν ἀναφαίνουσα καὶ συλλειτουργὸν αὐτῶν τελοῦσα τὴν καθ' ἡμᾶς ἱεραρχίαν τῇ πρὸς δύναμιν ἡμῶν ἀφομοιώσει, τῆς θεοειδοῦς αὐτῶν ἱερώσεως. αἰσθηταῖς εἰκόσι τοὺς ὑπερουρανίους ἀνέγραψε

νόας ἐν ταῖς ἱερογραφικαῖς τῶν λογίων συνθέσεσιν· ὅπως ἂν ἡμᾶς ἀναγάγοι διὰ τῶν αἰσθητῶν ἐπὶ τὰ νοητά, κἀκ τῶν ἱεροπλάστων συμβόλων ἐπὶ τὰς ἁπλᾶς τῶν οὐρανίων ἱεραρχιῶν ἀκρότητας.

## ΚΕΦΑΛΑΙΟΝ Β'.

Ὅτι πρεπόντως τὰ θεῖα καὶ οὐράνια. καὶ διὰ τῶν ἀνομοίων συμβόλων ἐκφαίνεται.

Χρὴ τοιγαροῦν ὡς οἶμαι πρῶτον ἐκθέσθαι τίνα μὲν εἶναι σκοπὸν ἁπάσης ἱεραρχίας οἰόμεθα. καὶ τί τοὺς αὐτῆς ἑκάστης θιασώτας ὀνίνησιν. ἑξῆς δὲ τὰς οὐρανίας ἱεραρχίας ὑμνῆσαι κατὰ τὴν αὐτῶν ἐν τοῖς λογίοις ἐκφαντορίαν. ἑπομένως δὲ τούτοις εἰπεῖν ὁποίαις ἱεραῖς μορφώσεσι τὰς οὐρανίας σχηματίζουσι διακοσμήσεις αἱ τῶν λογίων ἱερογραφίαι. καὶ πρὸς ποίαν ἀναχθῆναι χρὴ διὰ τῶν πλασμάτων ἁπλότητα. ὅπως μὴ καὶ ἡμεῖς ὡσαύτως τοῖς πολλοῖς ἀνιέρως οἰώμεθα τοὺς οὐρανίους καὶ θεοειδεῖς νόας. πολύποδας εἶναί τινας, καὶ πολυπροσώπους, καὶ πρὸς βοῶν κτηνωδίαν. ἢ πρὸς λεόντων θηριομορφίαν τετυπωμένους. καὶ πρὸς ἀετῶν ἀγκυλόχειλον εἶδος ἢ πρὸς πτηνῶν τριχώδη πτεροφυΐαν διαπεπλασμένους. καὶ τροχούς τινας πυρώδεις ὑπὲρ τὸν οὐρανὸν φανταζώμεθα. καὶ θρόνους ὑλαίοις τῇ θεαρχίᾳ πρὸς ἀνάκλισιν ἐπιτηδείοις. καὶ



ἵππους τινὰς πολυχρωμάτους καὶ δορυφόρους ἀρχιστρατήγους. καὶ ὅσα ἄλλα πρὸς τῶν λογίων ἡμῖν ἱεροπλάστως ἐν ποικιλίᾳ τῶν ἐκφαντορικῶν συμβόλων παραδέδοται. Καὶ γὰρ ἀτέχνως ἡ θεολογία ταῖς ποιητικαῖς ἱεροπλαστίαις ἐπὶ τῶν ἀσχηματίστων νοῶν ἐχρήσατο. τὸν καθ' ἡμᾶς ὡς εἴρηται νοῦν ἀνασκεψαμένη. καὶ τῆς οἰκείας αὐτῷ καὶ συμφυοῦς ἀναγωγῆς προνοήσασα. καὶ πρὸς αὐτὸν ἀναπλάσασα τὰς ἀναγωγικὰς ἱερογραφίας.

Εἰ δέ τῳ δοκεῖ τὰς μὲν ἱερὰς ἀποδέχεσθαι συνθέσεις ὡς τῶν ἁπλῶν ἐφ' ἑαυτῶν ἀγνώστων τε καὶ ἀθεωρήτων ἡμῖν ὑπαρχόντων. ἀπεμφαινούσας δὲ οἴεται τὰς τῶν ἁγίων νοῶν ἐν τοῖς λογίοις εἰκονογραφίας. καὶ πᾶσαν ὡς εἰπεῖν τὴν ἀπότομον τῶν ἀγγελικῶν ὀνομάτων σκηνήν. καὶ χρῆναί φησι τοὺς θεολόγους ἐπὶ σωματοποιΐαν ὅλως τῶν ἀσωμάτων ἐληλυθότας οἰκείοις αὐτὰ καὶ ὡς δυνατὸν συγγενέσιν ἀναπλάττειν τε καὶ ἐκφαίνειν σχηματισμοῖς. ἐκ τῶν παρ' ἡμῖν τιμιωτάτων καὶ ἀΰλων πως καὶ ὑποκειμένων οὐσιῶν. καὶ μὴ ταῖς οὐρανίαις καὶ θεοειδέσιν ἁπλότησι τὰς ἐπὶ γῆς ἐσχάτας περιτιθέντας πολυμορφίας. τὸ μὲν γὰρ ἡμῶν τε ἀναγωγικότερον ἔμελλεν εἶναι. καὶ τὰς ὑπερκοσμίους ἐκφαντορίας. οὐ κατῆγεν εἰς τὰς ἀπεμφαινούσας ἀνομοιότητας. Τὸ δὲ καὶ εἰς τὰς θείας ἀθέσμως ἐξυβρίζειν δυνάμεις. καὶ τὸν ἡμέτερον ἴσως ἀποπλανᾶν νοῦν εἰς τὰς ἀνιέρους αὐτῶν ἐνιζάνον συν

θέσεις· καὶ τάχα καὶ οἰκήσεται τὰ ὑπερουράνια λεοντείων τινῶν καὶ ἱππείων ἐσμῶν ἀναπεπλῆσθαι· καὶ μυκητικῆς ὑμνολογίας, καὶ ὀρνιθείας ἀγελαρχίας· καὶ ζώων ἄλλων καὶ ὑλῶν ἀτιμοτέρων, ὅσα πρὸς τὸ ἄτοπον καὶ νόθον καὶ ἐμπαθὲς ἀποκληθεῖσαι διαγράφουσιν αἱ κατὰ πάντη ἀνόμοιοι τῶν δῆθεν ἐκφαντορικῶν λογίων ὁμοιότητες· ἀλλ' ἡ τῆς ἀληθείας ὡς οἶμαι ζήτησις· ἀποδείκνυσιν, τὴν τῶν λογίων ἱερωτάτην σοφίαν· ἐν ταῖς τῶν οὐρανίων νοῶν μορφώσεσιν ἑκατέρου κομιδῇ προνοοῦσαν, ὡς μήτε εἰς τὰς θείας ὡς ἂν φαίη τις ἐξυβρίσαι δυνάμεις· μήτε μὴν εἰς τὰς χαμαιζήλους ἡμᾶς ἐμπαθῶς ἐμπαγῆναι τῶν εἰκόνων ταπεινότητας.

Ὅτι μὲν γὰρ εἰκότως προβέβληνται τῶν ἀτυπώτων οἱ τύποι· καὶ τὰ σχήματα τῶν ἀσχηματίστων· οὐ μόνην αἰτίαν φαίη τις ἂν εἶναι τὴν καθ' ἡμᾶς ἀναλογίαν ἀδυνατοῦσαν ἀμέσως ἐπὶ τὰς νοητὰς ἀνατείνεσθαι θεωρίας· καὶ δεομένων οἰκείων καὶ συμφυῶν ἀναγωγιῶν αἳ τὰς ἐφικτὰς ἡμῖν μορφώσεις προτείνουσι τῶν ἀμορφώτων καὶ ὑπερφυῶν θεαμάτων. ἀλλ' ὅτι καὶ τοῦτο τοῖς μυστικοῖς λογίοις ἐστὶ πρεπωδέστατον, τὸ δι' ἀπορρήτων καὶ ἱερῶν αἰνιγμάτων ἀποκρύπτεσθαι, καὶ ἄβατον τοῖς πολλοῖς τιθέναι τὴν ἱερὰν καὶ κρυφίαν τῶν ὑπερκοσμίων νοῶν ἀλήθειαν· ἔστι γάρ, οὐ πᾶς ἱερός· οὐδὲ πάντων ὡς τὰ λόγιά φησιν ἡ γνῶσις· εἰ δὲ τὰς ἀπεμφαινούσας εἰκονογραφίας αἰτιάσοιτό τις· αἰδεῖσθαι λέγων



ἀνατιθέναι τὰ οὕτως αἰσχρὰ μορφώματα· ταῖς θεοειδέσιν καὶ ἁγιωτάταις διακοσμήσεσιν· ἀποχρῆ πρὸς αὐτὸν εἰπεῖν, ὡς διττὸς ἐστὶν τῆς ἱερᾶς ἐκφαντορίας ὁ τρόπος.

Ὁ μὲν ὡς εἰκὸς διὰ τῶν ὁμοίων προϊὼν ἱεροτύπων εἰκόνων· ὁ δὲ διὰ τῶν ἀνομοίων μορφοποιιῶν εἰς τὸ παντελῶς ἀπεοικὸς καὶ ἀπεμφαῖνον πλαττόμενος· ἀμέλει καὶ τὴν σεβασμίαν τῆς ὑπερουσίου θεαρχίας μακαριότητα. τῶν ἐκφαντορικῶν λογίων αἱ μυστικαὶ παραδόσεις· ποτὲ μὲν ὡς λόγον καὶ οὐσίαν ὑμνοῦσι τὴν θεοπρεπῆ λογιότητα καὶ σοφίαν αὐτῆς δηλοῦσαι, καὶ ὄντως οὖσαν ὕπαρξιν· καὶ τῆς τῶν ὄντων ὑπάρξεως αἰτίαν ἀληθινήν· καὶ ὡς φῶς αὐτὴν ἀναπλάττουσιν καὶ ζωὴν ἀποκαλοῦσι· τῶν τοιούτων ἱερῶν ἀναπλασμάτων· σεμνοτέρων μὲν ὄντων καὶ τῶν προσύλων μορφώσεων ὑπερέχειν πως δοκούντων· ἀπολειπόντων δὲ καὶ οὕτω τῆς θεαρχικῆς πρὸς ἀλήθειαν ἐμφερείας· ἔστι γὰρ ὑπὲρ πᾶσαν οὐσίαν καὶ ζωήν· οὐδενὸς μὲν αὐτὴν φωτὸς χαρακτηρίζοντος· παντὸς δὲ λόγου καὶ νοῦ τῆς ὁμοιότητος αὐτῆς ἀσυγκρίτως ἀπολειπομένων.

Ποτὲ δὲ ταῖς ἀνομοίοις ἐκφαντορίαις ὑπὸ τῶν αὐτῶν λογίων ὑπερκοσμίως ὑμνεῖται, τὴν ἀόρατον αὐτὴν καὶ ἄπειρον καὶ ἀχώρητον ἀποκαλούντων καὶ τὰ ἐξ ὧν, οὐ τί ἐστιν, ἀλλὰ τί οὐκ ἔστιν σημαίνεται.

Τοῦτο γὰρ ὡς οἶμαι καὶ κυριώτερόν ἐστιν ἐπ' αὐτῆς·

ἐπείπερ ὡς ἡ κρυφία καὶ ἱερατικὴ παράδοσις ὑφη-
γήσατο, τὸ μὲν οὐκ εἶναι κατά τι τῶν ὄντων αὐ-
τὴν ἀληθεύομεν· ἀγνοοῦμεν δὲ τὴν ὑπερούσιον αὐ-
τῆς καὶ ἀνόητον καὶ ἄρρητον ἀοριστίαν. εἰ τοίνυν αἱ
μὲν ἀποφάσεις ἐπὶ τῶν θείων ἀληθεῖς· αἱ δὲ κα-
ταφάσεις ἀνάρμοστοι τῇ κρυφιότητι τῶν ἀπορρήτων.
οἰκειοτέρα μᾶλλόν ἐστιν ἐπὶ τῶν ἀοράτων ἡ διὰ
τῶν ἀνομοίων ἀναπλάσεων ἐκφαντορία.

Τιμῶσι τοιγαροῦν οὐκ αἴσχοις ἀποτιμηροῦσι τὰς οὐ-
ρανίας διακοσμήσεις, αἱ τῶν λογίων ἱερογραφίαι
ταῖς ἀνομοίοις αὐτὰς μορφοποιίαις ἐκφαίνουσαι
καὶ διὰ τούτων ἀποδεικνῦσαι τῶν ὑλικῶν ἁπάν-
των ὑπερκοσμίως ἐκβεβηκυίας.

Ὅτι δὲ καὶ τὸν ἡμέτερον νοῦν ἀνάγουσι μᾶλλον αἱ
ἀπεμφαίνουσαι τῶν ὁμοιοτήτων, οὐκ οἶμαί τινα
τῶν εὖ φρονούντων ἀντειπεῖν. εἰς μὲν γὰρ τὰς τιμιω-
τέρας ἱεροπλαστίας, εἰκός ἐστι καὶ πλανηθῆναι χρυ-
σοειδεῖς τινὰς οἰομένους εἶναι τὰς οὐρανίας οὐσίας.
καὶ φωτοειδεῖς τινὰς ἄνδρας καὶ ἐξαστράπτοντας
εὐπρεπεῖς ἠμφιεσμένους ἐσθῆτα φαεινὴν καὶ τὸ
πυρῶδες ἀβλαβῶς ἀποστίλβοντας. καὶ ὅσοις ἄλ-
λοις ὁμοιοτυπώτοις κάλλεσιν, ἢ μορφαῖς ἡ θεολο-
γία τοὺς οὐρανίους ἐσχημάτισε νόας.

Ὅπερ ἵνα μὴ πάθοιεν οἱ μηδὲν τῶν φαινομένων κα-
λῶν ὑψηλότερον ἐννενοηκότες, ἡ τῶν ὁσίων θεολόγων
ἀνατατικὴ σοφία, καὶ πρὸς τὰς ἀπεμφαινούσας
ἀνομοιότητας ἱερῶς κατάγεται, μὴ συγχωροῦσα



τὸ πρόσυλον ἡμῶν εἰς τὰς αἰσχρὰς εἰκόνας ἀπομέ-
νον ἐπαναπαύεσθαι· διανιστῶσα δὲ τὸ ἀνωφερὲς
τῆς ψυχῆς καὶ ὑπονύττουσα τῇ δυσμορφίᾳ τῶν
συνθημάτων, ὡς μήτε θεμιτοῦ, μηδὲ ἀληθοῦς δο-
κοῦντος εἶναι, μηδὲ τοῖς ἄγαν προσύλοις, ὅτι τοῖς
οὕτως αἰσχροῖς ἐμφερὲς πρὸς ἀλήθειαν ἐστὶ τὰ ὑ-
περουράνια καὶ θεῖα θεάματα. ἄλλως τε καὶ τοῦτο
ἐννοῆσαι χρή. τὸ μηδὲ ἓν τῶν ὄντων εἶναι καθόλου
τῆς τοῦ καλοῦ μετουσίας ἐστερημένον. εἴπερ ὡς ἡ
τῶν ἀλήθειά φησι, πάντα καλὰ λίαν. ἔστιν οὖν ἐκ
πάντων ἐπινοῆσαι καλὰς θεωρίας· καὶ τοῖς νοη-
τοῖς τε καὶ νοεροῖς ἐκ τῶν ὑλαίων ἀναπλάσαι τὰς
λεγομένας ἀνομοίους ὁμοιότητας· ἑτέρῳ τρόπῳ τῶν
νοερῶν ἐχόντων ἃ τοῖς αἰσθητοῖς ἑτεροίως ἀπονε-
νέμηται. καὶ γὰρ ὁ θυμὸς τοῖς μὲν ἀλόγοις ἐξ ἐμ-
παθοῦς ὁρμῆς ἐγγίνεται, καὶ πάσης ἀλογίας ἐστὶν
ἀνάπλεως ἡ θυμοειδὴς αὐτῶν κίνησις. ἀλλ' ἐπὶ τῶν
νοερῶν ἑτέρῳ τρόπῳ χρὴ τὸ θυμικὸν ἐννοῆσαι δη-
λοῦν ὡς οἶμαι τὴν ἀρρενωπὸν αὐτῶν λογιότητα.
καὶ τὴν ἀμείλικτον ἕξιν ἐν ταῖς θεοειδέσιν καὶ ἀ-
μεταβόλοις ἱδρύσεσιν. ὡσαύτως ἐπιθυμίαν μὲν εἶ-
ναί φαμεν ἐπὶ τῶν ἀλόγων ἀπερίσκεπτόν τινα καὶ
καὶ πρόσυλον, ἐξ ἐμφύτου κινήσεως ἢ συνηθείας.
ἐν τοῖς ἀλλοιωτοῖς, ἀκρατῶς ἐγγινομένην πρὸς πά-
θειαν· καὶ τὴν ἄλογον τῆς σωματικῆς ὀρέξεως ἐπι-
κράτειαν, ἅπαν τὸ ζῶον ὠθούσης ἐπὶ τὸ κατ'
αἴσθησιν ἐπιθυμητόν. ὅταν δὲ τὰς ἀνομοίους ὁμοιότη-

τὰς τοῖς νοεροῖς περιτιθέντες, ἐπιθυμίαν αὐτοῖς περιπλάσωμεν· ἔρωτα θεῖον αὐτὴν ἐννοῆσαι χρὴ, τῆς ὑπὲρ λόγον καὶ νοῦν ἀϋλίας καὶ τὴν ἀκλινῆ καὶ ἀνένδοτον ἔφεσιν, τῆς ὑπερουσίως ἁγνῆς καὶ ἀπαθοῦς θεωρίας καὶ τῆς πρὸς ἐκείνην τὴν καθαρὰν καὶ ἀκροτάτην διαύγειαν, καὶ τὴν ἀπλανῆ καὶ καλλοποιὸν εὐπρέπειαν, αἰωνίας ὄντως καὶ νοητῆς κοινωνίας. καὶ τὸ ἀκρατὲς ἐκλάβοιμεν ἐπὶ τοῦ συντόνου καὶ ἀνεπιστρόφου καὶ πρὸς μηδενὸς ἐκκρούεσθαι δυναμένου· διὰ τὸν ἀμιγῆ καὶ ἀναλλοίωτον τῆς θείας καλλονῆς ἔρωτα, καὶ τὴν ὁλικὴν ἀπόκλισιν ἐπὶ τὸ ὄντως ἐφετόν. ἀλλὰ καὶ αὐτὴν τὴν ἀλογίαν τε καὶ ἀναισθησίαν, ἐπὶ μὲν τῶν ἀλόγων ζῴων, ἢ τῶν ἀψύχων ὑλῶν· στέρησιν λόγου καὶ αἰσθήσεως, οἰκείως ἀποκαλοῦμεν· ἐπὶ δὲ τῶν ἀΰλων καὶ νοερῶν οὐσιῶν, ἁγιοπρεπῶς τὸ ὑπερέχον αὐτῶν ὡς ὑπερκοσμίως ὁμολογοῦμεν τοῦ καθ᾽ ἡμᾶς μεταβατικοῦ καὶ σωματικοῦ λόγου καὶ τῆς ὑλαίας καὶ ἀλλοτρίας τῶν ἀσωμάτων νοῶν αἰσθήσεως. ἔστιν τοίγαρ οὖν οὐκ ἀπᾳδούσας ἀναπλάσαι τοῖς οὐρανίοις μορφὰς κἀκ τῶν ἀτιμοτάτων τῆς ὕλης μερῶν· ἐπεὶ καὶ αὐτὴ πρὸς τοῦ ὄντως καλοῦ τὴν ὕπαρξιν ἐσχηκυῖα, κατὰ πᾶσαν αὐτῆς τὴν ὑλαίαν διακόσμησιν ἀπηχήματά τινα, τῆς νοερᾶς εὐπρεπείας ἔχει· καὶ δυνατόν ἐστι δι᾽ αὐτῶν ἀνάγεσθαι πρὸς τὰς ἀΰλους ἀρχετυπίας, ἀνομοίως ὡς εἴρηται τῶν ὁμοιοτήτων ἐκλαμβανομένων· καὶ τῶν



αὐτῶν οὐ ταὐτῶς· ἐναρμονίως δὲ καὶ οἰκείως ἐπὶ τῶν νοερῶν τε καὶ αἰσθητῶν ἰδιοτήτων ὁριζομένων.

Ταῦτα γοῦν τοὺς μυστικοὺς θεολόγους εὑρήσομεν οὐ μόνοις ταῖς τῶν οὐρανίων διακόσμων ἐκφάνσεσιν ἱερῶς περιπλάττοντας ἀλλὰ καὶ αὐταῖς ἔσθ᾽ ὅτε ταῖς θεαρχικαῖς ἐκφαντορίαις· καὶ ποτὲ μὲν αὐτὴν ἀπὸ τῶν φαινομένων τιμίων ὑμνοῦσιν· ὡς ἥλιον δικαιοσύνης ὡς ἀστέρα τὸν ἑῷον εἰς νοῦν ἱερῶς ἀνατέλλοντα, καὶ ὡς φῶς ἀπερικαλύπτως καὶ νοητῶς καταυγάζον. ποτὲ δὲ ἀπὸ τῶν μέσων, ὡς πῦρ ἀβλαβῶς φωτίζον· ὡς ὕδωρ ζωτικῆς ἀποπληρώσεως χορηγὸν· καὶ συμβολικῶς φάναι εἰς γαστέρα διαδυόμενον, καὶ ποταμοὺς ἀναβλύζον ἀσχέτως ἀπορρέοντας. ποτὲ δὲ ἀπὸ τῶν ἐσχάτων, ὡς μύρον εὐῶδες, ὡς λίθον ἀκρογωνιαῖον. Ἀλλὰ καὶ θηριομορφίαν αὐτῇ περιτιθέασι· καὶ λέοντος αὐτῇ καὶ πανθήρου ἰδιότητα περιάπτουσιν, καὶ πάρδαλιν αὐτὴν ἔσεσθαί φασιν, καὶ ἄρκτον ἀπορουμένην. Προσθήσω δὲ καὶ τὸ πάντων ἀτιμότερον εἶναι καὶ μᾶλλον ἀπεμφαίνειν δοκοῦν ὅτι καὶ σκώληκος εἶδος αὐτὴν ἑαυτῇ περιπλάττουσαν οἱ τὰ θεῖα δεινοὶ παραδεδώκασιν. οὕτω πάντες οἱ θεόσοφοι καὶ τῆς κρυφίας ἐπιπνοίας ὑποφῆται τῶν ἀτελέστων καὶ τῶν ἀνιέρων ἀχράντως ἀποδιαστέλλουσι τὰ ἅγια τῶν ἁγίων, καὶ τὴν ἀνόμοιον ἱεροπλαστίαν πρεσβεύουσιν ὡς μήτε τὰ θεῖα τοῖς βεβήλοις εὐχείρωτα εἶναι, μήτε τοὺς τῶν θείων ἀγαλμάτων φιλοθεάμονας ὡς καὶ ἀληθέσιν ἐναπομένειν

τοῖς τύποις· καὶ ὥς τε τὰ θεῖα τιμᾶσθαι ταῖς ἀληθέσιν ἀποφάσεσιν· καὶ ταῖς πρὸς τὰ ἔσχατα τῶν οἰκείων ἀπηχήματα τῶν ἑτεροίαις ἀφομοιώσεσιν. οὐδὲν οὖν ἄτοπον, εἰ καὶ τὰς οὐρανίας οὐσίας ἐκ τῶν ἀπεμφαινουσῶν ἀνομοίων ὁμοιοτήτων ἀναπλάττουσι κατὰ τὰς εἰρημένας αἰτίας. οὐδὲ γὰρ ἂν ἴσως οὐδὲ ἡμεῖς εἰς ζήτησιν μὲν ἐξ ἀπορίας, εἰς ἀναγωγὴν δὲ διὰ τῆς ἀκριβοῦς τῶν ἱερῶν ἐρεύνης ἐληλύθειμεν· εἰ μὴ τὸ δυσειδὲς ἡμᾶς ἐξετάραξε τῆς τῶν ἀγγέλων ἐκφαντικῆς ἀναπλάσεως· οὐκ ἐῶν ἡμῶν τὸν νοῦν ἐναπομεῖναι ταῖς ἀπᾳδούσαις μορφοποιΐαις, ἀλλ᾽ ὀρεθίζων ἀπαναίνεσθαι τὰς ὑλικὰς προσπαθείας, καὶ προσεθίζων ἱερῶς ἀνατείνεσθαι διὰ τῶν φαινομένων ἐπὶ τὰς ὑπερκοσμίους ἀναγωγάς.

Τοσαῦτα ἡμῖν εἰρήσθω διὰ τὰς ὑλικὰς καὶ ἀπεμφαινούσας τῶν ἱερῶν λογίων ἀγγελοειδεῖς εἰκονογραφίας. ἑξῆς δὲ ἀφορίσασθαι χρὴ τί μὲν αὐτὴν εἶναι τὴν ἱεραρχίαν οἰόμεθα. τί δὲ πρὸς αὐτῆς ἱεραρχίας ὀνίνασθαι τοὺς ἱεραρχίᾳ κεκληρωμένους. ἡγείσθω δὲ τοῦ λόγου χριστὸς εἴπερ ἐμοὶ θέμις εἰπεῖν ὁ ἐμός. ἡ πάσης ἱεραρχικῆς ἐκφαντορίας ἐπίπνοια. σὺ δέ ὦ παῖ· κατὰ τὴν ὁσίαν τῆς καθ᾽ ἡμᾶς ἱεραρχικῆς παραδόσεως θεσμοθεσίαν· αὐτός τε ἱεροπρεπῶς ἄκουε τῶν ἱερῶς λεγομένων. ἔνθεος ἐν θεῶν ἐν μυήσει γιγνόμενος· καὶ τῇ κατὰ νοῦν κρυφιότητι τὰ ἅγια περιστείλας· ἐκ τῆς ἀνιέρου πληθύος, ὡς ἑνοειδῆ διαφύλαξον· οὐ γὰρ θεμιτὸν ὡς τὰ λόγια



φησὶν εἰς ὕας ἀπορρίψαι τὴν τῶν νοητῶν μαργαριτῶν ἁμιγῆ καὶ φωτοειδῆ καὶ καλλοποιὸν εὐκοσμίαν.

## ΚΕΦΑΛΑΙΟΝ Γ΄.

Τί ἐστιν ἱεραρχία. καὶ τίς ἡ κατὰ ἱεραρχίαν ὄνησις.

Ἔστι μὲν ἱεραρχία κατ᾽ ἐμὲ τάξις ἱερὰ καὶ ἐπιστήμη καὶ ἐνέργεια. πρὸς τὸ θεοειδὲς ὡς ἐφικτὸν ἀφομοιουμένη. καὶ πρὸς τὰς ἐνδιδομένας αὐτῇ θεόθεν ἐλλάμψεις ἀναλόγως ἐπὶ τὸ θεομίμητον ἀναγομένη. τὸ δὲ θεοπρεπὲς κάλλος. ὡς ἁπλοῦν ὡς ἀγαθόν. ὡς τελεταρχικόν. ἀμιγὲς μέν ἐστι καθόλου πάσης ἀνομοιότητος. μεταδοτικὸν δὲ κατ᾽ ἀξίαν ἑκάστῳ τοῦ οἰκείου φωτός, καὶ τελειωτικὸν ἐν τελετῇ θειοτάτῃ, κατὰ τὴν πρὸς ἑαυτὸ τῶν τελουμένων ἐναρμονίως ἀπαράλλακτον μόρφωσιν.

Σκοπὸς οὖν ἱεραρχίας ἐστὶν ἡ πρὸς θεὸν ὡς ἐφικτὸν ἀφομοίωσίς τε καὶ ἕνωσις. αὐτὸν ἔχουσα πάσης ἱερᾶς ἐπιστήμης τε καὶ ἐνεργείας καθηγεμόνα, καὶ πρὸς τὴν αὐτοῦ θειοτάτην εὐπρέπειαν ἀκλινῶς μὲν ὁρῶν. ὡς δυνατὸν δὲ ἀποτυπούμενος. καὶ τοὺς ἑαυτοῦ θιασώτας ἀγάλματα θεῖα τελῶν. ἔσοπτρα διειδέστατα καὶ ἀκηλίδωτα, δεκτικὰ τῆς ἀρχιφώτου καὶ θεαρχικῆς ἀκτῖνος.

Καὶ τῆς μὲν ἐνδιδομένης αἴγλης ἱερῶς ἀποπληρούμενα. ταύτην δὲ αὖθις ἀφθόνως εἰς τὰ ἑξῆς ἀνα-

λάμποντα, κατὰ τοὺς θεαρχικοὺς θεσμούς. οὐ γὰρ θεμιτόν ἐστι τοῖς τῶν ἱερῶν τελεσταῖς ἢ τοῖς ἱερῶς τελουμένοις ἐνεργῆσαί τι καθόλου, παρὰ τὰς τῆς οἰκείας τελεταρχίας ἱερὰς διατάξεις. ἀλλ᾽ οὐδὲ ὑπάρχειν ἑτέρως, εἰ τῆς θεοτικῆς αὐτῆς ἀγλαΐας ἐφίενται καὶ πρὸς αὐτὴν ἱεροπρεπῶς, ἀποσκοποῦσι καὶ ἀποτυποῦνται, κατὰ τὴν ἑκάστου τῶν ἱερῶν νόων ἀναλογίαν. οὐκοῦν ἱεραρχίαν ὁ λέγων ἱεράν τινα καθόλου δηλοῖ διακόσμησιν, εἰκόνα τῆς θεαρχικῆς ὡραιότητος. ἐν τάξεσι καὶ ἐπιστήμαις ἱεραρχικαῖς τὰ τῆς οἰκείας ἐλλάμψεως ἱερουργοῦσαν μυστήρια, καὶ πρὸς τὴν οἰκείαν ἀρχὴν ὡς θεμιτὸν ἀφομοιουμένην. ἔστι γὰρ ἑκάστῳ τῶν ἱεραρχίᾳ κεκληρωμένων ἡ τελείωσις, τὸ κατ᾽ οἰκείαν ἀναλογίαν ἐπὶ τὸ θεομίμητον ἀναχθῆναι. καὶ τὸ δὴ πάντων θειότερον, ὥς τὰ λόγιά φησι θεοῦ συνεργὸν γενέσθαι καὶ δεῖξαι τὴν θείαν ἐνέργειαν ἐν ἑαυτῷ κατὰ τὸ δυνατὸν ἀναφαινομένην. οἷον ἐπειδὴ τάξις ἱεραρχίας ἐστί, τοὺς μὲν καθαίρεσθαι. τοὺς δὲ καθαίρειν, καὶ τοὺς μὲν φωτίζεσθαι. τοὺς δὲ φωτίζειν, καὶ τοὺς μὲν τελεῖσθαι. τοὺς δὲ τελεσιουργεῖν, ἑκάστῳ τὸ θεομίμητον ἁρμόσει, κατὰ τόνδε τὸν τρόπον. ἡ θεία μακαριότης, ὡς ἐν ἀνθρώποις εἰπεῖν, ἀμιγὴς μέν ἐστιν. ἁπάσης ἀνομοιότητος, πλήρης δὲ φωτὸς ἀϊδίου. τελεία καὶ ἀνενδεὴς ἁπάσης τελειότητος καθαίρουσα καὶ φωτίζουσα καὶ τελεσιουργοῦσα. μᾶλλον δὲ κάθαρσις ἱερὰ καὶ φω-



τισμὸς, καὶ τελείωσις. ὑπὲρ κάθαρσιν, ὑπὲρ φῶς προτέλειος. αὐτοτελεταρχία. καὶ πάσης μὲν ἱεραρχίας αἰτία. παντὸς δὲ ἱεροῦ κατὰ τὸ ὑπερέχον ἐξῃρημένη. Χρὴ τοιγαροῦν ὡς οἶμαι. τοὺς μὲν καθαιρομένους ἀμιγεῖς ἀποτελεῖσθαι καθόλου καὶ πάσης. ἐλευθεροῦσθαι τῆς ἀνομοίου συμφύρσεως. τοὺς δὲ φωτιζομένους ἀποπληροῦσθαι τοῦ θείου φωτὸς πρὸς θεωρητικὴν ἕξιν καὶ δύναμιν, ἐν πανάγνοις νοὸς ὀφθαλμοῖς ἀναγομένους. τοὺς δὲ τελουμένους ἐκ τοῦ ἀτελοῦς μεθισταμένους. μετόχους γίγνεσθαι τῆς τῶν ἐποπτευθέντων ἱερῶν τελειωτικῆς ἐπιστήμης. Τοὺς δὲ καθαρτικοὺς, περιουσίᾳ καθάρσεως, ἑτέροις μεταδιδόναι τῆς οἰκείας ἁγνότητος. τοὺς δὲ φωτιστικοὺς ὡς διειδεστέρους νόας καὶ πρὸς μετοχὴν φωτὸς καὶ μετάδοσιν οἰκείως ἔχοντας καὶ πανολβίως τῆς ἱερᾶς ἀποπληρουμένους αἴγλης. τὸ κατὰ πᾶν αὐτῶν ὑπερχεόμενον φῶς, εἰς τοὺς ἀξίους φωτὸς ἐποχετεύειν. τοὺς δὲ τελεσιουργοὺς ὡς ἐπιστημονικοὺς τῆς τελεστικῆς μεταδόσεως. τελεῖν τοὺς τελουμένους τῇ πανιέρῳ μυήσει τῆς τῶν ἐποπτευθέντων ἱερῶν ἐπιστήμης.

Οὐκοῦν ἑκάστη τῆς ἱεραρχικῆς διακοσμήσεως τάξις. κατὰ τὴν οἰκείαν ἀναλογίαν ἀνάγεται πρὸς τὴν θείαν συνεργίαν. ἐκεῖνα τελοῦσα χάριτι καὶ θεοσδότῳ δυνάμει τὰ τῇ θεαρχίᾳ φυσικῶς καὶ ὑπερφυῶς ὄντα καὶ πρὸς αὐτῆς ὑπερουσίως δρώμενα καὶ πρὸς τὴν ἐφικτὴν τῶν φιλοθέων νόων μίμησιν

ἱεραρχικῶς ἐκφαινόμενα.

## ΚΕΦΑΛΑΙΟΝ Δ΄.

### Τί σημαίνει ἡ τῶν ἀγγέλων ἐπωνυμία.

Τῆς τοίνυν ἱεραρχίας αὐτῆς ὅτι ποτέ ἐστιν, ὡς οἶμαι, καλῶς ἡμῖν ὁρισθείσης, τὴν ἀγγελικὴν ἱεραρχίαν ἑξῆς ὑμνητέον. καὶ τὰς ἱερὰς αὐτῆς ἐν τοῖς λογίοις μορφοποιίας ὑπερκοσμίοις ὀφθαλμοῖς ἐποπτευτέον. ὅπως ἀναχθῶμεν ἐπὶ τὴν θεοειδεστάτην αὐτῶν ἁπλότητα διὰ τῶν μυστικῶν ἀναπλάσεων, καὶ τὴν ἁπάσης ἱεραρχικῆς ἐπιστήμης ἀρχὴν ὑμνήσωμεν ἐν θεοπρεπεῖ σεβασμιότητι καὶ τελεταρχικαῖς εὐχαριστίαις.

Πρῶτον ἁπάντων ἐκεῖνο εἰπεῖν ἀληθές, ὡς ἀγαθότητι πάσας ἡ ὑπερούσιος θεαρχία τὰς τῶν ὄντων οὐσίας ὑποστήσασα, πρὸς τὸ εἶναι παρήγαγεν. ἔστι δὲ τοῦτο τῆς πάντων αἰτίας καὶ ὑπὲρ πάντα ἀγαθότητος ἴδιον, τὸ πρὸς κοινωνίαν αὐτῆς τὰ ὄντα καλεῖν, ὡς ἑκάστῃ τῶν ὄντων ὥρισται πρὸς τῆς οἰκείας ἀναλογίας.

Πάντα μὲν οὖν ὄντα, μετέχει προνοίας ἐκ τῆς ὑπερουσίου καὶ παναιτίου θεότητος ἐκβλυζομένης. οὐ γὰρ ἂν ἦν, εἰ μὴ τῆς τῶν ὄντων οὐσίας καὶ ἀρχῆς μετειλήφει. Τὰ μὲν οὖν ἄζωα πάντα τῷ εἶναι αὐτῆς μετέχει. τὸ γὰρ εἶναι πάντων ἐστὶν ἡ ὑπὲρ τὸ εἶναι θεότης. τὰ δὲ ζῶντα τῆς αὐτῆς ὑπὲρ πᾶσαν ζωὴν ζωοποιοῦ δυνάμεως. τὰ δὲ λογικὰ καὶ νοερὰ, τῆς αὐτῆς ὑπὲρ πάντα καὶ λόγον καὶ νοῦν αὐτοτελοῦς, καὶ προτελείου σοφίας. δῆλον δὲ περὶ αὐτὴν ἐκεῖναι τῶν οὐσιῶν εἰσιν, ὅσαι πολλαχῶς αὐτῆς μετειλήφασιν. αἱ γοῦν ἅγιαι τῶν οὐρανίων οὐσιῶν διακοσμήσεις, ὑπὲρ τὰ μόνον ὄντα καὶ ἀλόγως ζῶντα, καὶ τὰ καθ᾽ ἡμᾶς λογικὰ τῆς θεαρχικῆς μεταδόσεως ἐν μετουσίᾳ γεγόνασιν, νοητῶς γὰρ ἐπὶ τὸ θεομίμητον ἑαυτὰς ἀποτυποῦσαι, καὶ πρὸς τὴν θεαρχικὴν ἐμφέρειαν ὑπερκοσμίως ὁρῶσαι, καὶ μορφοῦν ἐφιέμεναι τὸ νοερὸν αὐτῶν εἶδος, ἀφθονωτέρας εἰκότως ἔχουσι τὰς πρὸς αὐτὴν κοινωνίας. προσεχεῖς μὲν οὖσαι καὶ ἀεὶ πρὸς τὸ ἄναντες ὡς θεμιτὸν ἐν συντονίᾳ τοῦ θείου καὶ ἀκλινοῦς ἔρωτος ἀνατεινόμεναι, καὶ τὰς ἀρχικὰς ἐλλάμψεις ἀΰλως καὶ ἀμιγῶς εἰσδεχόμεναι, καὶ πρὸς αὐτὰς ταττόμεναι καὶ νοερὰν ἔχουσαι τὴν πᾶσαν ζωήν. αὗται γοῦν εἰσὶν αἱ πρώτως καὶ πολλαχῶς ἐν μετουσίᾳ τοῦ θείου γιγνόμεναι, καὶ πρώτως καὶ πολλαχῶς ἐκφαντορικαὶ τῆς θεαρχικῆς κρυφιότητος. διὸ καὶ παρὰ πάντα τῆς ἀγγελικῆς ἐπωνυμίας ἐγκρίτως ἠξίωνται, διὰ τὸ πρώτως αὐταῖς ἐγγίνεσθαι τὴν θεαρχικὴν ἔλλαμψιν, καὶ δι᾽ αὐτῶν εἰς ἡμᾶς διαπορθμεύεσθαι τὰς ὑπὲρ ἡμᾶς ἐκφαντορίας. οὕτω γοῦν ὁ νόμος, ὡς ἡ θεολογία φησὶ, δι᾽ ἀγγέλων ἡμῖν ἐδωρήθη. καὶ τοὺς κλεινοὺς δὲ πρὸ νόμου καὶ

μεθ' ἃ νόμον ἡμῶν πατέρας. ἄγγελοι πρὸς τὸ θεῖον ἀνῆγον· ἢ τὸ πρακτέον ἀφηγούμενοι καὶ πρὸς εὐθεῖαν ἀληθείας ὁδὸν, ἐκ πλάνης καὶ ζωῆς ἀνιέρου μετάγοντες, ἢ τάξεις ἱερὰς, ἢ μυστηρίων ὑπερκοσμίων κρυφίας ὁράσεις, ἢ θείας τινὰς προαναρρήσεις ὑποφητικῶς ἀναφαίνοντες.

Εἰ δέ τις φαίη καὶ αὐτόθεν ἀμέσως ἐγγενέσθαι τισὶ τῶν ἁγίων θεοφανίας, μανθανέτω καὶ τοῦτο σαφῶς ἐκ τῶν ἱερωτάτων λογίων, ὡς αὐτὸ μὲν ὅ τί ποτέ ἐστι τὸ τοῦ θεοῦ κρύφιον οὐδεὶς ἑώρακεν οὐδὲ ὄψεται. θεοφανίαι δὲ τοῖς ὁσίοις γεγόνασιν κατὰ τὰς πρεπούσας θεῷ διὰ δή τινων ἱερῶν καὶ τοῖς ὁρῶσιν ἀναλόγων ὁράσεων ἐκφαντορίας.

Ἡ πάνσοφος δὲ θεολογία τὴν ὅρασιν ἐκείνην, ἥτις ἐν ἑαυτῇ διαγεγραμμένην ἀνέφαινεν τὴν θείαν, ὡς ἐν μορφώσει τῶν ἀμορφώτων ὁμοίωσιν, ἐκ τῆς τῶν ὁρώντων ἐπὶ τὸ θεῖον ἀναγωγῆς εἰκότως καλεῖ θεοφάνειαν, ὡς δι' αὐτῆς τοῖς ὁρῶσι θείας ἐγγιγνομένης ἐλλάμψεως καί τι τῶν θείων αὐτῶν ἱερῶς μυουμένων. Ταύτας δὲ τὰς θείας ὁράσεις οἱ κλεινοὶ πατέρες ἡμῶν ἐμυοῦντο διὰ μέσων τῶν οὐρανίων δυνάμεων, ἢ οὐχὶ καὶ τὴν ἱερὰν τοῦ νόμου θεσμοθεσίαν, ἡ τῶν λογίων παράδοσις ὡς αὐτόθεν μὲν φησὶν ἐκ θεοῦ τῷ μωσῇ δεδωρημένην, ὅπως αὖ ἡμᾶς ἀληθῶς μυήσει τὸ θείας αὐτὴν εἶναι καὶ ἱερᾶς ὑποτύπωσιν. διδάσκει δὲ καὶ τοῦτο σοφῶς ἡ θεολογία, τὸ δι' ἀγγέλων αὐτὴν εἰς ἡμᾶς προελθεῖν, ὡς



τῆς θεονομικῆς τάξεως ἐκεῖνο θεσμοθετούσης, τὸ διὰ τῶν πρώτων τὰ δεύτερα πρὸς τὸ θεῖον ἀνάγεσθαι. καὶ γὰρ οὐ μόνον ἐπὶ τῶν ὑποκειμένων τε καὶ ὑφειμένων νόων, ἀλλὰ καὶ τοῖς ὁμοταγέσιν οὗτος ὁ θεσμὸς ὥρισται παρὰ τῆς πάντων ὑπερουσίου ταξιαρχίας, τὸ καθ' ἑκάστην ἱεραρχίαν πρώτας καὶ μέσας, καὶ τελευταίας εἶναι τάξεις τε καὶ δυνάμεις, καὶ τῶν ἡττόνων εἶναι τοὺς θειοτέρους μύστας καὶ χειραγωγοὺς, ἐπὶ τὴν θείαν προσαγωγὴν καὶ ἔλλαμψιν καὶ κοινωνίαν.

Ὁρῶ δὲ ὅτι καὶ τὸ θεῖον τῆς ἰησοῦ φιλανθρωπίας μυστήριον ἄγγελοι πρῶτον ἐμυήθησαν· εἶτα δι' αὐτῶν εἰς ἡμᾶς ἡ τῆς γνώσεως χάρις διέβαινεν. οὕτω γοῦν ὁ θειότατος γαβριὴλ, ζαχαρίαν μὲν τὸν ἱεράρχην ἐμυσταγώγει τὸ προφήτην ἔσεσθαι τὸν ἐξ αὐτοῦ παρ' ἐλπίδα χάριτι θείᾳ γενησόμενον παῖδα τῆς ἀγαθοπρεπῶς τῷ κόσμῳ καὶ σωτηρίως ἐπιφανησομένης ἀνδρικῆς τοῦ ἰησοῦ ἱερουργίας. τὴν δὲ μαριὰμ ὅπως ἐν αὐτῇ γενήσεται τὸ θεαρχικὸν τῆς ἀφθέγκτου θεοπλαστίας μυστήριον. ἕτερος δὲ τῶν ἀγγέλων τὸν ἰωσὴφ ἐξεπαίδευσεν ὅπως ἀληθῶς ἐκπεπλήρωται τὰ θεόθεν ἐπηγγελμένα τῷ προγόνῳ δαδ. ἄλλος δὲ τοὺς ποιμένας ὡς τῇ τῶν πολλῶν ἀναχωρήσει καὶ ἡσυχίᾳ κεκαθαρμένοις εὐηγγελίζετο. καὶ σὺν αὐτῷ πλῆθος οὐρανίου στρατείας τὴν πολυύμνητον ἐκείνην παρεδίδου τοῖς ἐπὶ γῆς δοξολογίαν. ἀναδράμωμεν δὲ καὶ πρὸς τὰς ὑπερτάτας τῶν λογί

ὢν φωτοφανίας. ὁρῶ γὰρ ὅτι καὶ αὐτὸς Ἰησοῦς ἡ τῶν ὑπερουρανίων οὐσιῶν ὑπερούσιος αἰτία, πρὸς τὸ καθ' ἡμᾶς ἀμεταβόλως ἐληλυθώς. οὐκ ἀποπηδᾷ τῆς ὑπ' αὐτοῦ ταχθείσης τε καὶ αἱρεθείσης ἀνθρωποπρεποῦς εὐταξίας. ἀλλ' εὐπειθῶς ὑποπίπτει ταῖς τοῦ θεοῦ καὶ πατρὸς δι' ἀγγέλων διατυπώσεσι, καὶ διὰ μέσων αὐτῶν ἀγγέλλεται τῷ Ἰωσὴφ ἡ πρὸς τοῦ πατρὸς οἰκονομηθεῖσα τοῦ υἱοῦ πρὸς Αἴγυπτον ἀναχώρησις καὶ αὖθις ἡ πρὸς τὴν Ἰουδαίαν ἐξ Αἰγύπτου μεταγωγή. καὶ δι' ἀγγέλων αὐτὸν ὁρῶμεν ὑπὸ ταῖς πατρικαῖς θεσμοθεσίαις τεπόμενον. ἐῶ γὰρ εἰπεῖν, ὡς εἰδότι τὰ ταῖς ἱερατικαῖς ἡμῶν παραδόσεσιν ἐκπεφασμένα. καὶ περὶ τοῦ ἀγγέλου τοῦ τὸν Ἰησοῦν ἐνισχύσαντος, ἢ ὅτι καὶ αὐτὸς Ἰησοῦς κατὰ τὴν ἡμῶν σωστικὴν ἀγαθουργίαν εἰς ἐκφαντορικὴν ἐληλυθὼς τάξιν. ἄγγελος μεγάλης βουλῆς ἀνηγόρευται. καὶ γὰρ ὡς αὐτὸς ἀγγελοπρεπῶς φησιν. ὅσα ἤκουσεν παρὰ τοῦ πατρὸς ἀνήγγειλεν ἡμῖν.

## ΚΕΦΑΛΑΙΟΝ Ε'.

Διατί πᾶσαι αἱ οὐράνιαι οὐσίαι κατὰ κοινοῦ ἄγγελοι λέγονται.

α ὕτη μὲν οὖν ἐστιν ὡς ἡ καθ' ἡμᾶς αἰτία τῆς ἀγγελικῆς αὐτοῖς λογίοις ἐπωνυμίας. ἐρευνῆσαι δὲ ὡς οἶμαι χρὴ δι' ἣν αἰτίαν οἱ θεολόγοι πάσας μὲν ἅμα τὰς οὐρανίας οὐσίας, ἀγγέλους καλοῦσιν. πρὸς δὲ



τὴν ἐκφαντορίαν ἐρχόμενοι τῶν ὑπερκοσμίων αὐτῶν διακοσμήσεων. τάξιν ἀγγελικὴν ἰδίως ὀνομάζουσι. τὴν συμπληρωτικῶς ἀποπερατοῦσαν τὰ θεῖα καὶ οὐράνια τάγματα. πρὸ ταύτης δὲ ὑπερκειμένως τάττουσι τοὺς ἀρχαγγελικοὺς διακόσμους, τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, καὶ τὰς δυνάμεις. ὅσας τε τούτων ὑπερβεβηκυίας οὐσίας αἱ τῶν λογίων ἴσασιν ἐκφαντορικαὶ παραδόσεις.

αμὲν δὲ ὅτι κατὰ πᾶσαν ἱερὰν διακόσμησιν. αἱ μὲν ὑπερβεβηκυῖαι τάξεις. ἔχουσιν καὶ τὰς τῶν ὑφειμένων διακοσμήσεων ἐλλάμψεις καὶ δυνάμεις. ἀμέθεκτοι δὲ τῶν αὐτὰς ὑπερκειμένων εἰσὶν αἱ τελευταῖαι. Τὰ μὲν οὖν ἁγιώτατα τῶν ὑπερτάτων οὐσιῶν τάγματα, καὶ ἀγγέλους καλοῦσιν οἱ θεολόγοι. καὶ γάρ εἰσιν ἐκφαντορικαὶ καὶ αὐταὶ τῆς θεαρχικῆς ἐλλάμψεως. τὴν τάξιν δὲ τὴν τῶν οὐρανίων νοῶν τελευταίαν, οὐκ ἔχει λόγον. ἀρχάς, ἢ θρόνους ἢ σεραφὶμ ὀνομάζειν. Οὐδὲ γάρ ἐστιν ἐν μετουσίᾳ τῶν ὑπερτάτων δυνάμεων, ἀλλ' ὥσπερ αὕτη τοὺς καθ' ἡμᾶς ἐνθέους ἱεράρχας ἀνάγει, πρὸς τὰς ἐγνωσμένας αὐτῇ τῆς θεαρχίας αὐγάς, οὕτω καὶ τῶν πρὸ αὐτῆς οὐσιῶν αἱ πανίεροι δυνάμεις. ἀναγωγικαὶ πρὸς τὸ θεῖόν εἰσι τῆς ἀποπληρούσης τὰς ἀγγελικὰς ἱεραρχίας διακοσμήσεως. εἰ μὴ ἄρα τις καὶ τοῦτο φαίη τὸ κοινὰς εἶναι πάσας τὰς ἀγγελικὰς ὀνομασίας κατὰ τὴν πᾶσαν τῶν οὐρανίων δυνάμεων εἰς τὸ θεοειδές, καὶ τὴν ἐκ θεοῦ φωτοδο-

ἀλλ᾽ ὑφειμένην καὶ προσοῦσαν κοινωνίαν. ἀλλ᾽ ἵνα μᾶλλον ἡμῖν ὁ λόγος διευκρινηθείη, κατ᾽ ἰδίαν ἱερῶς τὰς ἐν τοῖς λογίοις ἐκπεφασμένας ἁγιοπρεπεῖς ἰδιότητας ἑκάστης οὐρανίας διακοσμήσεως.

## ΚΕΦΑΛΑΙΟΝ ς'.

Τίς ἡ πρώτη τῶν οὐρανίων οὐσιῶν διακόσμησις. τίς ἡ μέση. τίς ἡ τελευταία.

Πόσοι μέν εἰσιν καὶ οἷοι τῶν ὑπερουρανίων οὐσιῶν οἱ διάκοσμοι. καὶ ὅπως αἱ κατ᾽ αὐτοὺς ἱεραρχίαι τελοῦνται. μόνην ἀκριβῶς εἰδέναι φημὶ τὴν θεωτικὴν αὐτῶν τελεταρχίαν. προσέτι καὶ αὐτοὺς ἐγνωκέναι τὰς οἰκείας δυνάμεις τε καὶ ἐλλάμψεις. καὶ τὴν ἑαυτῶν ἱερὰν καὶ ὑπερκόσμιον εὐταξίαν. ἀδύνατον γὰρ ἡμᾶς εἰδέναι τὰ τῶν ὑπερουρανίων νοῶν μυστήρια, καὶ τὰς ἁγιωτάτας αὐτῶν τελειώσεις. εἰ μή που φαίη τις. ὅσα δι᾽ αὐτῶν ἡμᾶς ὡς τὰ οἰκεῖα καλῶς εἰδότων ἡ θεαρχία μεμυσταγώγηκεν. οὐκ οὖν ἡμεῖς μὲν οὐδὲν αὐτοκινήτως ἐροῦμεν. ὅσα δὲ τῶν ἀγγελικῶν θεαμάτων ὑπὸ τῶν ἱερῶν θεολόγων ἐθεωρήθη ταῦτα μυηθέντες ἡμεῖς ὡς οἷοί τε ἐσμὲν ἐκθησόμεθα. πάσας ἡ θεολογία τὰς οὐρανίας οὐσίας. ἐννέα κέκληκεν. ἐκφαντορικαῖς ἐπωνυμίαις. ταύτας ὁ θεῖος ἡμῶν ἱεροτελεστὴς εἰς τρεῖς ἀφορίζει τριαδικὰς διακοσμήσεις. καὶ πρώτην μὲν εἶναί φησιν, τὴν περὶ θεὸν οὖσαν ἀεὶ καὶ προσεχῶς αὐτῷ καὶ πρὸ τῶν ἄλλων ἀμέσως ἡνῶσθαι παραδεδομένην. τούς τε γὰρ ἁγιωτάτους θρόνους καὶ τὰ πολυόμματα, καὶ πολύπτερα τάγματα, χερουβὶν ἑβραίων φωνῇ καὶ σεραφὶμ ὠνομασμένα, κατὰ τὴν πάντων ὑπερκειμένην ἐγγύτητα. περὶ θεὸν ἀμέσως ἱδρῦσθαί φησιν παραδιδόναι τὴν τῶν ἱερῶν λογίων ἐκφαντορίαν. τὸν τριαδικὸν οὖν τοῦτον διάκοσμον. ὡς ἕνα καὶ ὁμοταγῆ, καὶ ὄντως πρώτην ἱεραρχίαν ὁ κλεινὸς ἡμῶν ἔφη καθηγεμών. ἧς οὐκ ἔστιν ἑτέρα θεοειδεστέρα, καὶ ταῖς πρωτουργοῖς τῆς θεαρχίας ἐλλάμψεσιν ἀμέσως προσεχεστέρα. Δευτέραν δὲ εἶναί φησιν τὴν ὑπὸ τῶν ἐξουσιῶν καὶ κυριοτήτων καὶ δυνάμεων συμπληρουμένην. Καὶ τρίτην ἐπ᾽ ἐσχάτων τῶν οὐρανίων ἱεραρχιῶν τὴν τῶν ἀγγέλων τε καὶ ἀρχαγγέλων καὶ ἀρχῶν διακόσμησιν.

## ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τῶν σεραφὶμ καὶ χερουβὶμ καὶ τῶν θρόνων. καὶ περὶ τῆς πρώτης αὐτῶν ἱεραρχίας.

Ταύτην ἡμεῖς ἀποδεχόμενοι τὴν τῶν ἁγίων ἱεραρχιῶν τάξιν, φαμὲν, ὅτι πᾶσα τῶν οὐρανίων νοῶν ἐπωνυμία δήλωσιν ἔχει τῆς ἑκάστου θεοειδοῦς ἰδιότητος. καὶ τὴν μὲν ἁγίαν τῶν σεραφὶμ ὄνομα

σίαν φασὶν οἱ τὰ ἑβραίων εἰδότες, ἢ τὸ ἐμπρηστὰς ἐμφαίνειν, ἢ τὸ θερμαίνοντας. τὴν δὲ τῶν χερουβὶμ πλῆθος γνώσεως ἢ χύσιν σοφίας. εἰκότως οὖν ἡ πρώτη τῶν οὐρανίων ἱεραρχιῶν, πρὸς τῶν ὑπερτάτων οὐσιῶν ἱερουργεῖται, τάξιν ἔχουσα τὴν πασῶν ὑψηλοτέραν. τὸ περὶ θεὸν ἀμέσως ἱδρῦσθαι, καὶ τὰς πρωτουργοὺς θεοφανείας καὶ τελειώσεις εἰς αὐτὴν ὡς ἐγγυτάτην ἀρχικωτέρως διαπορθμεύεσθαι, θερμαίνοντες γοῦν ὀνομάζονται καὶ θρόνοι καὶ χύσις σοφίας ἐκφαντορικῷ τῶν θεοειδῶν αὐτῶν ἕξεων ὀνόματι.

Τὸ μὲν ἀκίνητον αὐτῶν περὶ τὰ θεῖα καὶ ἀκατάληκτον, καὶ τὸ θερμὸν καὶ ὀξὺ καὶ ὑπερζέον, τῆς προσεχοῦς καὶ ἀνενδότου καὶ ἀκλινοῦς ἀεικινησίας. καὶ τὸ τῶν ὑποβεβηκότων ἀναγωγικῶς καὶ δραστηρίως ἀφομοιωτικόν, ὡς ἀναζέον ἐκεῖνα καὶ ἀναζωπυροῦν ἐπὶ τὴν ὁμοίαν θερμότητα. καὶ τὸ πρηστηρίως καὶ ὁλοκαύτως καθαρτικόν. καὶ τὴν ἀπερικάλυπτον καὶ ἄσβεστον ἔχουσαν ὡσαύτως ἀεὶ φωτοειδῆ καὶ φωτιστικὴν ἰδιότητα, καὶ πάσης ἀλαμποῦς σκοτοποιίας ἐλατεῖραν οὖσαν καὶ ἀφανιστικήν, ἡ τῶν σεραφὶμ ἐπωνυμία ἐκφαντορικῶς διδάσκει.

Η δὲ τῶν χερουβὶμ τὸ γνωστικὸν αὐτῶν καὶ θεοπτικόν, καὶ τῆς ὑπερτάτης φωτοδοσίας δεκτικὸν καὶ θεωρητικὸν ἐν πρωτουργῷ δυνάμει τῆς θεαρχικῆς εὐπρεπείας, καὶ τῆς σοφοποιοῦ μεταδόσεως ἀναπεπλησμένον καὶ κοινωνικὸν ἀφθόνως πρὸς



τὰ δεύτερα τῇ χύσει τῆς δωρηθείσης σοφίας.

Η δὲ τῶν ὑψηλοτάτων καὶ ἐπηρμένων θρόνων τὸ πάσης ἀμιγῶς ἐξῃρῆσθαι περιπεζίας ὑφέσεως καὶ πρὸς τὸ ἄναντες ὑπερκοσμίως ἀνωφερές, καὶ πάσης ἐσχατιᾶς ἀρρεπῶς ἀπῳκισμένον καὶ περὶ τὸν ὄντως ὕψιστον ὁλικαῖς δυνάμεσιν ἀκατασείστως καὶ εὐσταθῶς ἱδρυμένον καὶ τῆς θεαρχικῆς ἐπιφοιτήσεως ἐν ἀπαθείᾳ πάσῃ καὶ ἀϋλίᾳ δεκτικὸν καὶ τὸ θεοφόρον καὶ θεραπευτικῶς ἐπὶ τὰς θείας ὑποδοχὰς ἀναπεπταμένον.

Αὕτη μὲν ἡ τῶν ὀνομάτων αὐτῶν ὡς καθ' ἡμᾶς ἐκφαντορία. λεκτέον δὲ τίνα τὴν ἱεραρχίαν αὐτῶν οἰόμεθα. τὸν μὲν γὰρ ἁπάσης ἱεραρχίας σκοπὸν τῆς θεομιμήτου θεοειδείας ἐξηρτημένον. ἀρρεπῶς εἶναι, καὶ τὸ διαιρεῖσθαι πᾶσαν ἱεραρχικὴν πραγματείαν εἰς μετοχὴν ἱερὰν καὶ μετάδοσιν καθάρσεως ἀμιγοῦς. καὶ θείου φωτὸς, καὶ τελεστικῆς ἐπιστήμης, ἀρκούντως ἤδη πρὸς ἡμῶν εἰρῆσθαι νομίζω. νῦν δὲ εἰπεῖν ἀξίως εὔχομαι τὴν τῶν ὑπερτάτων νοῶν πῶς ἡ κατ' αὐτοὺς ἱεραρχία διὰ τῶν λογίων ἐκφαίνεται, ταῖς πρώταις οὐσίαις. αἳ μετὰ τὴν οὐσιοποιὸν αὐτῶν θεαρχίαν ἱδρυμέναι. καὶ οἷον ἐν προθύροις αὐτῆς τεταγμέναι. πάσης εἰσὶν ἀοράτου καὶ ὁρατῆς ὑπερβεβηκυῖαι γεγονυίας δυνάμεως ὡς οἰκείαν οἰητέον εἶναι. καὶ κατὰ πάντα ὁμοειδῆ τὴν ἱεραρχίαν.

Καθαρὰς μὲν οὖν αὐτὰς ἡγητέον, οὐχ ὡς ἀνιέρων κηλίδων καὶ μολυσμῶν ἐλευθερωμένας. οὐδ' ὡς προ

σύλων αὖτ' ἐπιδέκτοις φαντασιῶν, ἀλλ' ὡς πάσης ὑφέσεως ἀμιγῶς ὑψηλοτέρας· καὶ παντὸς ὑποβεβηκότος ἱεροῦ· κατὰ τὴν ὑπερτάτην ἁγνότητα· πάσαις ταῖς θεοειδεστάταις δυνάμεσιν· ὑπεριδρυμένας, καὶ τῆς οἰκείας ἀεικινήτου καὶ ταὐτοκινήτου κατὰ τὸ φιλόθεον ἀτρέπτου τάξεως ἀρρεπῶς ἀντεχομένας, καὶ τὴν ἐπὶ τὰ χείρω κατὰ μείωσιν· οὐδ' ὅλως εἰδυίας· ἀλλ' ἄπτωτον ἀεὶ καὶ ἀμετακίνητον ἐχούσας τὴν τῆς οἰκείας θεοειδοῦς ἰδιότητος ἀμιγεστάτην ἵδρυσιν.

Θεωρητικὰς δὲ αὖθις· οὐχ ὡς αἰσθητῶν συμβόλων νοερῶν θεωρούς· οὐδ' ὡς τῇ ποικιλίᾳ τῆς ἱερογραφικῆς θεωρίας· ἐπὶ τὸ θεῖον ἀναγομένας· ἀλλ' ὡς πάσης ἀΰλου γνώσεως ὑψηλοτέρου φωτὸς ἀποπληρουμένας· καὶ τῆς τοῦ καλλοποιοῦ καὶ ἀρχικοῦ κάλλους· ὑπερουσίου καὶ τριφανοῦς θεωρίας ὡς θεμιτὸν ἀναπιμπλαμένας· τῆς δὲ Ἰησοῦ κοινωνίας ὡσαύτως ἠξιωμένας· οὐκ ἐν εἰκόσιν ἱεροπλάστοις μορφωτικῶς ἀποτυποῦσι τὴν θεουργικὴν ὁμοίωσιν· ἀλλ' ὡς ἀληθῶς αὐτῷ πλησιαζούσας ἐν πρώτῃ μετουσίᾳ τῆς γνώσεως τῶν θεουργικῶν αὐτοῦ φώτων· καὶ μὴν ὅτι τὸ θεομίμητον αὐταῖς ὑπερτάτως δεδώρηται· καὶ κοινωνοῦσι κατὰ τὸ αὐταῖς ἐφικτὸν ἐν πρωτουργῷ δυνάμει ταῖς θεουργικαῖς αὐτοῦ καὶ φιλανθρώποις ἀρεταῖς· τετελεσμένας δὲ ὡσαύτως·

Οὐχ ὡς ποικιλίας ἱερᾶς ἀναλυτικὴν ἐπιστήμην ἐλλαμπομένας· ἀλλ' ὡς πρώτης καὶ ὑπερεχούσης



θεώσεως ἀποπληρουμένας· κατὰ τὴν ὑπερτάτην ὡς ἐν ἀγγέλοις τῶν θεουργιῶν ἐπιστήμην· οὐ γὰρ δι' ἄλλων ἁγίων οὐσιῶν· ἀλλὰ πρὸς αὐτῆς τῆς θεαρχίας ἱεραρχούμεναι· τῷ ἐπ' αὐτὴν ἀμέσως ἀνατείνεσθαι, τῇ πάντων ὑπερεχούσῃ δυνάμει καὶ τάξει, καὶ πρὸς τὸ πάναγνον καὶ κατὰ πᾶν ἀρρεπὲς ἱδρύονται, καὶ πρὸς τὴν ἄϋλον καὶ νοητὴν εὐπρέπειαν ὡς θεμιτὸν εἰς θεωρίαν προσάγονται, καὶ τοὺς τῶν θεουργιῶν ἐπιστημονικοὺς λόγους· ὡς πρῶται καὶ περὶ θεὸν οὖσαι μυοῦνται πρὸς αὐτῆς τῆς τελεταρχίας ὑπερτάτως ἱεραρχούμεναι· τοῦτο γοῦν οἱ θεολόγοι σαφῶς δηλοῦσι· τὸ τὰς μὲν ὑφειμένας τῶν οὐρανίων οὐσιῶν διακοσμήσεις πρὸς τῶν ὑπερβεβηκυιῶν εὐκόσμως ἐκδιδάσκεσθαι τὰς θεουργικὰς ἐπιστήμας· τὰς δὲ πασῶν ὑψηλοτέρας ὑπ' αὐτῆς θεαρχίας ὡς θεμιτὸν τὰς μυήσεις ἐλλάμπεσθαι.

Τινὰς μὲν γὰρ αὐτῶν εἰσάγουσι πρὸς τῶν προτέρων ἱερῶς μυουμένας· τὸν κύριον εἶναι τῶν οὐρανίων δυνάμεων καὶ βασιλέα τῆς δόξης τὸν εἰς οὐρανοὺς ἀνθρωποπρεπῶς ἀναληφθέντα.

Τινὰς δὲ πρὸς αὐτὸν Ἰησοῦν διαπορούσας, καὶ τῆς ὑπὲρ ἡμῶν αὐτοῦ θεουργίας, τὴν ἐπιστήμην μαθητευούσας· καὶ ταύτας αὐτὸν Ἰησοῦν ἀμέσως μυοῦντα, καὶ πρωτοδότως αὐταῖς ἐκφαίνοντα τὴν αὐτοῦ φιλάνθρωπον ἀγαθουργίαν· ἐγὼ γάρ φησιν διαλέγομαι δικαιοσύνην καὶ κρίσιν σωτηρίου·

Θαυμάζω δὲ ὅτι καὶ τῶν ὑπερουρανίων οὐσιῶν αἱ πρῶται, καὶ τοσοῦτον ἁπάσας ὑπερκείμεναι, τῶν θεαρχικῶν ἐλλάμψεων ὡς μεσοτελεῖς εὐλαβῶς ἐφίενται. καὶ γὰρ οὐκ αὐτόθεν ἐρωτῶσιν· διὰ τί σου ἐρυθρὰ τὰ ἱμάτια· πρὸς ἑαυτὰς δὲ διαποροῦσι πρότερον· ἐνδεικνύμεναι μὲν, ὅτι μαθητιῶσι· καὶ τῆς θεουργικῆς γνώσεως ἐφίενται· μὴ προδηλῶσαι δὲ τῆς κατὰ θείαν πρόοδον ἐνδιδομένης ἐλλάμψεως.

Οὐκοῦν ἡ πρώτη τῶν οὐρανίων νοῶν ἱεραρχία, πρὸς αὐτῆς τελεταρχίας ἱεραρχουμένη τῷ ἐπ' αὐτὴν ἀμέσως ἀνατείνεσθαι τῆς παναγεστάτης καθάρσεως τοῦ ἀπλέτου φωτὸς τῆς προτελείου τελεσιουργίας ἀναλόγως αὐτῇ πληρουμένη καθαίρεται καὶ φωτίζεται καὶ τελεσιουργεῖται· πάσης μὲν ὑφέσεως ἀμιγής· πρώτου δὲ φωτὸς πλήρης καὶ πρωτοδότου γνώσεως καὶ ἐπιστήμης μέτοχος ἀποτελουμένη. Συνελὼν δὲ καὶ τοῦτο φαίην ἂν οὐκ ἀπεικότως· ὅτι καὶ κάθαρσίς ἐστι καὶ φωτισμὸς, καὶ τελείωσις, ἡ τῆς θεαρχικῆς ἐπιστήμης μετάληψις· ἀγνοίας μὲν οἷον, ἀποκαθαίρουσα τῇ κατ' ἀξίαν ἐνδιδομένῃ γνώσει τῶν τελεωτέρων μυήσεων· φωτίζουσα δὲ, αὐτῇ τῇ θείᾳ γνώσει δι' ἧς, καὶ καθαίρει τὴν οὐ πρότερον ἐποπτευθεῖσαν· ὅσα νῦν ἐκφαίνεται διὰ τῆς ὑψηλοτέρας ἐλλάμψεως, καὶ τελειοῦσα πάλιν αὐτῷ τῷ φωτὶ, τῇ καθ' ἕξιν ἐπιστήμῃ τῶν φανοτάτων μυήσεων. αὕτη μὲν οὖν ἐστιν ὡς κατ' ἐμὴν ἐπιστήμην, ἡ πρώτη τῶν οὐρανίων οὐσιῶν δια-



κοσμηθεῖσα· ἡ κύκλῳ θεοῦ καὶ περὶ θεὸν ἀμέσως ἑστηκυῖα, καὶ ἁπλῶς καὶ ἀκαταλήκτως περιχορεύουσα τὴν αἰώνιον αὐτοῦ γνῶσιν κατὰ τὴν ὑπερτάτην ὡς ἐν ἀγγέλοις ἀεικίνητον ἵδρυσιν· πολλὰς μὲν καὶ μακαρίας ὁρῶσα καθαρῶς θεωρίας· ἁπλᾶς δὲ καὶ ἀμέσους μαρμαρυγὰς ἐλλαμπομένη, καὶ θείας τροφῆς ἀποπληρουμένη· πολλοῖς μὲν τῇ πρωτοδότῳ χύσει· μιᾶς δὲ τῇ ἀποικίλτῳ καὶ ἑνοποιῷ τῆς θεαρχικῆς ἑστιάσεως ἑνότητι, πολλῆς δὲ κοινωνίας θεοῦ καὶ συνεργίας, ἠξιωμένη τῇ πρὸς αὐτὸν ὡς ἐφικτὸν ἀφομοιώσει τῶν καλλῶν ἕξεών τε καὶ ἐνεργειῶν· πολλὰ δὲ τῶν θείων ὑπερκειμένως γινώσκουσα· καὶ θεαρχικῆς ἐπιστήμης καὶ γνώσεως ἐν μετουσίᾳ κατὰ τὸ θεμιτὸν γιγνομένη· διὸ καὶ ὕμνους αὐτῆς ἡ θεολογία τοῖς ἐπὶ γῆς παραδέδωκεν, ἐν οἷς ἱερῶς ἀναφαίνεται τὸ τῆς ὑπερτάτης ἐλλάμψεως ὑπερέχον. οἱ μὲν γὰρ αὐτῆς εἰπεῖν αἰσθητῶς ὡς φωνὴ ὑδάτων πολλῶν ἀναβοῶσιν· εὐλογημένη ἡ δόξα κυρίου ἐκ τοῦ τόπου αὐτοῦ.

Οἱ δὲ τὴν πολυύμνητον ἐκείνην καὶ σεβασμιωτάτην ἀνακράζουσιν θεολογίαν, ἅγιος ἅγιος ἅγιος κύριος σαβαὼθ πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ.

Ταύτην δὲ τὰς ὑπερτάτας τῶν ὑπερουρανίων νοῶν ὑμνολογίας, ἤδη μὲν ἐν τοῖς περὶ τῶν θείων ὕμνων ὡς ἐφικτὸν ἀνεπτύξαμεν· καὶ εἴρηται περὶ τούτων ἐν ἐκείνοις ὡς καθ' ἡμᾶς ἱκανῶς· ἀφ' ὧν εἰς ὑπόμνησιν ἀρκεῖ φάναι τοσοῦτον κατὰ τὸν παρόντα και-

ρόν. ὅτι τὴν θεολογικὴν ἐπιστήμην ἡ πρώτη διακό-
σμησις, ὡς θεμιτὸν ἐλλαμφθεῖσα πρὸς τῆς θεαρ-
χικῆς ἀγαθότητος. ταύτης ὡς ἀγαθοειδὴς ἱεραρ-
χία. καὶ τοῖς μετ' αὐτὴν ἑξῆς μεταδέδωκεν. ἐκεῖ-
νο κατ' ἐπιτομὴν εἰπεῖν ὑφηγουμένη. τὸ τὴν σεβα-
σμίαν αὐτὴν καὶ ὑπερεύφημον καὶ πανεύφημον θε-
αρχίαν θεμιτὸν εὐλόγως εἶναι πρὸς τῶν θεοδόχων
ὡς ἐφικτὸν γινώσκεσθαι καὶ ὑμνεῖσθαι νοῶν.

Ο ὗτοι γάρ εἰσιν ὡς θεοειδεῖς οἱ θεῖοι τόποι τῆς θεαρ-
χικῆς ὡς τὰ λόγιά φησιν καταπαύσεως. καὶ μὴν
ὅτι μονάς ἐστι καὶ ἑνὰς τρισυπόστατος. ἀπὸ τῶν
ὑπερουρανίων οὐσιῶν ἄχρι τῶν ἐσχάτων τῆς γῆς
διεῖσα τὴν ἀγαθωτάτην αὐτῆς ἐπὶ πάντα τὰ ὄν-
τα προνοίαν, ὡς πάσης οὐσίας ὑπεράρχιος ἀρχὴ
καὶ αἰτία, καὶ πάντων ὑπερουσίως ἀσχέτῳ συνο-
χῇ περιδεδραγμένη.

## ΚΕΦΑΛΑΙΟΝ Η.

Π ερὶ τῶν κυριοτήτων, καὶ τῶν δυνάμεων, καὶ τῶν ἐξουσι-
ῶν, καὶ περὶ τῆς μέσης αὐτῶν ἱεραρχίας.

Επιτέον δὲ νῦν ἡμῖν ἐπὶ τὴν μέσην τῶν
μ οὐρανίων νοῶν διακόσμησιν, τὰς κυ-
ριότητας ἐκείνας ὑπερκοσμίοις ὀφ-
θαλμοῖς ὡς ἐφικτὸν ἐποπτεύουσιν. καὶ
τὰ ὄντως δυνατὰ θεάματα τῶν θείων ἐξουσιῶν καὶ
δυνάμεων. καὶ γὰρ ἑκάστη τῶν ὑπὲρ ἡμᾶς οὐσιῶν
ἐπωνυμία, τὰς θεομιμήτους αὐτῶν ἐκφαίνει τοῦ θε-



οειδοῦς ἰδιότητας. Τῶν μὲν οὖν ἁγίων κυριοτή-
των τὴν ἐκφαντορικὴν ὀνομασίαν οἴομαι δηλοῦν.
ἀδούλωτόν τινα καὶ πάσης ὑποπεζίας ὑφέσεως
ἐλευθέραν ἀναγωγήν. οὐδὲ μιᾷ τῶν τυραννικῶν ἀνο-
μοιοτήτων. οὐδενὶ τρόπῳ καθόλου κατακλινομένην
αὐτήν, ἐλευθεροπρεπῶς ὡς ἀμείλικτον κυριότη-
τα. πάσης μειωτικῆς δουλοποιΐας ὑπερκειμένην.
ἀνενδότως ὑφέσει πάσῃ, καὶ ἐξῃρημένην πάσης ἀνο-
μοιότητος, τῆς ὄντως κυριότητος καὶ κυριαρχίας,
ἀκαταλήκτως ἐφιεμένην, καὶ πρὸς τὴν αὐτῆς κυ-
ρίαν ἐμφέρειαν ὡς ἐφικτὸν ἑαυτήν τε καὶ τὰ μεθ'
ἑαυτὴν ἀγαθοειδῶς διαπλάττουσαν πρὸς οὐδὲν τῶν
εἰκῆ δοκούντων ἀλλὰ πρὸς τὸ κυρίως ὂν ὁλικῶς
ἐπιτετραμμένην, καὶ κυριαρχικῆς ἀεὶ ἀγαθοειδεί-
ας ἐν μετουσίᾳ. κατὰ τὸ δυνατὸν αὐτῇ γινομένην.

Τ ὴν δὲ τῶν ἁγίων δυνάμεων ἀρρενωπόν τινα καὶ ἀκα-
τάσειστον ἀνδρίαν. εἰς πάσας τὰς κατ' αὐτὴν θεοει-
δεῖς ἐνεργείας πρὸς μηδεμίαν ὑποδοχὴν τῶν ἐνδιδο-
μένων αὐτῇ θεαρχικῶν ἐλλάμψεων ἀνδρείως ἐξα-
σθενοῦσαν δυνατῶς ἐπὶ τὸ θεομίμητον ἀναγομέ-
νην. οὐκ ἀπολείπουσαν ἑαυτῆς ἀνανδρείᾳ τὴν θεοει-
δῆ κίνησιν. ἀλλ' ἀρρεπῶς ἀφορῶσαν εἰς τὴν ὑπερούσι-
ον καὶ δυναμοποιὸν δύναμιν. καὶ ταύτης εἰκόνα δυνα-
μοειδῆ κατὰ τὸ ἐφικτὸν γινομένην. καὶ πρὸς μὲν αὐ-
τὴν ὡς ἀρχιδύναμον δυνατῶς ἐπεστραμμένην πρὸς
δὲ τὰ δεύτερα δυναμοδότως θεοειδῶς προϊοῦσαν.

Τ ὴν ὁμοταγῆ τῶν θείων κυριοτήτων καὶ δυνάμεων τὴν

εὔκοσμον καὶ ἀσύμφυρτον περὶ τὰς θείας ἀποδοχὰς εὐταξίαν, καὶ τὸ τεταγμένον τῆς ὑπερκοσμίου καὶ νοερᾶς ἐξουσιότητος· οὐ τυραννικῶς ἐπὶ τὰ χείρω ταῖς ἐξουσιαστικαῖς δυνάμεσιν ἀποκεχρημένης· ἀλλ' ἀκρατήτως ἐπὶ τὰ θεῖα μετ' εὐταξίας ἀναγομένης τε καὶ τὰ μετ' αὐτὴν ἀγαθοειδῶς ἀναγούσης, καὶ πρὸς τὴν ἐξουσιοποιὸν ἐξουσιαρχίαν ὡς θεμιτὸν ἀφομοιουμένης καὶ ταύτην ὡς δυνατὸν ἀγγέλοις ἀναλαμπούσης ἐν ταῖς κατ' αὐτὴν εὐκόσμοις τάξεσι τῆς ἐξουσιαστικῆς δυνάμεως. Ταύτας ἔχουσα τὰς θεοειδεῖς ἰδιότητας ἡ μέση τῶν οὐρανίων νοῶν διακόσμησις· καθαίρεται μὲν καὶ φωτίζεται καὶ τελεσιουργεῖται καθ' ὃν εἴρηται τρόπον ὑπὸ τῶν θεαρχικῶν ἐλλάμψεων ἐνδιδομένων αὐτῇ δευτέρως διὰ τῆς πρώτης ἱεραρχικῆς διακοσμήσεως, καὶ διὰ μέσης ἐκείνης δευτεροφανῶς διαπορθμευομένων. Ἀμέλει τὴν δι' ἄλλου λεγομένην φοιτᾶν εἰς ἄλλον ἀγγέλου ἀκοὴν σύμβολον ποιησώμεθα τῆς πόρρωθεν ἀποτελουμένης, καὶ διὰ τὴν πρόοδον ἀμυδρουμένης εἰς δευτέρωσιν τελειώσεως.

Ὡς γάρ οἱ δεινοὶ περὶ τὰς ἱερὰς ἡμῶν τελετάς φασι, τὰς αὐτοφανεῖς τῶν θείων ἀποπληρώσεις τῶν δι' ἑτέρων θεοπτικῶν μεθέξεων εἶναι τελεωτέρας, οὕτως οἶμαι καὶ τῶν ἀγγελικῶν τάξεων τὴν ἄμεσον μετουσίαν τῶν πρώτως ἐπὶ θεὸν ἀνατεινομένων, ἐναργεστέραν εἶναι τῶν διαμεσότητος ἀποτελουμένων.



Διό, καὶ πρὸς τῆς ἱερατικῆς ἡμῶν παραδόσεως τελεσταὶ καὶ φωτουργοὶ καὶ καθαρτικαὶ δυνάμεις, οἱ πρῶτοι νόες ὀνομάζονται τῶν ὑφειμένων, ὡς δι' αὐτῶν ἐπὶ τὴν πάντων ὑπερούσιον ἀρχὴν ἀναγομένων, καὶ τῶν τελεταρχικῶν καθάρσεων καὶ φωτισμῶν καὶ τελειώσεων ἐν μετουσίᾳ κατὰ τὸ αὐτοῖς θεμιτὸν γιγνομένων. Τοῦτο γάρ ἐστι καθόλου τῇ θείᾳ ταξιαρχίᾳ θεοπρεπῶς νενομοθετημένον, τὸ διὰ τῶν πρώτων τὰ δεύτερα τῶν θεαρχικῶν μετέχειν ἐλλάμψεων. Εὑρήσεις δὲ τοῦτο καὶ πολλαχοῦ τοῖς θεολόγοις ἐκπεφασμένον. Ἡνίκα γὰρ ἡ θεία καὶ πατρικὴ φιλανθρωπία τὸν Ἰσραὴλ ἐπιστρεπτικῶς ὑπὲρ τῆς ἱερᾶς αὐτοῦ σωτηρίας παιδεύσασα, καὶ τιμωροῖς καὶ ἀπηνέσοις ἔθνεσιν εἰς ἐπανόρθωσιν ἐκδεδωκυῖα, τῇ παντοίᾳ τῶν προνοουμένων ἐπὶ τὸ κρεῖττον μεταγωγῇ καὶ τῆς αἰχμαλωσίας ἠφίει, καὶ πρὸς τὴν προτέραν ἱλεικῶς ἐπανήγαγεν εὐπάθειαν· ὁρᾷ τῶν θεολόγων εἷς Ζαχαρίας ἕνα τῶν πρώτων ὡς οἶμαι καὶ περὶ θεὸν ἀγγέλων· κοινὸν γὰρ ὡς ἔφην ἐστὶ πᾶσι τὸ τῆς ἀγγελικῆς ἐπωνυμίας πρὸς αὐτοῦ θεοῦ μαθόντα τοὺς περὶ τούτου παρακλητικοὺς ὡς εἴρηται λόγους· ἕτερον δὲ τῶν ὑφειμένων ἀγγέλων προσυπαντῶντα τῷ πρώτῳ προπορευόμενον ὡς πρὸς ἐλλάμψεως ὑποδοχὴν καὶ μετάληψιν· εἶτα πρὸς αὐτοῦ τὴν θείαν βουλὴν ὡς πρὸς ἱεράρχου μυούμενον, καὶ τὸ μυῆσαι τὸν θεολόγον ἐπιτρεπόμενον· ὅτι κατακαρ-

πως κατοικηθήσεται ἱερουσαλήμ. ἀπὸ πλήθους ἀνθρώπων. ἔτι πρὸς δὲ τῶν θεολόγων ἰεζεκιὴλ καὶ πρὸς αὐτῆς φησιν τοῦ πανιέρου νομοθετηθῆναι, τῆς τοῖς χερουβὶμ ἐπιβεβηκυίας ὑπερενδόξου θεότητος. τὸν γὰρ ἰσραὴλ ὡς εἴρηται πατρικῇ φιλανθρωπίᾳ διὰ παιδείας ἐπὶ τὸ κρεῖττον μετάγουσα δικαιοσύνη θεοπρεπεῖ τῶν ὑπευθύνων ἀποκρίνεσθαι τοὺς ἀνευθύνους ἐδικαίωσεν. τοῦτο μυεῖται πρῶτος μετὰ τὰ χερουβὶμ, ὁ τὴν ὀσφὺν σαπφείρῳ διεζωσμένος. ὃς τὸν ποδήρη κατὰ σύμβολον ἱεραρχικὸν ἐνδέδυκε. τοὺς δὲ λοιποὺς ἀγγέλους οἳ τοὺς πελέκεις εἶχον, ἡ θεία ταξιαρχία κελεύει πρὸς τοῦ προτέρου μυεῖσθαι τὴν περὶ τούτου θεοκρισίαν. τῷ μὲν γὰρ ἔφη μέσην διελθεῖν τὴν ἱερουσαλὴμ καὶ δοῦναι σημεῖον εἰς τὰ μέτωπα τῶν ἀνευθύνων ἀνδρῶν. τοῖς ἄλλοις δέ, πορεύεσθαι εἰς τὴν πόλιν ὀπίσω αὐτοῦ καὶ κόπτετε καὶ μὴ φείδεσθε τοῖς ὀφθαλμοῖς ὑμῶν ἐπὶ δὲ πάντας ἐφ᾽ οὓς ἐστιν τὸ σημεῖον μὴ ἐγγίσητε. τί ἄν τις εἴποι περὶ τοῦ φήσαντος ἀγγέλου τῷ δανιήλ. ἐξῆλθεν ὁ λόγος. ἢ περὶ αὐτοῦ τοῦ πρώτου τὸ πῦρ ἐκ μέσου τῶν χερουβὶν ἀνειληφότος. ἢ τὸ τούτου περιφανέστερον εἰς εὐταξίας ἀγγελικῆς ἀπόδειξιν, ὅπως τὰ χερουβὶμ ἐμβάλλει τὸ πῦρ εἰς τὰς χεῖρας τοῦ τὴν ἁγίαν στολὴν ἐνδεδυκότος, ἢ περὶ τοῦ κεκληκότος τὸν θειότατον γαβριήλ, καὶ φήσαντος αὐτῷ, συνέτισον ἐκεῖνον τὴν ὅρασιν. ἢ ὅσα ἄλλα πρὸς τῶν ἱερῶν θεολόγων εἴρηται περὶ τῆς τῶν οὐρανίων



ἱεραρχιῶν θεοειδοῦς εὐκοσμίας πρὸς ἣν ἡ τῆς καθ᾽ ἡμᾶς ἱεραρχίας εὐταξία κατὰ τὸ δυνατὸν ἀφομοιουμένη. τὴν ἀγγελικὴν εὐπρέπειαν ὡς ἐν εἰκόσιν ἕξει τυπουμένην δι᾽ αὐτῆς καὶ ἀναγομένην πρὸς τὴν ὑπερούσιον ἁπάσης ἱεραρχίας ταξιαρχίαν.

## ΚΕΦΑΛΑΙΟΝ Θ.

Περὶ τῶν ἀρχῶν καὶ τῶν ἀρχαγγέλων καὶ τῶν ἀγγέλων καὶ περὶ τῆς τελευταίας αὐτῶν ἱεραρχίας.

λ Οιπὸς ἡμῖν εἰς θεωρίαν ἱερὰν διάκοσμος ὁ τὰς ἀγγελικὰς συγκλείων ἱεραρχίας. ὁ πρὸς τῶν θεοειδῶν ἀρχῶν ἀρχαγγέλων τε καὶ ἀγγέλων διακοσμούμενος. Καὶ πρώτας μὲν εἰπεῖν ἀναγκαῖον οἶμαι κατὰ τὸ ἐμοὶ δυνατὸν τὰς τῶν ἁγίων αὐτῶν ἐπωνυμιῶν ἐκφαντορίας. ἐκφαίνει γὰρ ἡ μὲν τῶν οὐρανίων ἀρχῶν τὸ θεοειδῶς ἀρχικὸν καὶ ἡγεμονικὸν μετὰ τάξεως ἱερᾶς, καὶ ταῖς ἀρχικαῖς πρεπωδεστάταις δυνάμεσιν. καὶ τὸ πρὸς τὴν ὑπεράρχιον ἀρχὴν αὐτάς τε ὁλικῶς ἐπιστρέφεσθαι, καὶ ἑτέρων ἀρχικῶς ἡγεῖσθαι. καὶ τὸ πρὸς αὐτὴν ἐκείνην ὡς δυνατὸν ἀποτυποῦσθαι τὴν ἀρχοποιὸν ἀρχήν. ἀναφαίνειν τε τὴν ὑπερούσιον αὐτῆς ταξιαρχίαν, τῇ τῶν ἀρχικῶν εὐκοσμίᾳ δυνάμεων.

Η δὲ τῶν ἁγίων ἀρχαγγέλων ὁμοταγὴς μέν ἐστιν ταῖς οὐρανίαις ἀρχαῖς. ἔστι γὰρ αὐτῶν τε καὶ τῶν ἀγγέλων ὡς ἔφην ἱεραρχία μία καὶ διακόσμησις.

Πλὴν ἐπεὶ περ οὐκ ἔστιν ἱεραρχία μὴ καὶ πρώτας καὶ μέσας, καὶ τελευταίας δυνάμεις ἔχουσα. ἡ τῶν ἀρχαγγέλων ἁγία τάξις. κοινωνικῶς τῇ ἱεραρχικῇ μεσότητι τῶν ἄκρων ἀντιλαμβάνεται.

Ταῖς τε γὰρ ἁγιωτάταις ἀρχαῖς κοινωνεῖ. καὶ τοῖς ἁγίοις ἀγγέλοις. ταῖς μὲν ὅτι πρὸς τὴν ὑπερούσιον ἀρχὴν, ἀρχικῶς ἐπέστραπται. καὶ πρὸς αὐτὴν ὡς ἐφικτὸν ἀποτυποῦται. καὶ τοὺς ἀγγέλους ἑνοποιεῖ κατὰ τὰς εὐκόσμους αὐτῆς καὶ τεταγμένας καὶ ἀοράτους ἡγεμονίας. τοῖς δὲ ὅτι καὶ τῆς ὑποφητικῆς ἐστι τάξεως, τὰς θεαρχικὰς ἐλλάμψεις ἱεραρχικῶς διὰ τῶν πρώτων δυνάμεων ὑποδεχομένη, καὶ τοῖς ἀγγέλοις αὐτὰς ἀγαθοειδῶς ἀγγέλουσα, καὶ δι' ἀγγέλων ἡμῖν ἀναφαίνουσα. κατὰ τὴν ἱερὰν ἑκάστου τῶν θείων ἐλλαμπομένων ἀναλογίαν. οἱ γὰρ ἄγγελοι καθὼς ἤδη προειρήκαμεν. συμπληρωτικῶς ἀποπερατοῦσι τὰς ὅλας τῶν οὐρανίων νοῶν διακοσμήσεις. κατὰ τὸ τελευταῖον ὡς ἐν οὐρανίαις οὐσίαις ἔχοντες τὴν ἀγγελικὴν ἰδιότητα. καὶ μᾶλλον πρὸς ἡμῶν ἄγγελοι παρὰ τοὺς προτέρους οἰκειότερον ὀνομαζόμενοι. ὅσω καὶ περὶ τὸ ἐμφανέστερον αὐτοῖς ἐστιν ἡ ἱεραρχία καὶ μᾶλλον περικόσμιος. Τὴν μὲν γὰρ ὑπερτάτην ὡς εἴρηται διακόσμησιν, ὡς τῷ κρυφίῳ πρωτοταγῶς πλησιάζουσαν κρυφιοειδῶς οἰητέον ἱεραρχεῖν τῆς δευτέρας.

Τὴν δὲ δευτέραν ἣ συμπληροῦται πρὸς τῶν ἁγίων κυριοτήτων καὶ δυνάμεων καὶ ἐξουσιῶν, τῆς τῶν



ἀρχῶν καὶ ἀρχαγγέλων καὶ ἀγγέλων ἱεραρχίας ἡγεῖσθαι. τῆς πρώτης μὲν ἱεραρχίας ἐμφανέστερον. τῆς δὲ μετ' αὐτὴν κρυφιοειδεστέραν.

Τὴν δὲ τῶν ἀρχῶν καὶ ἀρχαγγέλων καὶ ἀγγέλων, ἐκφαντορικὴν διακόσμησιν, ταῖς ἀνθρωπείαις ἱεραρχίαις δι' ἀλλήλων ἐπιστατεῖν. ἵν' ἡ κατὰ τάξιν ἡ πρὸς θεὸν ἀναγωγὴ καὶ ἐπιστροφὴν, καὶ κοινωνία, καὶ ἕνωσις. καὶ μὴν παρὰ θεοῦ πάσαις ταῖς ἱεραρχίαις, ἀγαθοπρεπῶς ἐνδιδομένη, καὶ κοινωνικῶς ἐπιφοιτῶσα. μετ' εὐκοσμίας ἱερωτάτης πρόοδος. ἔνθεν ἡ θεολογία τὴν καθ' ἡμᾶς ἱεραρχίαν ἀγγέλοις ἀπονενέμηκεν. Ἄρχοντα τοῦ ἰουδαίων λαοῦ τὸν μιχαὴλ ὀνομάζουσα. καὶ ἄλλους ἐθνῶν ἑτέρων, ἔστησε γὰρ ὁ ὕψιστος ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων θεοῦ. Εἰ δέ τις φαίη, καὶ πῶς ὁ τῶν ἑβραίων λαὸς ἀνήγετο μόνος ἐπὶ τὰς θεαρχικὰς ἐλλάμψεις ἀποκριτέον. ὅτι μὴ τὰς τῶν ἀγγέλων εὐθείας ἐπιστασίας αἰτιάσασθαι χρὴ τῆς τῶν ἑτέρων ἐθνῶν ἐπὶ τοὺς οὐκ ὄντας θεοὺς ἀποπλανήσεως. ἀλλ' αὐτοὺς ἐκείνους οἰκείαις ῥοπαῖς. ἐκ τῆς ἐπὶ τὸ θεῖον εὐθείας ἀναγωγῆς ἀποπεπτωκότας. τῇ φιλαυτίᾳ καὶ αὐθαδείᾳ. καὶ τῇ τῶν αὐτοῖς δοκούντων θεοπρεπῶν ἀναλόγω, σεβασμιότητι. τοῦτο μαρτυρεῖται καὶ αὐτὸς ὁ τῶν ἑβραίων λαὸς πεπονθέναι. ἐπίγνωσιν γὰρ θεοῦ φησιν ἀπώσω, καὶ ὀπίσω τῆς καρδίας σου ἐπορεύθης. οὐδὲ γὰρ ἠναγκασμένην ἔχομεν ζωήν. οὐδὲ διὰ τὴν τῶν προνοουμένων

αὐτεξουσιότητα. τὰ θεῖα φῶτα τῆς προνοητικῆς ἐλλάμψεως ἀπαμβλύνεται· ἀλλ' ἡ τῶν νοερῶν ὄψεων ἀνομοιότης, τὴν ὑπερπλήρη τῆς πατρικῆς ἀγαθότητος φωτοδοσίαν, ἢ παντελῶς ἀμέθεκτον ποιεῖ καὶ πρὸς τὴν αὐτῶν ἀντιτυπίαν ἀδίαδοτον, ἢ τὰς μετουσίας ποιεῖ διαφόρους· μικρὰς ἢ μεγάλας· ἀμυδρὰς, ἢ φανάς· τῆς μιᾶς καὶ ἁπλῆς καὶ ἀεὶ ὡσαύτως ἐχούσης καὶ ὑπερηπλωμένης πηγαίας ἀκτῖνος. ἐπεὶ ὅτι γε καὶ τῶν ἑτέρων ἐθνῶν, ἐξ ὧν καὶ ἡμεῖς ἀνενεύσαμεν ἐπὶ τὸ πᾶσιν ἑτοίμως εἰς μετάδοσιν ἀναπεπταμένον τοῦ θεαρχικοῦ φωτὸς ἄπειρόν τε καὶ ἄφθονον πέλαγος· οὐκ ἔκφυλοί τινες ἐπεστάτουν θεοί· μία δὲ πάντων ἀρχή· καὶ πρὸς ταύτην ἀνῆγον τοὺς ἑπομένους, οἱ καθ' ἕκαστον ἔθνος ἱεραρχοῦντες ἄγγελοι· τὸν μελχισεδὲκ ἐννοητέον ἱεράρχην ὄντα φιλοθεώτατον οὐ τῶν οὐκ ὄντων· ἀλλὰ τοῦ ὄντως ὄντος ὑψίστου θεοῦ.

Καὶ γὰρ οὐχ ἁπλῶς τὸν μελχισεδὲκ οἱ θεόσοφοι· οὐ φιλόθεον μόνον· ἀλλὰ καὶ ἱερέα κεκλήκασιν, ἵνα τοῖς ἐχέφροσιν ἐναργῶς ἐμφαίνωσιν ὅτι μὴ μόνον αὐτὸς ἐπὶ τὸν ὄντως ὄντα θεὸν ἐπέστραπτο· πρὸς ἔτι δὲ, καὶ ἄλλοις ὡς ἱεράρχης ἡγεῖτο τῆς ἐπὶ τὴν ἀληθῆ καὶ μόνην θεαρχίαν ἀναγωγῆς.

Καὶ τοῦτο δὲ τὴν σὴν ἱεραρχικὴν σύνεσιν ὑπομνήσωμεν· ὅτι καὶ τοῦ φαραὼ πρὸς τοῦ τοῖς αἰγυπτίοις ἐπιστατοῦντος ἀγγέλου· καὶ τῷ βαβυλωνίων ἄρχοντι πρὸς τοῦ οἰκείου· καὶ τὸ τῆς πάντων προνοίας καὶ



κυριότητος ἡγεμονικὸν καὶ ἐξουσιαστικὸν κατὰ τὰς ὁράσεις διεπορθμεύετο, καὶ τοῖς ἔθνεσιν ἐκείνοις οἱ τοῦ ὄντως θεοῦ θεράποντες ἡγεμόνες καθίσταντο τῆς τῶν τυπωθεισῶν ὑπὸ τῶν ἀγγελικῶν ὁράσεων ἐκφαντορίας· τοῖς τῶν ἀγγέλων ἐγγὺς ἱεροῖς ἀνδράσι· τῷ δανιὴλ, καὶ τῷ ἰωσὴφ ἐκ θεοῦ δι' ἀγγέλων ἀποκαλυφθείσης. μία γάρ ἐστιν ἡ πάντων ἀρχὴ καὶ πρόνοια, καὶ οὐδαμῶς οἰητέον ἰουδαίων μὲν ἀποκληρωτικῶς ἡγεῖσθαι τὴν θεαρχίαν· ἀγγέλους δὲ ἰδίως ἢ ὁμοτίμως ἢ ἀντιθέτως ἢ θεούς τινας ἑτέρους ἐπιστατεῖν τοῖς ἄλλοις ἔθνεσιν· ἀλλὰ καὶ τὸ λόγιον ἐκεῖνο κατὰ τήνδε τὴν ἱερὰν ἔννοιαν ἐκληπτέον· οὐχ ὡς μερισαμένου θεοῦ· μεθ' ἑτέρων θεῶν ἢ ἀγγέλων τὴν καθ' ἡμᾶς ἡγεμονίαν καὶ τῷ ἰσραὴλ εἰς ἐθνάρχην καὶ ἐθναγωγὸν ἀποκληρωθέντος· ἀλλ' ὡς αὐτῆς μὲν τῆς μιᾶς ἁπάντων ὑψίστου προνοίας· πάντας ἀνθρώπους σωστικῶς ταῖς τῶν οἰκείων ἀγγέλων ἀναγωγικαῖς χειραγωγίαις διανειμάσης· μόνου δὲ σχεδὸν παρὰ πάντας τοῦ ἰσραὴλ ἐπὶ τὴν τοῦ ὄντως κυρίου φωτοδοσίαν καὶ ἐπίγνωσιν ἐπιστραφέντος· ὅθεν ἡ θεολογία τὸ μὲν ἑαυτὸν ἀποκληρῶσαι τὸν ἰσραὴλ ἐπὶ τὴν τοῦ ὄντως θεοῦ θεραπείαν ἐμφαίνουσα· τὸ ἐγεννήθη μερὶς κυρίου φασίν· ἐνδεικνυμένη δὲ τὸ καὶ αὐτὸν ἐπίσης τοῖς λοιποῖς ἔθνεσιν ἀπονενεμῆσθαί τινι τῶν ἁγίων ἀγγέλων· εἰς τὸ δι' αὐτοῦ τὴν μίαν ἁπάντων ἀρχὴν ἐπιγνῶναι· τὸν μιχαὴλ ἔφη· τοῦ ἰουδαίων ἡγεῖσθαι λαοῦ· σαφῶς

ἡμᾶς ἐκδιδάσκουσιν· τὸ μίαν εἶναι τῶν ὅλων πρόνοιαν, ἁπασῶν τῶν ἀοράτων καὶ ὁρατῶν δυνάμεων ὑπερουσίως ὑπεριδρυμένην· πάντας δὲ τοὺς καθ' ἕκαστον ἔθνος ἐπιστατοῦντας ἀγγέλους, ἐπ' αὐτὴν ὡς οἰκείαν ἀρχὴν τοὺς ἑπομένους ἐθελουσίως ὅση δύναμις ἀνατείνοντας.

## ΚΕΦΑΛΑΙΟΝ Ι.

### Ἐπανάληψις καὶ συναγωγὴ τῆς ἀγγελικῆς εὐταξίας.

σ Συνῆκται τοίνυν ἡμῖν, ὡς ἡ μὲν πρεσβυτάτη τῶν περὶ θεὸν νόων διακόσμησις ὑπὸ τῆς τελεταρχικῆς ἐλλάμψεως ἱεραρχουμένη, τῷ ἐπ' αὐτὴν ἀμέσως ἀνατείνεσθαι κρυφιωτέρα καὶ φανεροτέρα τῆς θεαρχίας φωτοδοσίᾳ, καθαίρεται καὶ φωτίζεται καὶ τελεσιουργεῖται· κρυφιωτέρα μὲν ὡς νοητοτέρα, καὶ μᾶλλον ἁπλωτικῇ καὶ ἑνοποιῷ· φανοτέρα δὲ ὡς πρωτοδότῳ καὶ πρωτοφανεῖ καὶ ὁλικωτέρᾳ καὶ μᾶλλον εἰς αὐτὴν ὡς διειδῆ κεχυμένῃ· πρὸς ταύτης δὲ πάλιν ἀναλόγως ἡ δευτέρα, καὶ πρὸς τῆς δευτέρας ἡ τρίτη, καὶ πρὸς τῆς τρίτης ἡ καθ' ἡμᾶς ἱεραρχία κατὰ τὸν αὐτὸν τῆς εὐκόσμου ταξιαρχίας θεσμόν, ἐν ἁρμονίᾳ θείᾳ καὶ ἀναλογίᾳ πρὸς τὴν ἁπάσης εὐκοσμίας ὑπεράρχιον ἀρχὴν καὶ πέρας ἱεραρχικῶς ἀνάγεται. ἐκφαντορι-



καὶ δὲ πάντες εἰσίν· καὶ ἄγγελοι τῶν πρὸ αὐτῶν· οἱ μὲν πρὸ αὐτῶν θεοῦ τοῦ κινοῦντος· ἀναλόγως δὲ οἱ λοιποὶ τῶν ἐκ θεοῦ κεκινημένων. τοσοῦτον γὰρ ἡ πάντων ὑπερούσιος ἁρμονία, τῆς ἑκάστου τῶν λογικῶν τε καὶ νοερῶν ἱερᾶς εὐκοσμίας καὶ τεταγμένης ἀγωγῆς προενόησεν, ὅτι καὶ αὐτῇ τῶν ἱεραρχιῶν ἑκάστῃ τάξεις ἱεροπρεπεῖς ἔθετο· καὶ πᾶσαν ἱεραρχίαν ὁρῶμεν εἰς τὰς πρώτας καὶ μέσας καὶ τελευταίας δυνάμεις διῃρημένην· ἀλλὰ καὶ αὐτὴν ἑκάστην ἰδικῶς εἰπεῖν διακόσμησιν ταῖς αὐταῖς ἐνθέοις ἁρμονίαις διέκρινεν. διὸ καὶ αὐτοὺς τοὺς θειοτάτους σεραφὶμ οἱ θεολόγοι φασὶν ἕτερον πρὸς τὸν ἕτερον κεκραγέναι· σαφῶς ἐν τούτῳ καθάπερ οἶμαι δηλοῦντες, ὅτι τῶν θεολογικῶν γνώσεων οἱ πρῶτοι τοῖς δευτέροις μεταδιδόασιν.

Προσθείην δ' ἂν καὶ τοῦτο οὐκ ἀπεικότως, ὅτι καὶ καθ' αὑτὸν ἕκαστος οὐράνιός τε καὶ ἀνθρώπειος νοῦς ἰδικὰς ἔχει καὶ πρώτας καὶ μέσας, καὶ τελευταίας τάξεις τε καὶ δυνάμεις, πρὸς τὰς εἰρημένας τῶν καθ' ἕκαστον ἱεραρχικῶν ἐλλάμψεων οἰκείας ἀναγωγὰς ἀναλόγως ἐκφαινομένας, καθ' ἃς ἕκαστος ἐν μετουσίᾳ γίγνεται κατὰ τὸ αὐτῷ θεμιτόν τε καὶ ἐφικτὸν τῆς ὑπεραγνοτάτης καθάρσεως· τοῦ ὑπερπλήρους φωτὸς· τῆς προτελείου τελειώσεως. ἔστι γὰρ οὐδὲν αὐτοτελές, ἢ ἀπροσδεὲς καθόλου τελειότητος· ἢ μὴ τὸ ὄντως αὐτοτελὲς καὶ προτέλειον.

## ΚΕΦΑΛΑΙΟΝ ΙΑ΄.

Διατὶ πᾶσαι αἱ οὐράνιαι οὐσίαι κατὰ κοινοῦ δυνάμεις οὐράνιαι λέγονται.

Τούτων δὲ διωρισμένων, ἐκεῖνο ἄξιον ἐννοῆσαι. δι' ἣν αἰτίαν ἁπάσας ὁμοῦ τὰς ἀγγελικὰς οὐσίας. δυνάμεις οὐρανίας καλεῖν εἰώθαμεν. οὐ γάρ ἐστιν εἰπεῖν ὡς ἐπὶ τῶν ἀγγέλων ὅτι πασῶν ἐστιν ἐσχάτη διακόσμησις ἡ τῶν ἁγίων δυνάμεων. καὶ τῆς μὲν τῶν ἐσχάτων ἁγιοπρεποῦς ἐλλάμψεως αἱ τῶν ὑπερκειμένων οὐσιῶν διακοσμήσεις μετέχουσιν. αἱ τελευταῖαι δὲ τῶν πρώτων οὐδαμῶς. καὶ τούτου χάριν οὐράνιαι μὲν δυνάμεις ἅπαντες οἱ θεῖοι νόες ὀνομάζονται. σεραφὶμ δὲ καὶ θρόνοι καὶ κυριότητες οὐδαμῶς. ἀμέθεκτοι γὰρ αἱ τελευταῖαι τῶν ὑπερτάτων εἰσὶν ὁλικῶν ἰδιοτήτων. οἱ γὰρ ἄγγελοι καὶ πρὸ τῶν ἀγγέλων ἀρχάγγελοι, καὶ ἀρχαὶ, καὶ ἐξουσίαι μετὰ τὰς δυνάμεις ὑπὸ τῆς θεολογίας τεταγμένοι κατὰ κοινοῦ πολλάκις ὑφ' ἡμῶν ὁμοῦ ταῖς ἄλλαις ἁγίαις οὐσίαις. οὐράνιαι δυνάμεις ἀποκαλοῦνται. φαμὲν δὲ ὅτι κοινῶς ἐπὶ πάσαις κεχρημένοι τῇ τῶν οὐρανίων δυνάμεων ἐπωνυμίᾳ. οὐ σύγχυσίν τινα τῶν ἑκάστης διακοσμήσεως ἰδιοτήτων εἰσάγομεν. ἀλλ' ἐπειδὴ εἰς τριάδα διῄρηνται τῷ κατ' αὐτοὺς ὑπερκοσμίῳ λόγῳ πάντες θεῖοι νόες εἰς οὐσίαν καὶ δύναμιν καὶ ἐνέργειαν ὅταν ἁπάσας ἢ τινὰς αὐτῶν ἀπαρατηρήτως οὐρανίας οὐσίας, ἢ οὐρανίας δυνάμεις ἀποκαλοῦμεν. αὐτοὺς περιφραστικῶς τοῖς περὶ ὧν ὁ λόγος. ἐμφαίνειν ἡμᾶς οἰητέον ἐκ τῆς καθ' ἕκαστον αὐτῶν οὐσίας, ἢ δυνάμεως.



Οὐδὲ γὰρ τὴν ὑπερκειμένην ἰδιότητα τῶν ἤδη καλῶς ἡμῖν διακεκριμένων ἁγίων δυνάμεων, καὶ ταῖς ὑφειμέναις ὁλικῶς προσάπτειν οὐσίαις, ἐπανατροπὴ τῆς ἀσυγχύτου τῶν ἀγγελικῶν διακόσμων ταξιαρχίας. κατὰ γὰρ τὸν πολλάκις ἡμῖν ὀρθῶς ἀποδοθέντα λόγον. αἱ μὲν ὑπερβεβηκυῖαι διακοσμήσεις. περιουσίως ἔχουσι καὶ τὰς τῶν ὑφειμένων ἱερὰς ἰδιότητας. αἱ δὲ τελευταῖαι τὰς τῶν πρεσβυτέρων ὑπερκειμένας ὁλότητας οὐκ ἔχουσι. μερικῶς εἰς αὐτὰς τῶν πρωτοφανῶν ἐλλάμψεων διὰ τῶν πρώτων ἀναλόγως αὐταῖς διαπορθμευομένων.

## ΚΕΦΑΛΑΙΟΝ ΙΒ΄.

Διατὶ οἱ κατὰ ἀνθρώπους ἱεράρχαι ἄγγελοι λέγονται.

Ζητεῖται δὲ καὶ τοῦτο τοῖς τῶν νοητῶν λογίων φιλοθεάμοσιν. εἰ γὰρ ἀμέθεκτα τῶν ὑπερτέρων ὁλοτήτων ἐστὶ τὰ τελευταῖα. Δι' ἣν αἰτίαν ὁ καθ' ἡμᾶς ἱεράρχης. ἄγγελος κυρίου παντοκράτορος ὑπὸ τῶν λογίων ὠνόμασται. ἔστι δὲ οὐκ ἐναντίως ὁ λόγος ὡς οἶμαι τοῖς προδιωρισμένοις.

φαμὲν γὰρ ὅτι τῆς ὁλικῆς καὶ ὑπερκειμένης τῶν πρεσβυτέρων διακόσμων δυνάμεως ἀποδέουσιν οἱ τελευταῖοι. τῆς γὰρ μερικῆς καὶ ἀναλόγου μετέχουσιν κατὰ τὴν μίαν ἁπάντων ἐναρμόνιον, καὶ συνδετικὴν κοινωνίαν. οἷον, ἡ τῶν ἁγίων χερουβὶμ τάξις μετέχει σοφίας καὶ γνώσεως ὑψηλοτέρας. αἱ δὲ τῶν ὑπ' αὐτοὺς οὐσιῶν διακοσμήσεις. μετέχουσι μὲν καὶ αὗται σοφίας καὶ γνώσεως. μερικῆς δὲ ὅμως ὡς πρὸς ἐκείνους καὶ ὑφειμένης.

Καὶ τὸ μὲν ὅλως ἐν μετουσίᾳ σοφίας εἶναι καὶ γνώσεως. κοινόν ἐστι πᾶσι τοῖς θεοειδέσιν τῶν νοερῶν. τὸ δὲ προσεχῶς καὶ πρώτως, ἢ δευτέρως, καὶ ὑφειμένως, οὐκέτι κοινόν. ἀλλ' ὡς ἑκάστῳ πρὸς τῆς οἰκείας ἀναλογίας ὥρισται. τοῦτο δὲ καὶ περὶ πάντων τῶν θείων νοῶν οὐκ ἄν τις ἡμαρτημένως ὡρίσαιτο.

Καὶ γὰρ ὥσπερ οἱ πρῶτοι περιουσίως ἔχουσιν τὰς τῶν ὑφειμένων ἁγιοπρεπεῖς ἰδιότητας. οὕτως ἔχουσιν οἱ τελευταῖοι τὰς τῶν προτέρων. οὐ μὴν ὁμοίως. ἀλλ' ὑφειμένως. οὐδὲν οὖν ὡς οἶμαι τὸ ἄτοπον εἰ καὶ τὸν καθ' ἡμᾶς ἱεράρχην ἄγγελον ἡ θεολογία καλεῖ, τὸν κατὰ δύναμιν οἰκείαν μετέχοντα τῆς τῶν ἀγγέλων ὑποφητικῆς ἰδιότητος, καὶ πρὸς τὴν ἐκφαντορικὴν αὐτῶν ὁμοίωσιν ὡς ἐφικτὸν ἀνθρώποις ἀνατεινόμενον. Εὑρήσεις δὲ ὅτι καὶ θεοὺς ἡ θεολογία καλεῖ τάς τε οὐρανίας καὶ ὑπὲρ ἡμᾶς οὐσίας, καὶ τοὺς παρ' ἡμῖν φιλοθεωτάτους καὶ ἱεροὺς ἄνδρας, καὶ τὸ τῆς θεαρχικῆς κρυφιότητος ὑπερουσίως ἁπάντων



ἐξῃρημένης τε καὶ ὑπεριδρυμένης, καὶ μηδενὸς αὐτῇ τῶν ὄντων ἐμφεροῦς ὀνομάζεσθαι κυρίως καὶ ὁλικῶς δυναμένου. πλὴν ὅτι τῶν νοερῶν τε καὶ λογικῶν πρὸς τὴν ἕνωσιν αὐτῆς ὅση δύναμις ὁλικῶς ἐπέστραπται, καὶ πρὸς τὰς θείας αὐτῆς ἐλλάμψεις ὡς ἐφικτὸν ἀκαταλήκτως ἀνατείνεται. τῇ κατὰ δύναμιν εἰ θέμις εἰπεῖν θεομιμησίᾳ, καὶ τῆς θεϊκῆς ὁμωνυμίας ἠξίωται.

## ΚΕΦΑΛΑΙΟΝ ΙΓ΄.

Διατί ὑπὸ τῶν σεραφὶμ λέγεται καθαρθῆναι ὁ προφήτης ἠσαΐας.

Γε δὴ καὶ τοῦτο κατὰ δύναμιν ἐπισκοπήσωμεν, ὅτου ἕνεκα πρὸς ἕνα τῶν θεολόγων ὁ σεραφὶμ ἀποστέλλεσθαι λέγεται. καὶ γὰρ ἀπορήσειέν τις, ὅτι μὴ τῶν ὑφειμένων τις ἀγγέλων, ἀλλ' αὐτὸς ὁ ταῖς πρεσβυτάταις οὐσίαις ἐνάριθμος. ἀποκαθαίρει τὸν ὑποφήτην. τινὲς μὲν οὖν φασιν ὅτι κατὰ τὸν ἤδη προαποδοθέντα τῆς πάντων τῶν νοῶν κοινωνίας ὅρον. οὐχ ἕνα τῶν περὶ θεὸν προτίστων νοῶν ὀνομάζει τὸ λόγιον ἐπὶ τὴν τοῦ θεολόγου κάθαρσιν ἐληλυθέναι. τινὰ δὲ τῶν ἡμῖν ἐφεστηκότων ἀγγέλων, ὡς ἱερουργὸν τῆς τοῦ προφήτου καθάρσεως τῇ τῶν σεραφὶμ ὁμωνυμίᾳ κληθῆναι, διὰ τὴν πρηστήριον τῶν εἰρημένων ἁμαρτιῶν ἀναίρεσιν, καὶ τὴν τοῦ κα

καθαρθέντος ἐπὶ τὴν θείαν ὑπακοὴν ἀναζωπύρωσιν. εἰρηκέναι φασίν. οὐ τῶν περὶ θεὸν ἱδρυμένων ἀλλὰ τῶν ἡμῖν ἐφεστηκυιῶν καθαρτικῶν δυνάμεων.

Ἕτερος δὲ οὐ σφόδρα ἀπᾴδοντά τινα παρέσχετό μοι τὴν ἀπολογίαν ὑπὲρ τῆς παρούσης ἐνστάσεως. ἔφη γὰρ ὅτι τὴν οἰκείαν καθαρτικὴν ἱερουργίαν ὁ μέγας ἐκεῖνος ὅστις ποτὲ ἦν, ὁ τὴν ὅρασιν διαπλάσας ἄγγελος εἰς τὸ μυῆσαι τὰ θεῖα τὸν θεολόγον. ἐπὶ θεὸν καὶ μετὰ θεὸν ἐπὶ τὴν πρωτουργὸν ἱεραρχίαν ἀνέθηκεν. Καὶ μή ποτ' ἄρα οὗτος ὁ λόγος ἀληθεύεται. ἔλεγεν γὰρ ὁ τοῦτο φήσας. ὡς ἡ θεαρχικὴ δύναμις ἐπὶ πάντων φοιτῶσα χωρεῖ. καὶ διὰ πάντων ἀσχέτως δίεισι, καὶ πᾶσιν αὖθις ἐστὶν ἀφανής. οὐ μόνον ὡς πάντων ὑπερουσίως ἐξῃρημένη. ἀλλὰ καὶ ὡς κρυφίως ἐπὶ πάντας διεῖσα, τὰς προνοητικὰς αὐτῆς ἐνεργείας. ἀλλὰ μὴν καὶ πᾶσιν τοῖς νοεροῖς ἀναλόγως ἐπιφαίνεται καὶ τὴν οἰκείαν φωτοδοσίαν ἐγχειρίζουσα ταῖς πρεσβυτάταις οὐσίαις δι' αὐτῶν ὡς πρώτων εἰς τὰς ὑποβεβηκυίας ἑαυτὴν εὐκόσμως διαδίδωσιν. κατὰ τὴν ἑκάστης διακοσμήσεως θεοπτικὴν συμμετρίαν. ἢ ἵνα σαφέστερον εἴπω, καὶ δι' οἰκείων παραδειγμάτων, εἰ καὶ ἀποδέοντα τοῦ θεοῦ τοῦ πάντων ἐξῃρημένου. πλὴν ἡμῖν ἐμφανεστέρων. ἡ τῆς ἡλιακῆς ἀκτῖνος διάδοσις. εἰς πρώτην ὕλην εὐδιαδότως χωρεῖ, τὴν πασῶν διειδεστέραν. καὶ δι' αὐτῆς ἐμφανέστερον ἀναλάμπει τὰς οἰκείας μαρμαρυγάς. προσβάλλουσα δὲ ταῖς παχυτέραις ὕλαις. ἀμυδροτέραν ἔχει τὴν διαδοτικὴν ἐπιφάνειαν, ἐκ τῆς τῶν φωτιζομένων ὑλῶν πρὸς φωτοδοσίαν διαπορθμευτικὴν ἕξιν ἀνεπιτηδειότητος. καὶ κατὰ σμικρὸν ἐκ τούτου πρὸς τὸ παντελῶς σχεδὸν ἀδιάδοτον συστέλλεται. πάλιν ἡ πυρὸς θερμότης. μᾶλλον ἑαυτὴν διαδίδωσιν εἰς τὰ δεκτικώτερα, καὶ πρὸς τὴν αὐτῆς ἀφομοίωσιν εὐεικτα καὶ εὐάγωγα.



Πρὸς δὲ τὰς ἀντιτυπεῖς ἢ ἐναντίας οὐσίας, ἢ οὐδέν, ἢ ἀμυδρόν τι τῆς ἐκπυρωτικῆς ἐνεργείας ἴχνος ἀναφαίνεται. καὶ τὸ τούτου γε πλέον. ὅτι ταῖς μὴ συγγενέσιν διὰ τῶν οἰκείως πρὸς αὐτὴν ἐχόντων προσβάλλει. πρῶτον εἰ τύχοι πυροῦσα ποιοῦσα τὰ πρὸς ἐκπύρωσιν εὐαλλοίωτα. καὶ δι' αὐτῶν ἢ ὕδωρ ἢ ἕτερόν τι τῶν οὐκ εὐκόλως ἐκπυρουμένων ἀναλόγως θερμαίνουσα. κατὰ τὸν αὐτὸν οὖν τῆς φυσικῆς εὐταξίας λόγον ὑπερφυῶς ἡ πάσης εὐκοσμίας ὁρατῆς καὶ ἀοράτου εὐταξιαρχία τὴν τῆς οἰκείας φωτοδοσίας λαμπρότητα πρωτοφανῶς ἐν πανολβίαις χύσεσιν ταῖς ὑπερτάταις οὐσίαις ἀναφαίνει. καὶ διὰ τούτων αἱ μετ' αὐτὰς οὐσίαι τῆς θείας ἀκτῖνος μετέχουσιν.

Αὗται γὰρ ἐπιγνοῦσαι πρῶται θεόν. καὶ θείας ἀρετῆς ὑπερκειμένως ἐφιέμεναι καὶ πρωτουργοὶ γενέσθαι τῆς ὡς ἐφικτὸν θεομιμήτου δυνάμεως καὶ ἐνεργείας ἠξίωνται. καὶ τὰς μετ' αὐτὰς οὐσίας αὗται πρὸς τὸ ἐφάμιλλον ὅση δύναμις

ἀγαθοειδῶς ἀνατείνουσιν· ἀφθόνως αὐταῖς μεταδιδούσαις τῆς εἰς αὐτὰς ἐπιφοιτησάσης αἴγλης· καὶ αὖθις ἐκείναις ταῖς ὑφειμέναις· καὶ καθ' ἑκάστην ἡ πρώτη τῇ μετ' αὐτὴν μεταδίδωσι τοῦ δωρουμένου· καὶ εἰς πάσας ἀναλόγως προνοίᾳ διαφοιτῶντος τοῦ θείου φωτός. Ἔστιν οὖν ἅπασι τοῖς φωτιζομένοις· ἀρχὴ τοῦ φωτίζεσθαι θεὸς μὲν φύσει· καὶ ὄντως κυρίως ὡς φωτὸς οὐσία· καὶ αὐτοῦ εἶναι καὶ ὁρᾷν αἴτιος· θέσει δὲ καὶ θεομιμήτως· ἡ κατὰ μέρος ὑπερκειμένη τῇ μετ' αὐτὴν ἑκάστη, τῷ τὰ θεῖα φῶτα δι' αὐτῆς εἰς ἐκείνην ἐποχετεύεσθαι.

Τὴν οὖν ὑπερτάτην τῶν οὐρανίων νοῶν διακόσμησιν, αἱ τῶν λοιπῶν ἁπάντων ἀγγέλων οὐσίαι κατὰ τὸ εἰκὸς μετὰ θεὸν ἀρχὴν ἡγοῦνται πάσης ἱερᾶς θεογνωσίας τε καὶ θεομιμησίας ὡς δι' ἐκείνων εἰς πάσας, καὶ ἡμᾶς τῆς θεαρχικῆς ἐλλάμψεως διαδιδομένης· διὸ καὶ πᾶσαν ἱερὰν καὶ θεομίμητον ἐνέργειαν ἐπὶ θεὸν μὲν ὡς αἴτιον ἀναφέρουσιν· ἐπὶ δὲ τοὺς πρώτους θεοειδεῖς νόας ὡς πρωτουργοὺς τῶν θείων καὶ διδασκάλους. Οὐκοῦν ἡ πρώτη τῶν ἁγίων ἀγγέλων διακόσμησις· μᾶλλον ἁπασῶν ἔχει τὴν ἐμπύριον ἰδιότητα· καὶ τὴν κεχυμένην τῆς θεαρχικῆς σοφίας μετάδοσιν, καὶ τὸ γνωστικὸν τῆς ὑπερτάτης τῶν θείων ἐλλάμψεων ἐπιστήμης· καὶ τὴν θρονικὴν ἰδιότητα τὴν ἀναπεπταμένην θεοδοχίαν ἐμφαίνουσαν· αἱ δὲ τῶν ὑφειμένων οὐσιῶν διακοσμήσεις, τῆς ἐμπυρίου τῆς σοφῆς τῆς γνω-

στικῆς



στικῆς τῆς θεοδόχου δυνάμεως. μετέχουσι μὲν, ὑφειμένως δὲ, καὶ πρὸς τὰς πρώτας ὁρῶσαι· καὶ δι' αὐτῶν ὡς τοῦ θεομιμήτου πρωτουργῶς ἠξιωμένων· ἐπὶ τὸ θεοειδὲς ὡς ἐφικτὸν ἀναγόμεναι.

Τὰς εἰρημένας οὖν ἁγίας ἰδιότητας ὧν ἐν μετουσίᾳ διὰ τῶν πρώτων αἱ μετ' αὐτὰς οὐσίαι γεγόνασιν. αὐταῖς ἐκείναις μετὰ θεὸν ὡς ἱεράρχαις ἀνατιθέασιν.

Ἔλεγεν οὖν ὁ ταῦτα φήσας· τὴν μὲν ὅρασιν ἐκείνην ὑποδειχθῆναι τῷ θεολόγῳ δι' ἑνός τινος τῶν ἐπιστατούντων ἡμῖν ἁγίων καὶ μακαρίων ἀγγέλων, καὶ πρὸς τῆς φωτιστικῆς αὐτοῦ χειραγωγίας ἐπὶ τὴν νοερὰν ἐκείνην θεωρίαν ἀνατεθῆναι. καθ' ἣν ἑώρα τὰς ὑπερτάτας οὐσίας· ὡς ἐν συμβόλοις εἰπεῖν ὑπὸ θεὸν καὶ μετὰ θεοῦ καὶ περὶ θεὸν ἱδρυμένας, καὶ τὴν ἁπάντων καὶ αὐτῶν ὑπεραρρήτως ἐξῃρημένην ὑπεράρχιον ἀκρότητα ἐν μέσῳ τῶν ὑπερβεβηκυιῶν δυνάμεων ὑπεριδρυμένην.

Ἐμάνθανεν οὖν τοῖς ὁρωμένοις θεολόγος· ὅτι κατὰ πᾶσαν ὑπερούσιον ὑπεροχὴν ἀσυγκρίτως ὑπερίδρυται τὸ θεῖον· ἁπάσης ὁρατῆς καὶ ἀοράτου δυνάμεως. Καὶ μὴν ὅτι πάντων ἐστὶν ἐξῃρημένον. ὡς καθόλου μηδὲ ταῖς πρώταις τῶν ὄντων οὐσίαις ἐμφερὲς, προσέτι καὶ τὸ πάντων αὐτὸ· ἀρχὴν καὶ αἰτίαν οὐσιοποιὸν εἶναι, καὶ τῆς τῶν ὄντων ἀδιαλύτου μονῆς ἀναλλοίωτον ἵδρυσιν· ὑφ' ἧς, καὶ τὸ εἶναι καὶ τὸ εὖ εἶναι καὶ αὐταῖς ταῖς ὑπερβεβηκυίαις ἐστὶ δυνάμεσιν.

Εἶτα τὰς αὐτὰς τῶν ἁγιωτάτων σεραφὶμ ἐμυεῖτο θεοειδεῖς δυνάμεις. τῆς μὲν ἱερᾶς αὐτῶν ἐπωνυμίας τὸ ἐμπύριον σημαινούσης. περὶ οὗ μικρὸν ὕστερον ἡμεῖς ἐροῦμεν ὡς ἡμῖν ἐφικτὸν ὑφηγήσασθαι τὰς ἐπὶ τὸ θεοειδὲς τῆς ἐμπύρου δυνάμεως ἀναγωγάς. τῆς δὲ τῶν πτερῶν ἐξ ἁπλῆς ἱεροπλαστίας. τὴν ἐπὶ τὸ θεῖον ἐν πρώταις, ἐν μέσαις, ἐν τελευταίαις νοήσεσιν ἀπόλυτον καὶ ὑπερτάτην ἀνάτασιν ἀλλὰ καὶ τὸ ἀπειρόπουν αὐτῶν καὶ πολυπρόσωπον ὁρῶν ὁ ἱερὸς θεολόγος. καὶ τὸ τοῖς πτεροῖς ἀποδιαστέλλεσθαι τὴν ὑπὸ τοὺς πόδας καὶ τὴν ὑπὲρ τὰ πρόσωπα θεωρίαν, καὶ τὴν ἐν τοῖς μέσοις πτεροῖς ἀεικινησίαν πρὸς τὴν νοητὴν τῶν ὁρωμένων ἀνήγετο γνῶσιν ἐκφαινομένης αὐτῷ τῆς τῶν ὑπερτάτων νοῶν πολυπόρου καὶ πολυθεάμονος δυνάμεως, καὶ τῆς ἱερᾶς αὐτῶν εὐλαβείας. ἣν ἔχουσιν ὑπερκοσμίως εἰς τὴν ὑψηλοτέρων. καὶ βαθυτέρων αὐθάδη, καὶ θρασεῖαν καὶ ἀνέφικτον ἔρευναν καὶ τῆς ἐν συμμετρίᾳ τῶν θεομιμήτων ἐνεργειῶν ἀκαταλήκτου καὶ ὑψιπετοῦς ἀεικινησίας. ἀλλὰ καὶ τὴν θεαρχικὴν ἐκείνην καὶ πολυΰμνητον ὑμνῳδίαν ἐμυσταγωγεῖτο. τοῦ τυποῦντος τὴν ὅρασιν ἀγγέλου κατὰ δύναμιν τῷ θεολόγῳ μεταδιδόντος τῆς οἰκείας ἱερογνωσίας. ἐδίδασκεν οὖν αὐτὸν καὶ τοῦτο. ὅτι κάθαρσίς ἐστι τοῖς ὅπως οὖν καθαροῖς ἡ τῆς θεαρχικῆς διαυγείας ἁγνότητος ὡς ἐφικτὸν μετουσία.



Αὕτη δὲ πρὸς αὐτῆς θεαρχίας ἐξῃρημέναις αἰτίαις. εἰς πάντας τοὺς ἱεροὺς νόας ὑπερουσίῳ κρυφιότητι τελετουργουμένη. ταῖς περὶ αὐτὴν ὡς ὑπερτάταις δυνάμεσιν. ἐκφανεστέρα πώς ἐστι καὶ μᾶλλον ἑαυτὴν ἐκφαίνει καὶ διαδίδωσι. ταῖς δὲ τῶν δευτέρων, ἢ τῶν ἐσχάτων, ἢ τῶν μέσων νοερῶν δυνάμεων, ὡς αὐτῆς ἑκάστη κατὰ τὸ θεοειδὲς διέστηκεν. οὕτω τὴν φανὴν αὐτῆς ἔλλαμψιν συνάγει. πρὸς τὸ τῆς οἰκείας κρυφιότητος ἑνιαῖον ἄγνωστον. ἐλλάμπει δὲ τοῖς καθ᾽ ἕκαστον δευτέροις διὰ τῶν πρώτων καὶ εἰ δεῖ συντόμως εἰπεῖν. πρώτως ἐκ τοῦ κρυφίου πρὸς τὸ ἐμφανὲς ἄγεται διὰ πρώτων δυνάμεων. τοῦτο γοῦν, ὁ θεολόγος ἐδιδάσκετο πρὸς τοῦ φωταγωγοῦντος αὐτὸν ἀγγέλου, τὸ τὴν κάθαρσιν καὶ πάσας τὰς θεαρχικὰς ἐνεργείας. διὰ τῶν πρώτων οὐσιῶν ἀναλαμπούσας εἰς πάσας τὰς λοιπὰς διαδίδοσθαι. κατὰ τὴν ἑκάστης πρὸς τὰς θεουργικὰς μετουσίας ἀναλογίαν. διό, καὶ τὴν ἐμπυρίως καθαρτικὴν ἰδιότητα. τοῖς σεραφὶμ ἀκολούθως μετὰ θεὸν ἀνατέθεικεν. οὐδὲν οὖν ἄτοπον. εἰ καθαίρειν λέγεται τὸν θεολόγον ὁ σεραφίμ. ὡς γὰρ ὁ θεὸς καθαίρει πάντας τῷ πάσης καθάρσεως εἶναι αἰτία. μᾶλλον δὲ παραπλησίῳ γὰρ χρήσομαι παραδείγματι. καθάπερ ὁ καθ᾽ ἡμᾶς ἱεράρχης διὰ τῶν αὐτοῦ λειτουργῶν, ἢ ἱερέων καθαίρων ἢ φωτίζων, αὐτὸς λέγεται καθαίρειν καὶ φωτίζειν, τῶν δι᾽ αὐτοῦ καθιερωμένων τάξεων ἐπ᾽ αὐτὸν ἀνατιθεισῶν τὰς οἰκεί

ας ἱερὰς ἐνεργείας, οὕτω καὶ τὴν οἰκείαν καθαρτικὴν ἐπιστήμην καὶ δύναμιν, ὁ τὴν κάθαρσιν τοῦ θεολόγου τελεσιουργῶν ἄγγελος. ἐπὶ θεὸν μὲν, ὡς αἴτιον· ἐπὶ δὲ τὸν σεραφὶμ ὡς πρωτουργὸν ἱεράρχην ἀνατίθησιν· ὡς ἄν τις φαίη μετ' εὐλαβείας ἀγγελικῆς· τὸν ὑπ' αὐτοῦ καθαιρόμενον ἐκδιδάσκων· ὅτι τῆς εἰς σὲ πρὸς ἐμοῦ τελεσιουργουμένης καθάρσεως· ἀρχὴ μέν ἐστιν ἐξῃρημένη καὶ οὐσία καὶ δημιουργὸς καὶ αἴτιος ὁ, καὶ τὰς πρώτας οὐσίας καὶ πρὸς τὸ εἶναι παραγαγὼν, καὶ τῆς περὶ αὐτὸν ἱδρύσει συνέχων καὶ διατηρῶν ἀτρέπτοις τε καὶ ἀμεταπτώτοις· καὶ αὐτὸς κινῶν ἐπὶ τὰς πρώτας τῶν οἰκείων προνοητικῶν ἐνεργειῶν μετουσίας.

Τοῦτο γὰρ ὁ ταῦτά με διδάσκων ἔφη τὴν τοῦ σεραφὶμ ἐμφαίνειν ἀποστολήν· ἱεράρχης δὲ καὶ μετὰ θεὸν ἡγεμὼν, ὁ τῶν πρωτίστων οὐσιῶν διάκοσμος· παρ' οὗ τὸ καθαίρειν ἐγὼ θεοειδῶς ἐμυήθην· οὗτος ἐστὶν ὁ δι' ἐμοῦ σε καθαίρων· δι' οὗ τὰς οἰκείας προνοητικὰς ἐνεργείας· ἐκ τοῦ κρυφίου καὶ εἰς ἡμᾶς προήγαγεν ἡ πάσης αἰτία καὶ δημιουργὸς καθάρσεως· ταῦτα μὲν ἐκεῖνος ἐδίδασκέ με.

Σοὶ δ' ἐγὼ μεταδίδωμι· τῆς σῆς δ' ἂν εἴη, νοερᾶς καὶ διακριτικῆς ἐπιστήμης, ἢ θατέραν τῶν εἰρημένων αἰτιῶν ἀπολυθῆναι τῆς ἀπορίας· καὶ ταύτην τιμῆσαι πρὸ τῆς ἑτέρας ὡς τὸ εἰκὸς καὶ τὸ εὔλογον· καὶ ἴσως τὸ ἀληθὲς ἔχουσαν· ἢ παρ' ἑαυτοῦ τι τῶν ὄντως ἀληθοῦς συγγενέστερον ἐξευρεῖν, ἢ παρ' ἑτέρου μα-



θεῖν, θεοῦ δηλαδὴ διδόντος ῥῆμα, καὶ προξενούντων ἀγγέλων, καὶ τοῖς φιλαγγέλοις ἡμῖν ἀνακαλύψαι δι' αὐγῆ μᾶλλον εἴπερ οἴονται ἦ, καὶ ἐμοὶ μᾶλλον ἐραστὴν θεωρίαν.

## ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Τί σημαίνει ὁ παραδεδομένος ἀγγελικὸς ἀριθμός.

Κ αὶ τοῦτο δὲ ἄξιον ὡς οἶμαι νοερᾶς ἐπιστασίας, ὅτι τῶν λογίων, ἡ περὶ τῶν ἀγγέλων παράδοσις, χιλίας χιλιάδας εἶναί φησιν· καὶ μυρίας μυριάδας· τοὺς παρ' ἡμῖν ἀκροτάτους τῶν ἀριθμῶν εἰς ἑαυτοὺς ἐπανακυκλοῦσα, καὶ πολλαπλασιάζουσα· καὶ διὰ τούτων ἐναργῶς ἐμφαίνουσα, τὰς ἡμῖν ἀναριθμήτους τῶν οὐρανίων οὐσιῶν διατάξεις· πολλαὶ γάρ εἰσιν αἱ μακάριαι στρατιαὶ τῶν ὑπερκοσμίων νοῶν, τὴν ἀσθενῆ καὶ συνεσταλμένην ὑπερβεβηκυῖαι τῆς καθ' ἡμᾶς ὑλαίων ἀριθμῶν συμμετρίαν· καὶ πρὸς μόνης γνωστικῶς ὁριζόμεναι τῆς κατ' αὐτὰς ὑπερκοσμίου καὶ οὐρανίας νοήσεως καὶ ἐπιστήμης· τῆς παναλβίως αὐταῖς δωρουμένης ὑπὸ τῆς θεαρχικῆς ἀπειρογνώστου σοφοποιίας τῆς πάντων ὁμοῦ τῶν ὄντων ὑπερουσίως οὔσης ἀρχῆς καὶ αἰτίας οὐσιοποιοῦ καὶ συνεκτικῆς δυνάμεως, καὶ περιεκτικῆς ἀποπερατώσεως.

## ΚΕΦΑΛΑΙΟΝ ΙΕ′.

Τίνες αἱ μορφωτικαὶ τῶν ἀγγελικῶν δυνάμεων εἰκόνες· τί τὸ πυρῶδες. Τί τὸ ἀνθρωποειδές. Τίνες οἱ ὀφθαλμοί. Τίνες αἱ ῥῖνες. Τίνα τὰ ὦτα. Τίνα τὰ στόματα. καὶ τὰ λοιπὰ τοῦ κεφαλαίου.

Φέρε δὴ λοιπὸν ἀναπαύοντες ἡμῶν εἰ δοκεῖ τὸ νοερὸν ὄμμα τῆς περὶ τὰς ἑνικὰς ὑψηλὰς θεωρίας, ἀγγελοπρεποῦς συντονίας, ἐπὶ τὸ διαιρετὸν καὶ πολυμερὲς πλάτος τῆς πολυειδοῦς τῶν ἀγγελικῶν μορφοποιιῶν ποικιλίας καταβάντες· πάλιν ἀπ' αὐτῶν ὡς ἀπ' εἰκόνων ἐπὶ τὴν ἁπλότητα τῶν οὐρανίων νοῶν ἀναλυτικῶς ἀνακάμψωμεν. ἔστω δέ σοι προδιεγνωσμένον· ὡς αἱ τῶν ἱεροτύπων εἰκόνων ἀνακαθάρσεις, τὰς αὐτὰς ἔσθ' ὅτε τῶν οὐρανίων οὐσιῶν διακοσμήσεις. ἱεραρχούσας ἐμφαίνουσιν· καὶ αὖθις ἱεραρχουμένας. καὶ τὰς ἐσχάτας ἱεραρχούσας· ἱεραρχουμένας τε τὰς πρώτας, καὶ τὰς αὐτὰς ὡς εἴρηται· πρώτας καὶ μέσας, καὶ τελευταίας ἐχούσας δυνάμεις· οὐδενὸς ἀτόπου λόγου παρεισαγομένου· κατὰ τὸν τοιόνδε τῆς ἀναπτύξεως τρόπον

Εἰ μὲν γὰρ ἱεραρχεῖσθαί τινας ὑπὸ τῶν προτέρων λέγομεν· εἶτα τῶν αὐτῶν ἱεραρχούσας· καὶ τὰς προτέρας αὖθις ἱεραρχούσας τῶν τελευταίων ἱεραρχεῖσθαι πρὸς αὐτῶν ἐκείνων τῶν ἱεραρχουμένων· ὄντως



ἄτοπα τὸ πρᾶγμα καὶ συγχύσεως πολλῆς ἀνάμεστον.

Εἰ δὲ τὰς αὐτὰς ἱεραρχεῖν τε καὶ ἱεραρχεῖσθαι λέγομεν οὐκέτι δὲ τῶν αὐτῶν, ἢ πρὸς τῶν αὐτῶν ἀλλ' αὐτὴν ἑκάστην ἱεραρχεῖσθαι μὲν ὑπὸ τῶν προτέρων· ἱεραρχεῖν δὲ τῶν τελευταίων· οὐκ ἀπεικότως αὕτη φαίη τὰς ἐν τοῖς λογίοις ἱεροπλάστους μορφώσεις· τὰς αὐτὰς ἔσθ' ὅτε δύνασθαι· καὶ πρώταις καὶ μέσαις, καὶ τελευταίαις δυνάμεσιν οἰκείως καὶ ἀληθῶς περιτιθέναι. καὶ τὸ πρὸς τὸ ἄναντες ἀνατατικῶς ἀνατίθεσθαι. καὶ τὸ περὶ αὐτὰς ἀρρεπῶς εἰλεῖσθαι τῶν οἰκείων οὔσας φρουρητικὰς δυνάμεων· καὶ τὸ τῆς περὶ τὰ δεύτερα κοινωνικῆς προόδου τῆς προνοητικῆς αὐτὰς ἐν μεθέξει δυνάμεως εἶναι· πάσαις ἀψευδῶς ἁρμόσει ταῖς οὐρανίαις οὐσίαις· εἰ καὶ ταῖς μὲν ὑπερκειμένως καὶ ὁλικῶς ὡς πολλάκις εἴρηται. ταῖς δὲ μερικῶς καὶ ὑφειμένως.

Ἀρκτέον δὲ τοῦ λόγου καὶ ζητητέον· ἐν πρώτῃ τῶν τύπων ἀνακαθάρσει δι' ἣν αἰτίαν ἡ θεολογία· σχεδὸν παρὰ πάντας εὑρίσκεται τιμῶσα τὴν ἔμπυριον ἱερογραφίαν. εὑρήσεις γοῦν αὐτὴν οὐ μόνον τροχοὺς πυρώδεις διαπλάττουσαν. ἀλλὰ καὶ ζῶα πεπυρωμένα. καὶ ἄνδρας ὡσπερεὶ ἐξαστράπτοντας καὶ περὶ αὐτὰς τὰς οὐρανίας οὐσίας, σωροὺς ἀνθράκων πυρὸς περιτιθεῖσαν καὶ ποταμοὺς ἀσχέτῳ ῥοίζῳ περιφλεγέθοντας· ἀλλὰ καὶ τοὺς θρόνους φησὶν πυρίνους

εἶναι· καὶ αὐτοὺς δὲ τοὺς ὑπερτάτους σεραφὶμ ἐμπρηστὰς ὄντας, ἐκ τῆς ἐπωνυμίας ἐμφαίνει, καὶ τὴν πυρὸς ἰδιότητα καὶ ἐνέργειαν αὐτοῖς ἀπονέμει· καὶ ὅλως ἄνω καὶ κάτω τὴν ἐμπύριον τιμᾷ ἐκκρίτως τυπωπλασίαν·

Τὸ μὲν οὖν πυρῶδες ἐμφαίνειν οἴομαι τὸ τῶν οὐρανίων νοῶν θεοειδέστατον· οἱ γὰρ ἱεροὶ θεολόγοι, τὴν ὑπερούσιον καὶ ἀμόρφωτον οὐσίαν, ἐν πυρὶ πολλαχῇ διαγράφουσιν· ὡς ἔχοντι πολλὰς τῆς θεαρχικῆς εἰ θέμις εἰπεῖν ἰδιότητος, ὡς ἐν ὁρατοῖς εἰκόνας.

Τὸ γὰρ αἰσθητὸν πῦρ, ἔστι μὲν ὡς εἰπεῖν ἐν πᾶσι καὶ διὰ πάντων ἀμιγῶς φοιτᾷ, καὶ ἐξῄρηται πάντων καὶ παμφαὲς ὂν ἅμα, καὶ ὡς κρύφιον, ἄγνωστον αὐτὸ καθ᾽ ἑαυτὸ μὴ προκειμένης ὕλης εἰς ἣν, ἀναφαίνοι τὴν οἰκείαν ἐνέργειαν, ἄσχετόν τε καὶ ἀθεώρητον αὐτοκρατητικὸν ἁπάντων καὶ τὰ ἐν οἷς ἂν, ἐγγένηται πρὸς τὴν οἰκείαν ἐνέργειαν· ἀλλοιωτικόν· μεταδοτικὸν ἑαυτοῦ· πᾶσι τοῖς ὁπωσοῦν, πλησιάζουσιν, ἀνανεωτικὸν τῇ ζωοπύρῳ θερμότητι φωτιστικόν· ταῖς ἀπερικαλύπτοις ἐλλάμψεσιν ἀκράτητον· ἀμιγές· διακριτικόν· ἀναλλοίωτον· ἀνωφόρον· ὀξυπόρον· ὑψηλόν· οὐδεμίαν ἀνεχόμενον ὑποπεζίας ὑφέσεως· ἀκίνητον· ταυτοκίνητον· κινητικὸν ἑτέρων· περιληπτικόν· ἀπερίληπτον· ἀπροσδεὲς ἑτέρου· λανθανόντως αὐξητικὸν ἑαυτοῦ καὶ πρὸς τὰς ὑποδεχομένας ὕλας ἐκφαῖνον τὴν ἑαυτοῦ μεγαλειότητα· δραστήριον· δυνατόν· ἅπασιν παρὸν



ἀοράτως· ἀμελούμενον οὐκ εἶναι δοκοῦν· τῇ τρίψει δὲ καθάπερ τινὶ ζητήσει· συμφυῶς καὶ οἰκείως· ἐξαίφνης ἀναφαινόμενον· καὶ αὖθις, ἀκαταλήπτως ἀφιπτάμενον· ἀμείωτον, ἐν πάσαις ταῖς πανολβίαις ἑαυτοῦ μεταδόσεσιν· καὶ πολλὰς ἄν τις εὕροι τοῦ πυρὸς ἰδιότητας οἰκείας ὡς ἐν αἰσθηταῖς εἰκόσιν θεαρχικῆς ἐνεργείας.

Τοῦτο γοῦν εἰδότες οἱ θεόσοφοι· τὰς οὐρανίας οὐσίας ἐκ πυρὸς διαπλάττουσιν· ἐμφαίνοντες αὐτῶν τὸ θεοειδές, καὶ ὡς ἐφικτὸν θεομίμητον.

Ἀλλὰ καὶ ἀνθρωπομόρφους αὐτοὺς ἀναγράφουσιν· διὰ τὸ νοερὸν καὶ πρὸς τὸ ἄναντες· ἔχειν τὰς ὀπτικὰς δυνάμεις, καὶ τὸ τοῦ σχήματος εὐθὺ καὶ ὄρθιον· καὶ τὸ κατὰ φύσιν ἀρχικὸν καὶ ἡγεμονικόν· καὶ τὸ κατ᾽ αἴσθησιν μὲν, ἐλάχιστον, ὡς πρὸς τὰς λοιπὰς τῶν ἀλόγων ζώων δυνάμεις· κρατητικὸν δὲ πάντων τῇ τοῦ νοῦ κατακρατούσῃ δυνάμει, καὶ τῇ κατὰ λογικὴν ἐπιστήμην ἐπικρατείᾳ· καὶ κατὰ τὸ φύσει τῆς ψυχῆς, ἀδούλωτον καὶ ἀκράτητον.

Ἔστι δὲ καὶ καθ᾽ ἕκαστον ὡς οἶμαι τῆς σωματικῆς ἡμῶν πολυμερείας εἰκόνας ἐναρμονίους ἐξευρεῖν τῶν οὐρανίων δυνάμεων φάσκοντας· τὰς μὲν ὀπτικὰς ἐμφαίνειν δυνάμεις· τὴν πρὸς τὰ θεῖα φῶτα διειδεστάτην ἀνάνευσιν· καὶ αὖθις τὴν ἁπαλὴν καὶ ὑγρὰν καὶ οὐκ ἀντίτυπον ἀλλ᾽ ὀξυκίνητον καὶ καθαρὰν καὶ ἀναπεπταμένην, ἀπαθῶς ὑποδοχὴν τῶν θεαρχικῶν ἐλλάμψεων.

Τὰς δὲ τῶν ὀσφραντῶν διακριτικὰς δυνάμεις· τὸ τῆς ὑπὲρ νοῦν εὐωδίας διαδόσεως ὡς ἐφικτὸν ἀντιληπτικόν, καὶ τῶν μὴ τοιούτων ἐν ἐπιστήμῃ διακριτικόν· καὶ ὁλικῶς ἀποφευκτικόν.

Τὰς δὲ τῶν ὤτων δυνάμεις, τὸ μετοχικὸν καὶ γνωστικῶς ὑποδεκτικὸν τῆς θεαρχικῆς ἐπιπνοίας.

Τὰς δὲ γευστικάς· τὴν τῶν νοητῶν τροφῶν ἀποπλήρωσιν, καὶ τὸ τῶν θείων καὶ τροφίμων ὀχετῶν ὑποδεκτικόν· τὰς ἁπτικὰς δέ, τὸ τοῦ προσφυοῦς ἢ τοῦ βλάπτοντος ἐν ἐπιστήμῃ διαγνωστικόν· τὰ βλέφαρα δὲ καὶ τὰς ὀφρύας τὸ τῶν θεοπτικῶν νοήσεων φρουρητικόν· τὴν ἡβῶσαν δὲ καὶ νεανικὴν ἡλικίαν· τὸ τῆς ἐπακμαζούσης ἀεὶ ζωτικῆς δυνάμεως· τοὺς ὀδόντας δέ· τὸ διαιρετικὸν τῆς ἐνδιδομένης τροφίμου τελειότητος· ἑκάστη γὰρ οὐσία νοερά, τὴν δωρουμένην αὐτῇ πρὸς τῆς θειοτέρας ἑνοειδῆ νόησιν προνοητικῇ δυνάμει διαιρεῖ καὶ πληθύνει, πρὸς τὴν τῆς καταδεεστέρας ἀναγωγικὴν ἀναλογίαν.

Τοὺς ὤμους δὲ καὶ τὰς ὠλένας, καὶ αὖθις τὰς χεῖρας· τὸ ποιητικὸν καὶ ἐνεργητικὸν καὶ δραστήριον.

Τὴν δ᾽ αὖ καρδίαν, σύμβολον εἶναι τῆς θεοειδοῦς ζωῆς, τῆς τὴν οἰκείαν ζωτικὴν δύναμιν ἀγαθοειδῶς εἰς τὰ προνοούμενα διασπειρούσης.

Τὰ στέρνα δὲ αὖθις ἐμφαίνειν τὸ ἀδάμαστον, καὶ τὸ φρουρητικὸν ὡς ἐπὶ τῆς ὑποκειμένης καρδίας τῆς ζωοποιοῦ διαδόσεως.

Τὰ δὲ νῶτα, τὸ συνεκτικὸν τῶν ζωογόνων ἁπασῶν



δυνάμεων· τοὺς πόδας δὲ τὸ κινητικὸν καὶ ὀξὺ καὶ ἐντρεχὲς τῆς ἐπὶ τὰ θεῖα πορευτικῆς ἀεικινησίας· διὸ καὶ ὑποπτέρους ἡ θεολογία τοὺς τῶν ἁγίων νόων ἐσχημάτισε πόδας· τὸ γὰρ πτερὸν ἐμφαίνει τὴν ἀναγωγικὴν ὀξύτητα, καὶ τὸ οὐράνιον, καὶ τὸ πρὸς τὸ ἄναντες ὁδοποιητικόν, καὶ τὸ παντὸς χαμαιζήλου διὰ τὸ ἀνωφόρον ἐξῃρημένον· ἡ δὲ τῶν πτερῶν ἐλαφρία· τὸ κατὰ μηδὲν πρόσγειον, ἀλλ᾽ ὅλον ἀμιγῶς καὶ ἀβαρῶς ἐπὶ τὸ ὕψος ἀναγόμενον. Τὸ δὲ γυμνὸν καὶ ἀνυπόδετον τὸ ἄφετον καὶ εὔλυτον, καὶ ἄσχετον, καὶ καθαρεῦον τῆς τῶν ἐκτὸς προσθήκης· καὶ τὸ πρὸς τὴν ἁπλότητα τὴν θείαν ὡς ἐφικτὸν ἀφομοιωτικόν.

Ἀλλ᾽ ἐπειδὴ αὖθις, ἡ ἁπλῆ καὶ πολυποίκιλος σοφία, καὶ τοὺς ἀσκεπεῖς ἀμφιέννυσι, καὶ σκεύη τινὰ δίδωσι περιφέρειν αὐτοῖς· φέρε καὶ τὰ τῶν οὐρανίων νόων ἱερὰ περιβλήματα καὶ ὄργανα, κατὰ τὸ ἡμῖν δυνατὸν ἀναπτύξωμεν.

Τὴν μὲν γὰρ φαεινὴν ἐσθῆτα, καὶ τὴν πυρώδη, σημαίνειν οἶμαι τὸ θεοειδές, κατὰ τὴν πυρὸς εἰκόνα, καὶ τὸ φωτιστικὸν διὰ τὰς ἐν οὐρανῷ λήξεις· ὅπου τὸ φῶς, καὶ τὸ καθόλου νοητῶς ἐλλαμπόμενον· τὴν δὲ ἱερατικήν· τὸ πρὸς τὰ θεῖα καὶ μυστικὰ θεάματα προσαγωγικόν· καὶ τὸ τῆς ὅλης ζωῆς ἀφιερωμένον.

Τὰς δὲ ζώνας, τὸ τῶν γονίμων αὐτῶν δυνάμεων, φρουρητικόν, καὶ τὸ τὴν συναγωγὸν αὐτῶν ἕξιν,

εἰς αὐτὴν ἑνιαίως συνεστράφθαι. καὶ κύκλῳ μετ' εὐκοσμίας, τῇ ἀμεταπτώτῳ ταυτότητι περὶ ἑαυτὴν συνελίσσεσθαι.

Τὰς δὲ αὖ ῥάβδους. τὸ βασιλικὸν, καὶ ἡγεμονικὸν καὶ θεῖα τὰ πάντα περαῖνον.

Τὰ δὲ δόρατα καὶ τοὺς πελέκεις. τὸ τῶν ἀνομοίων διαιρετικὸν, καὶ τὸ τῶν διακριτικῶν δυνάμεων ὀξὺ καὶ ἐνεργὲς καὶ δραστήριον.

Τὰ δὲ γεωμετρικὰ καὶ τεκτονικὰ σκεύη. τὸ θεμελιωτικὸν καὶ οἰκοδομητικὸν, καὶ τελειωτικόν. καὶ ὅσα ἄλλα τῆς ἀναγώγου καὶ ἐπιστρεπτικῆς ἐστιν τῶν δευτέρων προνοίας.

Ἔστιν δ' ὅτι καὶ τῶν εἰς ἡμᾶς θεοκριτῶν ἐστὶ σύμβολα τὰ πλαττόμενα τῶν ἁγίων ἀγγέλων ὄργανα. τῶν μὲν δηλούντων ἐπανορθωτικὴν παιδείαν. ἢ τιμωρὸν δικαιοσύνην. τῶν δὲ περιστάσεως ἐλευθερίαν, ἢ παιδείας τέλος, ἢ προτέρας εὐπαθείας ἐπανάληψιν, ἢ προσθήκην ἑτέρων δωρεῶν, μικρῶν, ἢ μεγάλων, αἰσθητῶν, ἢ νοητῶν. καὶ ὅλως οὐκ ἂν ἀπορήσειεν ὁ διακριτικὸς νοῦς οἰκείως, ἁρμόσαι τοῖς ἀφανέσι τὰ φαινόμενα.

Τὸ δὲ καὶ ἀνέμους αὐτοὺς ὀνομάζεσθαι, τὴν ὀξεῖαν αὐτῶν ἐμφαίνει, καὶ ἐπὶ πάντα σχεδὸν ἀχρόνως διήκουσαν ποίησιν, καὶ τὴν ἄνωθεν ἐπὶ τὰ κάτω, καὶ αὖθις ἐκ τῶν κάτω πρὸς τὸ ἄναντες. διαπορθμευτικὴν κίνησιν. τὴν ἀνατείνουσαν μὲν τὰ δεύτερα πρὸς τὸ ὑπέρτερον ὕψος. κινοῦσαν δὲ τὰ πρῶτα



πρὸς κοινωνικὴν καὶ προνοητικὴν τῶν ὑφειμένων πρόοδον. εἴποι δ' ἄν τις τὴν τοῦ ἀερίου πνεύματος ἀνεμιαίαν ἐπωνυμίαν, καὶ τὸ θεοειδὲς τῶν οὐρανίων νοῶν ἐμφαίνειν. ἔχει γὰρ καὶ τοῦτο θεαρχικῆς ἐνεργείας εἰκόνα καὶ τύπον. ὡς ἐν τῇ συμβολικῇ θεολογίᾳ. κατὰ τὴν τετράστοιχον ἀνακάθαρσιν ἡμῖν διὰ πλειόνων ἀποδέδεικται κατὰ τὸ τῆς φύσεως κινητικὸν ζωογόνον, καὶ τὴν ὀξεῖαν καὶ ἀκράτητον χώρησιν. καὶ τὴν ἄγνωστον ἡμῖν καὶ ἀόρατον κρυφιότητα τῶν κινητικῶν ἀρχῶν καὶ ἀποπερατώσεων. οὐ γὰρ οἶδας φησὶν πόθεν ἔρχεται καὶ ποῦ ὑπάγει.

Ἀλλὰ καὶ νεφέλης αὐτοῖς ἰδέαν, ἡ θεολογία περιτίθησι. σημαίνουσα διὰ τούτου τοὺς ἱεροὺς νόας. τοῦ μὲν κρυφίου φωτὸς ὑπερκοσμίως ἀποπληρουμένους. τὴν πρωτοφανῆ δὲ πρωτοφάνειαν ἀνεκπομπεύτως εἰσδεχομένους καὶ ταύτην ἀφθόνως εἰς τὰ δεύτερα δευτεροφανῶς καὶ ἀναλόγως διαπορθμεύοντας. καὶ μὴν ὅτι τὸ γόνιμον αὐτοῖς καὶ ζωοποιὸν, καὶ αὐξητικὸν καὶ τελειωτικὸν ἐνυπάρχει. κατὰ τὴν νοητὴν ὀμβροτοκίαν. τὴν τὸν ἐκδοχέα κόλπον εὐπαλέσιν ὑετοῖς. εἰς ζωτικὰς ὠδῖνας ἐκκαλουμένην. εἰ δὲ καὶ χαλκοῦ καὶ ἠλέκτρου, καὶ λίθων πολυχρωμάτων εἶδος ἡ θεολογία ταῖς οὐρανίαις οὐσίαις περιτίθησιν. τὸ μὲν ἤλεκτρον, ὡς χρυσοειδὲς ἅμα καὶ ἀργυροειδὲς ἐμφαίνει τὴν ἄσηπτον ὡς ἐν χρυσῷ, καὶ ἀδάπανον καὶ ἀμείωτον καὶ ἄχραντον διαυγάν. καὶ τὴν φαιδρὰν ὡς ἐν ἀργύρῳ καὶ

φωτοειδῆ καὶ οὐρανίαν αἴγλην· τὸ δὲ χαλκῷ κατὰ τοὺς ἀποδοθέντας λόγους, ἢ τὸ πυρῶδες, ἢ τὸ χρυσοειδές, ἀπονεμητέον. Τὰς δὲ τῶν λίθων πολυχρωμάτους ἰδέας ἐμφαίνειν οἰητέον, ἢ ὡς λευκὰς φωτοειδεῖς, ἢ ὡς ἐρυθρὰς τὸ πυρῶδες, ἢ ὡς ξανθὰς τὸ χρυσοειδές, ἢ ὡς χλοερὰς, τὸ νεανικὸν καὶ ἀκμαῖον, καὶ καθ᾽ ἕκαστον εἶδος εὑρήσεις ἀναγωγικὴν τῶν τυπικῶν εἰκόνων ἀνακάθαρσιν.

Ἀλλ᾽ ἐπειδὴ ταῦτα κατὰ δύναμιν ἡμῖν ἀρκούντως εἰρῆσθαι νομίζω, μετιτέον ἐπὶ τὴν ἱερὰν ἀνάπτυξιν τῆς τῶν οὐρανίων νοῶν ἱεροτύπου θηριομορφίας.

Καὶ τὴν μὲν λέοντος μορφὴν ἐμφαίνειν οἰητέον τὸ ἡγεμονικὸν καὶ ῥωμαλέον, καὶ ἀδάμαστον, καὶ τὸ πρὸς τὴν κρυφιότητα τῆς ἀφθέγμονος θεαρχίας, ὅση δύναμις ἀφομοιωτικὸν τῇ τῶν νοερῶν ἰχνῶν περικαλύψει, καὶ τῇ μυστικῶς ἀνεκπομπεύτῳ περιστολῇ· τῆς κατὰ θείαν ἔλλαμψιν ἐπ᾽ αὐτὴν ἀνατατικῆς πορείας. Τὴν δὲ τοῦ βοὸς τὸ ἰσχυρὸν, καὶ ἀκμαῖον, καὶ τὰς νοερὰς αὔλακας ἀνευρῦνον εἰς ὑποδοχὴν τῶν οὐρανίων καὶ γονιμοποιῶν ὄμβρων· καὶ τὰ κέρατα, τὸ φρουρητικὸν καὶ ἀκράτητον. Τὴν δὲ τοῦ ἀετοῦ, τὸ βασιλικὸν καὶ ὑψίφορον, καὶ ταχυπετές· καὶ τὸ πρὸς τὴν δυναμοποιὸν τροφὴν ὀξὺ καὶ νῆφον καὶ εὐστρεφὲς, καὶ εὐμήχανον, καὶ τὸ πρὸς τὴν ἄφθονον καὶ πολύφωτον ἀκτῖνα τῆς θεαρχικῆς ἡλιοβολίας, ἐν ταῖς τῶν ὀπτικῶν δυνάμεων εὐρώστοις ἀνατάσεσιν ἀνεμποδίστως εὐθὺ καὶ ἀκλινῶς θεωρητικόν.



Τὴν δὲ τῶν ἵππων τὸ εὐπειθὲς καὶ εὐήνιον, καὶ λευκῶν μὲν ὄντων τὸ λαμπρὸν καὶ ὡς μάλιστα τοῦ θείου φωτὸς τὸ συγγενές· κυανῶν δὲ ὄντων τὸ κρύφιον· ἐρυθρῶν δὲ, τὸ πυρῶδες καὶ δραστήριον· συμμίκτων δὲ πρὸς λευκοῦ καὶ μέλανος, τὸ τῇ διαπορθμευτικῇ δυνάμει τῶν ἄκρων συνδετικὸν· καὶ τὰ πρῶτα τοῖς δευτέροις καὶ τὰ δεύτερα τοῖς πρώτοις ἐπιστρεπτικῶς, ἢ προνοητικῶς συνάπτον. Ἀλλ᾽ εἰ μὴ τῆς τοῦ λόγου καταστοχαζόμεθα συμμετρίας, καὶ τὰς κατὰ μέρος τῶν εἰρημένων ζώων ἰδιότητας, καὶ πάσας τὰς σωματικὰς αὐτῶν διαπλάσεις, ἐφαρμόσαιμεν, οὐκ ἀπεικότως ταῖς οὐρανίαις δυνάμεσιν· κατὰ τὰς ἀνομοίους ὁμοιότητας.

Τὸ μὲν θυμοειδὲς αὐτῶν εἰς τὴν νοερὰν ἀνδρείαν, ἧς ἔσχατός ἐστιν ὁ θυμὸς ἀπήχημα. Τὴν δὲ ἐπιθυμίαν, εἰς τὸν θεῖον ἔρωτα· καὶ συλλήβδην εἰπεῖν· πάσας τὰς τῶν ἀλόγων ζώων αἰσθήσεις τε καὶ πολυμερείας, εἰς τὰς ἀΰλους τῶν οὐρανίων οὐσιῶν νοήσεις, καὶ ἑνοειδεῖς δυνάμεις ἀνάγοντες. Ἀρκεῖ δὲ τοῖς ἐχέφροσιν· οὐ ταῦτα μόνον· ἀλλὰ καὶ μιᾶς ἀπεμφαινούσης εἰκόνος ἀνακάθαρσις, εἰς τὴν τῶν παραπλησίων ὁμοιότροπον διασάφησιν. Ἐπισκεπτέον δὲ καὶ τὸ ποταμοὺς εἰρῆσθαι καὶ τροχοὺς καὶ ἅρματα συνημμένα ταῖς οὐρανίαις οὐσίαις.

Οἱ μὲν γὰρ ἐμπύριοι ποταμοὶ σημαίνουσι τοὺς θεαρχικοὺς ὀχετοὺς· ἄφθονον αὐταῖς καὶ ἀνέκλειπτον ἐπιρροίαν χορηγοῦντας· καὶ ζωοποιοῦ θρεπτικοὺς γονιμότητος.

Τὰ δὲ ἅρματα, τὴν ζυγικὴν τῶν ὁμοταγῶν κοινωνίαν. οἱ δὲ τροχοὶ, πτερωτοὶ μὲν ὄντες, ἐπὶ δὲ τὰ πρόσθεν ἀνεπιστρόφως καὶ ἀκλινῶς πορευόμενοι, τὴν κατ᾽ εὐθεῖαν καὶ ὀρθίαν ὁδὸν τῆς πορευτικῆς αὐτῶν ἐνεργείας δύναμιν ἐπὶ τὸν αὐτὸν ἀκλινῆ καὶ ἰθύτομον οἶμον, ἁπάσης αὐτῶν τῆς νοερᾶς τροχιᾶς ὑπερκοσμίως ἰθυνομένης.

Ἔστι δὲ καὶ κατ᾽ ἄλλην ἀναγωγὴν ἀνακαθᾶραι τὴν τῶν νοερῶν τροχῶν εἰκονογραφίαν. ἐπεκλήθη γὰρ αὐτοῖς ὥς φησιν ὁ θεολόγος γελγέλ. ἐμφαίνει δὲ τοῦτο κατὰ ἑβραϊκὴν φωνὴν, ἀνακυλισμοὺς καὶ ἀνακαλύψεις. Οἱ γὰρ ἔμπυριοι καὶ θεοειδεῖς τροχοὶ τοὺς μὲν ἀνακυλισμοὺς ἔχουσι τῇ περὶ τὸ ταὐτὸν ἀγαθὸν ἀεικινήτῳ κινήσει. τὰς ἀνακαλύψεις δὲ, τῇ τῶν κρυφίων ἐκφαντορίᾳ καὶ τῇ τῶν περιγείων ἀναγωγῇ καὶ τῇ τῶν ὑψηλῶν ἐλλάμψεων εἰς τὰ ὑφειμένα καταγωγικῇ διαπορθμεύσει.

Λοιπὸς ἡμῖν εἰς διασάφησιν ὁ περὶ τῆς χαρᾶς τῶν οὐρανίων διακοσμήσεων λόγος. καὶ γὰρ ἄδεκτοι παντελῶς εἰσὶ τῆς καθ᾽ ἡμᾶς ἐμπαθοῦς ἡδονῆς. συγχαίρειν δὲ θεῷ λέγονται τῇ τῶν ἀπολωλότων εὑρέσει κατὰ τὴν θεοειδῆ ῥᾳστώνην καὶ τὴν ἐπὶ τῇ προνοίᾳ καὶ σωτηρίᾳ τῶν ἐπὶ θεὸν ἐπιστρεφομένων ἀγαθοειδῆ καὶ ἄφθονον εὐφροσύνην, καὶ τὴν εὐπάθειαν ἐκείνην τὴν ἄρρητον. ἧς ἐν μεθέξει πολλάκις γεγόνασι καὶ ἄνδρες ἱεροὶ κατὰ τὰς θεουργοὺς τῶν θείων ἐλλάμψεων ἐπιφοιτήσεις. τοσαῦτά μοι περὶ

τῶν



τῶν ἱερῶν ἀναπλάσεων εἰρήσθω. τῆς μὲν ἀκριβοῦς αὐτῶν ἐκφαντορίας ἀπολειπόμενα, συντελοῦντα δὲ ὡς οἶμαι πρὸς τὸ μὴ ταπεινῶς ἡμᾶς ἐναπομεῖναι ταῖς τυπωτικαῖς φαντασίαις.

Εἰ δὲ καὶ τοῦτο φαίης ὡς οὐ πάντων ἑξῆς τῶν ἀγγελικῶν ἐν τοῖς λογίοις δυνάμεων ἢ ἐνεργειῶν, ἢ εἰκόνων ἐποιησάμεθα μνήμην ἀποκρινούμεθα τἀληθές. ὅτι τῶν μὲν τὴν ὑπερκόσμιον ἐπιστήμην ἠγνοήσαμεν. καὶ μᾶλλον ἐπ᾽ αὐτοῖς. ἡμεῖς ἑτέρου τοῦ φωταγωγοῦντος τοῦ μυοῦντος δεόμεθα. τὰ δὲ ὡς τοῖς εἰρημένοις ὁμοδύναμα παραλελοίπαμεν. τῆς τε συμμετρίας τοῦ λόγου προνενοηκότες, καὶ τὴν ὑπὲρ ἡμᾶς κρυφιότητα σιγῇ τιμήσαντες.

Διονυσίου ἀρεοπαγίτου ἐπισκόπου ἀθηναίων
πρὸς τιμόθεον ἐπίσκοπον περὶ
τῆς οὐρανίας ἱεραρχίας.
Τέλος.

## ΤΑΔΕ ΚΕΦΑΛΑΙΑ ΠΕΡΙΕΧΕΙ Ο ΠΕΡΙ ΘΕΙΩΝ ΟΝΟΜΑΤΩΝ. ΛΟΓΟΣ.

Τίς ὁ τοῦ λόγου σκοπός. καὶ τίς ἡ περὶ θείων ὀνομάτων παράδοσις.

Περὶ ἡνωμένης καὶ διακεκριμένης θεολογίας. καὶ τίς ἡ θεία ἕνωσις καὶ διάκρισις.

Τίς ἡ τῆς εὐχῆς δύναμις. καὶ περὶ τοῦ μακαρίου ἱεροθέου καὶ περὶ εὐλαβείας καὶ συγγραφῆς θεολογικῆς.

Περὶ ἀγαθοῦ φωτὸς καλοῦ ἔρωτος. ἐκστάσεως ζήλου καὶ ὅτι τὸ κακὸν οὔτε ὄν. οὔτε ἐξ ὄντος. οὔτε ἐν τοῖς οὖσιν.

Περὶ ὄντος ἐν ᾧ καὶ περὶ παραδειγμάτων.

Περὶ ζωῆς.

Περὶ σοφίας. νοῦ. λόγου. ἀληθείας. πίστεως.

Περὶ δυνάμεως. δικαιοσύνης. σωτηρίας. ἀπολυτρώσεως ἐν ᾧ, καὶ περὶ ἀνισότητος.

Περὶ μεγάλου. μικροῦ. ταὐτοῦ. ἑτέρου. ὁμοίου. ἀνομοίου. στάσεως. κινήσεως. ἰσότητος.

Περὶ παντοκράτορος. παλαιοῦ ἡμερῶν. ἐν ᾧ καὶ περὶ αἰῶνος, καὶ χρόνου.

Περὶ εἰρήνης, καὶ τί βούλεται αὐτῷ τὸ αὐτοεῖναι. τίς ἡ αὐτοζωή, τίς ἡ αὐτοδύναμις. καὶ τὰ οὕτω λεγόμενα.

Περὶ ἁγίου ἁγίων. βασιλέως βασιλέων. κυρίου κυρίων. θεοῦ θεῶν

Περὶ τελείου καὶ ἑνός.

## ΕΠΙΓΡΑΜΜΑ ΕΙΣ ΤΟΝ ΜΑΚΑΡΙΟΝ ΔΙΟΝΥΣΙΟΝ ΕΙΣ ΤΟ ΠΕΡΙ ΘΕΙΩΝ ΟΝΟΜΑΤΩΝ.

Εἰς νόον ἀγλήεντα θεόγραφα χείλεα βάψας.
Κάλλεα ποικίλλεις ἱερώνυμα καὶ μετὰ πότμον
Ζωοσοφοῖς λογίοις κελαδῶν θεοφάντορας ὕμνοις

## ΠΕΡΙ ΘΕΙΩΝ ΟΝΟΜΑΤΩΝ ΚΕΦΑΛΑΙΟΝ Α΄. ΤΙΣ Ο ΤΟΥ ΛΟΓΟΥ ΣΚΟΠΟΣ. ΚΑΙ ΤΙΣ Η ΠΕΡΙ ΘΕΙΩΝ ΟΝΟΜΑΤΩΝ ΠΑΡΑΔΟΣΙΣ.

### ΤΩΙ ΣΥΜΠΡΕΣΒΥΤΕΡΩΙ ΤΙΜΟΘΕΩΙ ΔΙΟΝΥΣΙΟΣ Ο ΠΡΕΣΒΥΤΕΡΟΣ.

Νῦν δὲ ὦ μακάριε μετὰ τὰς θεολογικὰς ὑποτυπώσεις, ἐπὶ τὴν τῶν θείων ὀνομάτων ἀνάπτυξιν, ὡς ἐφικτὸν μετελεύσομαι. ἔστω δὲ καὶ νῦν ἡμῖν ὁ τῶν λογίων θεσμὸς προδιωρισμένος. τὸ τὴν ἀλήθειαν ἡμᾶς καταδείσασθαι. τῶν περὶ θεοῦ λεγομένων. Οὐκ ἐν πειθοῖς σοφίας ἀνθρω-

πείνης λόγοις, ἀλλ' ἐν ἀποδείξει τῆς πνεύματι κινήτου τῶν θεολόγων δυνάμεως, καθ' ἣν τοῖς ἀφθέγκτοις καὶ ἀγνώστοις ἀφθέγκτως καὶ ἀγνώστως συναπτόμεθα κατὰ τὴν κρείττονα τῆς καθ' ἡμᾶς λογικῆς καὶ νοερᾶς δυνάμεως καὶ ἐνεργείας ἕνωσιν. καθόλου τοιγαροῦν οὐ τολμητέον εἰπεῖν, οὔτε μὴν ἐννοῆσαί τι περὶ τῆς ὑπερουσίου καὶ κρυφίας θεότητος, παρὰ τὰ θειωδῶς ἡμῖν ἐκ τῶν ἱερῶν λογίων ἐκπεφασμένα.

Τῆς γὰρ ὑπὲρ λόγον καὶ νοῦν καὶ οὐσίαν αὐτῆς ὑπερουσιότητος ἀγνωσίᾳ αὐτὴν τὴν ὑπερούσιον ἐπιστήμην ἀναθετέον, τοσοῦτον ἐπὶ τὸ ἄναντες ἀνανεύοντας, ὅσον ἑαυτὴν ἐνδίδωσιν ἡ τῶν θεαρχικῶν λογίων ἀκτὶς, πρὸς τὰς ὑπερτέρας αὐγὰς, τῇ περὶ τὰ θεῖα σωφροσύνῃ καὶ ὁσιότητι συστελλομένους. καὶ γὰρ εἴ τι δεῖ τῇ πανσόφῳ καὶ ἀληθεστάτῃ θεολογίᾳ πείθεσθαι, κατὰ τὴν ἀναλογίαν ἑκάστου τῶν νοῶν, ἀνακαλύπτεται τὰ θεῖα, καὶ ἐπιδίδοται τῆς θεαρχικῆς ἀγαθότητος ἐν σωστικῇ δικαιοσύνῃ τῶν ἐν μέτρων τὴν ἀμετρίαν θεοπρεπῶς. ὡς ἀχώρητον ἀποδιαστελλούσης.

Ὥσπερ γὰρ ἄληπτα καὶ ἀθεώρητα τοῖς αἰσθητοῖς ἐστι τὰ νοητὰ, καὶ τοῖς ἐν πλάσει καὶ τύπῳ τὰ ἁπλᾶ καὶ ἀτύπωτα. τοῖς τε κατὰ σωμάτων σχήματα μεμορφωμένοις. ἡ τῶν ἀσωμάτων ἀναφὴς, καὶ ἀσχημάτιστος ἀμορφία. κατὰ τὸν αὐτὸν τῆς ἀληθείας λόγον ὑπέρκειται τῶν οὐσιῶν ἡ ὑπερούσιος ἀοριστία.



καὶ τῶν νοῶν ἡ ὑπὲρ νοῦν ἑνότης, καὶ πάσαις διανοίαις ἀδιανόητόν ἐστι τὸ ὑπὲρ διάνοιαν ἕν. ἄρρητόν τε λόγῳ παντὶ τὸ ὑπὲρ λόγον ἀγαθόν. ἑνὰς ἑνοποιὸς ἁπάσης ἑνάδος, καὶ ὑπερούσιος οὐσία. καὶ νοῦς ἀνόητος, καὶ λόγος ἄρρητος, ἀλογία καὶ ἀνοησία καὶ ἀνωνυμία. κατὰ μηδὲν τῶν ὄντων οὖσα. καὶ αἴτιον μὲν τοῦ εἶναι πᾶσιν. αὐτὸ δὲ μὴ ὂν ὡς πάσης οὐσίας ἐπέκεινα καὶ ὡς ἂν αὐτὴ περὶ ἑαυτῆς κυρίως καὶ ἐπιστήτως ἀποφήσοι.

Περὶ ταύτης οὖν ὡς εἴρηται τῆς ὑπερουσίου καὶ κρυφίας θεότητος οὐ τολμητέον εἰπεῖν. οὔτε μὴν ἐννοῆσαί τι παρὰ τὰ θειωδῶς ἡμῖν ἐκ τῶν ἱερῶν λογίων ἐκπεφασμένα.

Καὶ γὰρ ὡς αὐτὴ περὶ ἑαυτῆς ἐν τοῖς λογίοις ἀγαθοπρεπῶς παραδέδωκεν. ἡ μὲν αὐτῆς ὅ τι ποτέ ἐστιν ἐπιστήμη καὶ θεωρία. πᾶσιν ἄβατός ἐστι τοῖς οὖσιν ὡς πάντων ὑπερουσίως ἐξῃρημένη καὶ πολλοὺς τῶν θεολόγων εὑρήσεις οὐ μόνον ὡς ἀόρατον αὐτὴν καὶ ἀπερίληπτον ὑμνηκότας. ἀλλὰ καὶ ἀνεξερεύνητον ἅμα καὶ ἀνεξιχνίαστον, ὡς οὐκ ὄντος ἴχνους οὐδενὸς, τῶν ἐπὶ τὴν κρυφίαν αὐτῆς ἀπειρίαν διεληλυθότων. Οὐ μὴν ἀκοινώνητόν ἐστιν καθόλου τἀγαθὸν οὐδενὶ τῶν ὄντων. ἀλλ' ἐφ' ἑαυτοῦ μονίμως τὴν ὑπερούσιον ἱδρῦσαν ἀκτῖνα ταῖς ἑκάστου τῶν ὄντων ἀναλόγοις ἐλλάμψεσιν ἀγαθοπρεπῶς ἐπιφαίνεται. καὶ πρὸς τὴν ἐφικτὴν αὐτοῦ θεωρίαν καὶ κοινωνίαν καὶ ὁμοίωσιν ἀνατείνει τοὺς ἱεροὺς νόας

ὡς θεμιτὸν αὐτῷ καὶ ἱεροπρεπῶς ἐπιβάλλοντας· καὶ μήτε πρὸς τὸ ὑπέρτερον τῆς ἐναρμονίως ἐνδιδομένης θεοφανείας, ἀδυνάτως ἀπαυθαδιζομένους· μήτε πρὸς τὸ κάταντες ἐκ τῆς ἐπὶ τὸ χεῖρον ὑφέσεως ἀπολισθαίνοντας· ἀλλ' εὐσταθῶς τε καὶ ἀκλινῶς ἐπὶ τὴν ἀκτῖνα τὴν αὐτοῖς ἐπιλάμπουσαν ἀνατεινομένους· καὶ τῷ συμμέτρῳ τῶν θεμιτῶν ἐλλάμψεων ἔρωτι μετ' εὐλαβείας ἱερᾶς· σωφρόνως τε καὶ ὁσίως ἀναπτερουμένους.

Τούτοις ἑπόμενοι τοῖς θεαρχικοῖς θεσμοῖς οἳ καὶ τὰς ὅλας διακυβερνῶσι τῶν ὑπερουρανίων τάξεων ἁγίας διακοσμήσεις· τὸ μὲν ὑπὲρ νοῦν καὶ οὐσίαν τῆς θεαρχίας κρύφιον ἀνεξερευνήτοις καὶ ἱεραῖς νοὸς εὐλαβείαις· τὰ δὲ ἄρρητα σώφρονι σιγῇ τιμῶντες ἐπὶ τὰς ἐλλαμπούσας ἡμῖν ἐν τοῖς ἱεροῖς λογίοις αὐγὰς ἀνατεινόμεθα· καὶ πρὸς αὐτῶν φωταγωγούμεθα πρὸς τοὺς θεαρχικοὺς ὕμνους, ὑπ' αὐτῶν ὑπερκοσμίως φωτιζόμενοι· καὶ πρὸς τὰς ἱερὰς ὑμνολογίας τυπούμενοι, πρὸς τὸ καὶ ὁρᾶν τὰ συμμέτρως ἡμῖν δι' αὐτῶν δωρούμενα θεαρχικὰ φῶτα· καὶ τὴν ἀγαθοδότιν ἀρχὴν ἁπάσης ἱερᾶς φωτοφανίας ὑμνεῖν, ὡς αὐτὴ περὶ ἑαυτῆς ἐν τοῖς ἱεροῖς λογίοις παραδέδωκεν. οἷον ὅτι πάντων ἐστὶν αἰτία καὶ ἀρχὴ καὶ οὐσία καὶ ζωή, καὶ τῶν μὲν ἀποπεσόντων αὐτῆς ἀνάκλησίς τε καὶ ἀνάστασις· τῶν δὲ πρὸς τὸ τοῦ θεοειδοῦς παραφθαρτικὸν ἀπολισθησάντων, ἀνακαινισμὸς καὶ ἀναμόρφωσις·



Τῶν δὲ κατά τινα σάλον ἀνίερον παρακινουμένων ἵδρυσις ἱερά, καὶ τῶν ἑστηκότων ἀσφάλεια· καὶ τῶν ἐπ' αὐτήν, ἀναγομένων ἀναπτικὴ χειραγωγία, καὶ τῶν φωτιζομένων ἔλλαμψις· καὶ τῶν τελουμένων τελεταρχία καὶ τῶν θεουμένων θεαρχία· καὶ τῶν ἁπλουμένων ἁπλότης· καὶ τῶν ἑνιζομένων ἑνότης·

Ἀρχῆς ἁπάσης ὑπερουσίως ὑπεράρχιος ἀρχή· καὶ τοῦ κρυφίου κατὰ τὸ θεμιτὸν ἀγαθὴ μετάδοσις καὶ ὡς ἁπλῶς εἰπεῖν· ἡ τῶν ζώντων ζωή, καὶ τῶν ὄντων οὐσία· πάσης ζωῆς καὶ οὐσίας ἀρχὴ καὶ αἰτία, διὰ τὴν αὐτῆς εἰς τὸ εἶναι τὰ ὄντα παρακτικὴν καὶ συνοχικὴν ἀγαθότητα.

Ταῦτα πρὸς τῶν θείων λογίων μεμυήμεθα, καὶ πᾶσαν ὡς εἰπεῖν τὴν ἱερὰν τῶν θεολόγων ὑμνολογίαν, εὑρήσεις πρὸς τὰς ἀγαθουργοὺς τῆς θεαρχίας προόδους, ἐκφαντορικῶς καὶ ὑμνητικῶς τὰς θεωνυμίας διασκευάζουσαν· ὅθεν ἐν πάσῃ σχεδὸν τῇ θεολογικῇ πραγματείᾳ, τὴν θεαρχίαν ὁρῶμεν ἱερῶς ὑμνουμένην· ὡς μονάδα μὲν καὶ ἑνάδα· διὰ τὴν ἁπλότητα τῆς ὑπερφυοῦς ἀμετρείας· ἐξ ἧς ὡς ἑνοποιοῦ δυνάμεως ἑνιζόμεθα· καὶ τῶν μεριστῶν ἡμῶν ἑτεροτήτων, ὑπερκοσμίως συμπτυσσομένων, εἰς θεοειδῆ μονάδα, συναγόμεθα καὶ θεομίμητον ἕνωσιν.

Ὡς τριάδα δέ, διὰ τὴν τρισυπόστατον τῆς ὑπερουσίου γονιμότητος ἔκφανσιν· ἐξ ἧς πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ἐστί τε καὶ ὀνομάζεται.

Ως αἰτίαν δὲ τῶν ὄντων. ἐπειδὴ πάντα πρὸς τὸ εἶναι παρήγαγε διὰ τὴν αὐτῆς οὐσιοποιὸν ἀγαθότητα.

Σοφὴν δὲ καὶ καλήν, ὅτι τὰ ὄντα πάντα τὰ τῆς οἰκείας φύσεως ἀπαράφθαρτα διασώζοντα πάσης ἁρμονίας ἐνθέου καὶ ἱερᾶς εὐπρεπείας ἐστὶν ἀνάπλεα. φιλάνθρωπον δὲ διαφερόντως. ὅτι τοῖς καθ' ἡμᾶς πρὸς ἀλήθειαν ὁλικῶς ἐν μιᾷ τῶν αὐτῆς ὑποστάσεων ἐκοινώνησεν ἀνακαλουμένη πρὸς ἑαυτὴν καὶ ἀνατιθεῖσα τὴν ἀνθρωπίνην ἐσχατιάν.

Ἐξ ἧς ἀρρήτως ὁ ἁπλοῦς Ἰησοῦς συνετέθη. καὶ παράτασιν εἴληφε χρονικὴν ὁ ἀΐδιος, καὶ εἴσω τῆς καθ' ἡμᾶς ἐληλύθει φύσεως, ὁ πάσης τῆς κατὰ πᾶσαν φύσιν τάξεως ὑπερουσίως ἐκβεβηκώς, μετὰ τῆς ἀμεταβόλου καὶ ἀσυγχύτου τῶν οἰκείων ἱδρύσεως. καὶ ὅσα ἄλλα θεουργικὰ φῶτα τοῖς λογίοις ἀκολούθως ἡ τῶν ἐνθέων ἡμῶν καθηγεμόνων κρυφία παράδοσις, ἐκφαντορικῶς ἡμῖν ἐδωρήσατο, ταῦτα καὶ ἡμεῖς μεμυήμεθα. Νῦν μὲν ἀναλόγως ἡμῖν διὰ τῶν ἱερῶν παραπετασμάτων τῆς τῶν λογίων καὶ τῶν ἱεραρχικῶν παραδόσεων φιλανθρωπίας, αἰσθητοῖς τὰ νοητά, καὶ τοῖς οὖσι τὰ ὑπερούσια περικαλυπτούσης. καὶ μορφὰς καὶ τύπους τοῖς ἀμορφώτοις τε καὶ ἀτυπώτοις περιτιθείσης καὶ τὴν ὑπερφυῆ καὶ ἀσχημάτιστον ἁπλότητα τῇ ποικιλίᾳ τῶν μεριστῶν συμβόλων, πληθυνούσης τε καὶ διαπλαττούσης. τότε δὲ ὅταν ἄφθαρτοι καὶ ἀθάνατοι γενώμεθα. καὶ τῆς χριστοειδοῦς καὶ μακαριω-



τάτης ἐφικώμεθα λήξεως, πάντοτε σὺν κυρίῳ κατὰ τὸ λόγιον ἐσόμεθα.

Τῆς μὲν ὁρατῆς αὐτοῦ θεοφανείας ἐν πανάγνοις θεωρίαις ἀποπληρούμενοι φανοτάταις ἡμᾶς μαρμαρυγαῖς περιαυγαζούσης ὡς τοὺς μαθητὰς ἐν ἐκείνῃ τῇ θειοτάτῃ μεταμορφώσει.

Τῆς δὲ νοητῆς αὐτοῦ φωτοδοσίας, ἐν ἀπαθεῖ καὶ ἀΰλῳ τῷ νῷ μετέχοντες, καὶ τῆς ὑπὲρ νοῦν ἑνώσεως ἐν ταῖς τῶν ὑπερφανῶν ἀκτίνων ἀγνώστοις καὶ μακαρίαις ἐπιβολαῖς. ἐν θειοτέρᾳ μιμήσει τῶν ὑπερουρανίων νόων, ἰσάγγελοι γὰρ ὡς ἡ τῶν λογίων ἀλήθειά φησιν ἐσόμεθα καὶ υἱοὶ θεοῦ. τῆς ἀναστάσεως υἱοὶ ὄντες.

Νῦν δὲ ὡς ἡμῖν ἐφικτόν, οἰκείοις μὲν εἰς τὰ θεῖα συμβόλοις χρώμεθα κἀκ τούτων αὖθις, ἐπὶ τὴν ἁπλῆν καὶ ἡνωμένην τῶν νοητῶν θεαμάτων ἀλήθειαν ἀναλόγως ἀνατεινόμεθα. καὶ μετὰ πᾶσαν τὴν καθ' ἡμᾶς τῶν θεοειδῶν νόησιν, ἀποπαύοντες ἡμῶν τὰς νοερὰς ἐνεργείας, εἰς τὴν ὑπερούσιον ἀκτῖνα, κατὰ τὸ θεμιτὸν ἐπιβάλλομεν, ἐν ᾗ πάντα τὰ πέρατα πασῶν τῶν γνώσεων ὑπεραρρήτως προϋφέστηκεν. ἣν οὔτε ἐννοῆσαι δυνατὸν οὔτε εἰπεῖν, οὔτε ὅλως πῶς θεωρῆσαι. διὰ τὸ πάντων αὐτὴν ἐξῃρημένην εἶναι, ὑπεράγνωστον. καὶ πασῶν μὲν τῶν οὐσιωδῶν γνώσεων καὶ δυνάμεων τὰς ἀποπερατώσεις ἅμα καὶ πάσας ὑπερουσίως ἐν ἑαυτῇ προειληφυῖαν. πάντων δὲ ἀπεριλήπτῳ δυνάμει καὶ τῶν ὑπερουρανίων νόων

ὑπεριδρυμένην. Εἰ γὰρ αἱ γνώσεις πᾶσαι τῶν ὄντων εἰσὶ, καὶ εἰς τὰ ὄντα τὸ πέρας ἔχουσιν· ἡ πάσης οὐσίας ἐπέκεινα καὶ πάσης γνώσεώς ἐστιν ἐξῃρημένη. Καὶ μὴν, εἰ κρείττων ἐστὶ παντὸς λόγου καὶ πάσης γνώσεως, καὶ ὑπὲρ νοῦν καθόλου καὶ οὐσίαν ἵδρυται· πάντων μὲν οὖσα περιληπτική, καὶ συλληπτική, καὶ προληπτική, πᾶσιν δὲ αὐτὸ καθόλου ἄληπτος· καὶ οὔτε αἴσθησις αὐτῆς ἐστιν, οὔτε φαντασία οὔτε δόξα οὔτε ὄνομα οὔτε λόγος. οὔτε ἐπαφή, οὔτε ἐπιστήμη· πῶς ὁ περὶ θείων ὀνομάτων ἡμῖν διαπραγματευθήσεται λόγος, ἀκλήτου, καὶ ὑπερωνύμου τῆς ὑπερουσίου θεότητος ἀποδεικνυμένης· ἀλλ' ὅπερ ἔφημεν, ἡνίκα τὰς θεολογικὰς ὑποτυπώσεις ἐξετιθέμεθα· τὸ ἕν· τὸ ἄγνωστον· τὸ ὑπερούσιον, αὐτὸ τἀγαθόν, ὅπερ ἐστὶν τὴν τριαδικὴν, ἑνάδα φημί· τὴν ὁμόθεον καὶ ὁμάγαθον, οὔτε εἰπεῖν οὔτε ἐννοῆσαι δυνατόν.

Ἀλλὰ καὶ αἱ τῶν ἁγίων δυνάμεων, ἀγγελοπρεπεῖς ἑνώσεις· ἃς εἴτε ἐπιβολάς, εἴτε παραδοχὰς χρὴ φάναι τῆς ὑπεραγνώστου καὶ ὑπερφαοῦς ἀγαθότητος· ἄρρητοί τε εἰσὶ καὶ ἄγνωστοι. καὶ μόνοις αὐταῖς ἐνυπάρχουσιν τοῖς ὑπὲρ γνῶσιν ἀγγελικὴν ἠξιωμένοις αὐτῶν ἀγγέλοις.

Ταύταις οἱ θεοειδεῖς ἀγγελομιμήτως· ὡς ἐφικτὸν ἑνούμενοι νόες· ἐπειδὴ κατὰ πάσης νοερᾶς ἐνεργείας ἀπόπαυσιν· ἡ τοιάδε γίγνεται τῶν ἐκθεουμένων νοῶν πρὸς τὸ ὑπέρθεον φῶς ἕνωσις, ὑμνοῦ-



σιν αὐτὸ κυριώτατα διὰ τῆς πάντων τῶν ὄντων ἀφαιρέσεως· τοῦτο ἀληθῶς καὶ ὑπερφυῶς ἐλλαμφθέντες ἐκ τῆς πρὸς αὐτὸ μακαριωτάτης ἑνώσεως· ὅτι πάντων μέν ἐστι τῶν ὄντων αἴτιον, αὐτὸ δὲ οὐδὲν, ὡς πάντων ὑπερουσίως ἐξῃρημένον.

Τὴν μὲν οὖν ὑπερουσιότητα τὴν θεαρχικήν· ὅ τί ποτέ ἐστιν, ἡ τῆς ὑπεραγαθότητος ὑπερύπαρξις· οὔτε ὡς λόγον, ἢ δύναμιν, οὔτε ὡς νοῦν ἢ ζωήν, ἢ οὐσίαν ὑμνῆσαι θεμιτὸν· οὐδενὶ τῶν ὅσοι τῆς ὑπὲρ πᾶσαν ἀλήθειαν ἀληθείας εἰσὶν ἐρασταί· ἀλλ' ὡς πάσης ἕξεως, ἢ κινήσεως, ζωῆς· φαντασίας· δόξης· ὀνόματος· λόγου· διανοίας· νοήσεως· οὐσίας· στάσεως· ἱδρύσεως· ἑνώσεως· πέρατος· ἀπειρίας· ἁπάντων ὅσα ὄντα ἐστίν, ὑπεροχικῶς ἀφῃρημένην· ἐπειδὴ δὲ ὡς ἀγαθότητος ὕπαρξις, αὐτῷ τῷ εἶναι, πάντων ἐστὶ τῶν ὄντων αἰτία, τὴν ἀγαθαρχικὴν· τῆς θεαρχικῆς προνοίας, ἐκ πάντων τῶν αἰτιατῶν ὑμνητέον· ἐπειδὴ καὶ περὶ αὐτὴν πάντα, καὶ αὐτῆς ἕνεκα, καὶ αὐτή ἐστι πρὸ πάντων, καὶ τὰ πάντα ἐν αὐτῇ συνέστηκεν· καὶ τῷ εἶναι ταύτην, ἡ τῶν ὅλων παραγωγὴ καὶ ὑπόστασις, καὶ αὐτῆς πάντα ἐφίεται· τὰ μὲν νοερὰ καὶ λογικὰ γνωστικῶς· τὰ δ' ὑφειμένα τούτων, αἰσθητικῶς· καὶ τὰ ἄλλα κατὰ ζωτικὴν κίνησιν, ἢ οὐσιώδη καὶ ἑκτικὴν ἐπιτηδειότητα.

Τοῦτο γοῦν εἰδότες οἱ θεολόγοι, καὶ ὡς ἀνώνυμον αὐτὴν ὑμνοῦσιν, καὶ ἐκ παντὸς ὀνόματος.

Ἀνώνυμον μὲν ὡς, ὅταν φασὶ τὴν θεαρχίαν αὐτὴν ἐν μιᾷ τῶν μυστικῶν τῆς συμβολικῆς θεοφανίας ὁράσεων ἐπιπλῆξαι τῷ φήσαντι· τί τὸ ὄνομά σου; καὶ ὥσπερ ἀπὸ πάσης αὐτὸν θεωνυμικῆς γνώσεως ἀπάγουσαν φάναι· καὶ ἵνα τί ἐρωτᾷς τὸ ὄνομά μου· καὶ τοῦτό ἐστι θαυμαστόν· ἢ οὐχὶ τοῦτο ὄντως ἐστὶ θαυμαστὸν ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα· τὸ ἀνώνυμον, τὸ παντὸς ὑπεριδρυμένον ὀνόματος ὀνομαζομένου εἴτε ἐν τῷ αἰῶνι τούτῳ, εἴτε ἐν τῷ μέλλοντι·

Πολυώνυμον δὲ ὡς ὅταν αὖθις αὐτὴν εἰσάγουσι φάσκουσαν· ἐγώ εἰμι ὁ ὤν· ἡ ζωή· τὸ φῶς· ὁ θεός· ἡ ἀλήθεια· καὶ ὅταν αὐτοὶ τὸν πάντων αἴτιον οἱ θεόσοφοι πολυωνύμως ἐκ πάντων τῶν αἰτιατῶν ὑμνοῦσιν· ὡς ἀγαθόν· ὡς καλόν· ὡς σοφόν· ὡς ἀγαπητόν· ὡς θεὸν θεῶν· ὡς κύριον κυρίων· ὡς ἅγιον ἁγίων· ὡς αἰώνιον· ὡς ὄντα, καὶ ὡς αἰώνων αἴτιον· ὡς ζωῆς χορηγόν· ὡς σοφίαν· ὡς νοῦν· ὡς λόγον· ὡς γνώστην· ὡς ὑπερέχοντα πάντας τοὺς θησαυροὺς ἁπάσης γνώσεως· ὡς δύναμιν· ὡς δυνάστην· ὡς βασιλέα τῶν βασιλευόντων· ὡς παλαιὸν ἡμερῶν· ὡς ἀγήρω καὶ ἀναλλοίωτον· ὡς σωτηρίαν· ὡς δικαιοσύνην· ὡς ἁγιασμόν· ὡς ἀπολύτρωσιν· ὡς ἐν μεγέθει πάντων ὑπερέχοντα· καὶ ὡς ἐν αὔρᾳ λεπτῇ· καί γε καὶ ἐν νόοις αὐτὸν εἶναί φασι· καὶ ἐν ψυχαῖς καὶ ἐν σώμασι, καὶ ἐν οὐρανῷ, καὶ ἐν γῇ, καὶ ἅμα ἐν ταὐτῷ τὸν αὐτὸν ἐν κόσμῳ, περικόσμιον· ὑπερκόσμιον, ὑπερουράνιον, ὑπερούσιον, ἥλιον· ἀστέρα



πῦρ· ὕδωρ· πνεῦμα· δρόσον· νεφέλην· αὐτόλιθον, καὶ πέτραν, πάντα τὰ ὄντα καὶ οὐδὲν τῶν ὄντων·

Οὕτως οὖν, τῇ πάντων αἰτίᾳ, καὶ ὑπὲρ πάντα οὔσῃ, καὶ τὸ ἀνώνυμον ἐφαρμόσει· καὶ πάντα τὰ τῶν ὄντων ὀνόματα· ἵνα ἀκριβῶς ᾖ τῶν ὅλων βασιλεία· καὶ περὶ αὐτὴν ᾖ τὰ πάντα, καὶ αὐτῆς ὡς αἰτίας· ὡς ἀρχῆς· ὡς πέρατος ἐξηρτημένα· καὶ αὐτὴ κατὰ τὸ λόγιον ᾖ τὰ πάντα ἐν πᾶσι· καὶ ἀληθῶς ὑμνῆται πάντων ὑποστάτις, ἀρχικὴ καὶ τελεωτική· καὶ συνεκτικὴ φρουρά· καὶ ἑστία καὶ πρὸς ἑαυτὴν ἐπιστρεπτικὴ καὶ ταῦτα ἡνωμένως· ἀσχέτως ἐξῃρημένως, οὐ γὰρ συνοχῆς, ἢ ζωῆς, ἢ τελειώσεως αἰτία μόνον ἐστὶν ἵνα ἀπὸ μόνης ταύτης, ἢ τῆς ἑτέρας προνοίας· ἡ ὑπερώνυμος ἀγαθότης ὀνομασθείη·

Πάντα δὲ ἁπλῶς καὶ ἀπεριορίστως ἐν ἑαυτῇ τὰ ὄντα προείληφε, ταῖς παντελέσι τῆς μιᾶς αὐτῆς καὶ παναιτίου προνοίας ἀγαθότητι· καὶ ἐκ τῶν ὄντων ἁπάντων ἐναρμονίως ὑμνεῖται· καὶ ὀνομάζεται·

Καὶ γὰρ οὐ ταύτας μόνας οἱ θεολόγοι τὰς θεωνυμίας πρεσβεύουσι· τὰς ἀπὸ τῶν παντελῶν ἢ τῶν μερικῶν προνοιῶν, ἢ τῶν προνοουμένων· ἀλλὰ καὶ ἀπό τινων ἔσθ' ὅτε θείων φασμάτων ἐν τοῖς ἱεροῖς ἀνακτόροις, ἢ ἄλλοθί ποι· τοὺς μύστας ἢ τοὺς προφήτας καταλαμψάντων· κατ' ἄλλας καὶ ἄλλας αἰτίας τε καὶ δυνάμεις ὀνομάζουσι τὴν ὑπερφαῆ· καὶ ὑπερώνυμον ἀγαθότητα, καὶ μορφὰς αὐτῇ, καὶ τύπους ἀνθρωπικούς, ἢ πυρίνους, ἢ ἠλεκτρί-

νους περιτιθέασι, καὶ ὀφθαλμοὺς αὐτῆς καὶ ὦτα, καὶ πλοκάμους, καὶ πρόσωπα, καὶ χεῖρας, καὶ μετάφρενα, καὶ πτερά, καὶ βραχίονας, καὶ ὀπίσθια, καὶ πόδας ὑμνοῦσι. στεφάνους τε καὶ θώκους, καὶ ποτήρια, καὶ κρατῆρας αὐτῇ· καὶ ἄλλα ἄττα μυστικὰ περιπλάττουσι· περὶ ὧν ἐν τῇ συμβολικῇ θεολογίᾳ κατὰ δύναμιν ἐροῦμεν. νῦν δὲ ὅσα τῆς παρούσης ἐστὶ πραγματείας ἐκ τῶν θεολογιῶν συναγαγόντες· καὶ ὡς ἐπί τινι κανόνι τοῖς εἰρημένοις χρώμενοι καὶ πρὸς αὐτὰ σκοποῦντες· ἐπὶ τὴν ἀνάπτυξιν τῶν νοητῶν θεωνυμιῶν προΐωμεν. καὶ ὅπερ ἀεὶ κατὰ πᾶσαν ἡμῖν θεολογίαν ὁ ἱεραρχικὸς θεσμὸς ὑφηγεῖται θεοπτικῇ διανοίᾳ, τὰς θεοειδεῖς ἐποπτεύσωμεν κυρίως εἰπεῖν, θεωρίας, καὶ ὦτα ἱερὰ ταῖς τῶν ἱερῶν θεωνυμιῶν ἀναπτύξεσιν παραθώμεθα, τοῖς ἁγίοις τὰ ἅγια κατὰ τὴν θείαν παράδοσιν ἐνιδρύοντες, καὶ τῶν ἀμυήτων αὐτὰ γέλωτος καὶ ἐμπαιγμῶν ἐξαιρούμενοι. μᾶλλον δὲ αὐτοὺς ἐκείνους, εἴπερ ὅλως εἰσὶ τοιοίδε τινὲς ἄνθρωποι, τῆς ἐπὶ τοῦτο θεομαχίας ἀπολυτρούμενοι.

Σοὶ μὲν οὖν, ταῦτα φυλάξαι χρεών, ὦ καλὲ Τιμόθεε κατὰ τὴν ἱερωτάτην ὑφήγησιν· καὶ μήτε ῥητά, μήτε ἔκφορα τὰ θεῖα ποιεῖν· εἰς τοὺς ἀμυήτους· ἐμοὶ δὲ δῴη ὁ θεὸς θεοπρεπῶς ὑμνῆσαι τὰς τῆς ἀκλήτου καὶ ἀκατονομάστου θεότητος ἀγαθουργικὰς πολυωνυμίας, καὶ μὴ περιελεῖν λόγον ἀληθείας ἐκ τοῦ στόματός μου.



## ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ ἡνωμένης, καὶ διακεκριμένης θεολογίας· καὶ τίς ἡ θεία ἕνωσις καὶ διάκρισις.

Τὴν θεαρχικὴν ὅλην ὕπαρξιν, ὅ τί ποτέ ἐστιν ἡ αὐτοαγαθότης ἀφορίζουσα καὶ ἐκφαίνουσα πρὸς τῶν λογίων ὑμνεῖται· καὶ τί γὰρ ἄλλο μαθεῖν ἐστιν ἐκ τῆς ἱερᾶς θεολογίας· ὁπόταν φησὶν τὴν θεαρχίαν αὐτὴν ὑφηγουμένην εἰπεῖν· τί με ἐρωτᾷς περὶ τοῦ ἀγαθοῦ· οὐδεὶς ἀγαθὸς εἰ μὴ μόνος ὁ θεός· τοῦτο μὲν οὖν, καὶ ἐν ἄλλοις ἐξετασθὲν ἡμῖν ἀποδέδεικται· τὸ πάσας ἀεὶ τὰς θεοπρεπεῖς θεωνυμίας, οὐ μερικῶς· ἀλλ' ἐπὶ τῆς ὅλης καὶ παντελοῦς καὶ ὁλοκλήρου καὶ πλήρους θεότητος ὑπὸ τῶν λογίων ὑμνεῖσθαι· καὶ πάσας αὐτὰς ἀμερῶς· ἀπολύτως· ἀπαρατηρήτως, ὁλικῶς ἁπάσῃ τῇ ὁλότητι τῆς ὁλοτελοῦς καὶ πάσης θεότητος ἀνατίθεσθαι.

Καὶ γοῦν ὡς ἐν ταῖς θεολογικαῖς ὑποτυπώσεσιν ὑπεμνήσαμεν· εἰ μὴ περὶ τῆς ὅλης θεότητος φαίη τις τοῦτο εἰρῆσθαι· καὶ ἀποσχίζειν ἀθέσμως τολμᾷ· τὴν ὑπερηνωμένην ἑνάδα· ῥητέον· ὡς αὐτός τε ὁ ἀγαθοφυὴς ἔφη λόγος· ἐγώ ἀγαθός εἰμι· καὶ τίς τῶν θεολήπτων προφητῶν ὑμνεῖ· τὸ πνεῦμα τὸ ἀγαθόν· καὶ αὖθις τὸ ἐγώ εἰμι ὁ ὤν· εἰ μὴ καθ' ὅλης φήσουσι τῆς θεότητος εἰρῆσθαι· καθ' ἓν δὲ μέ-

ρος αὐτοπεριγράψαι βιάσαιντο. πῶς ἀκούσονται τοῦ τάδε λέγει ὁ ὢν ὁ ἦν, ὁ ἐρχόμενος, ὁ παντοκράτωρ, καὶ σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὸ πνεῦμα τῆς ἀληθείας τὸ ὂν ὃ, παρὰ τοῦ πατρὸς ἐκπορεύεται. καὶ εἰ μὴ ὅλην εἶναί φασι τὴν θεαρχικὴν ζωήν. πῶς ἀληθὴς ὁ φήσας ἱερὸς λόγος, ὥσπερ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτως καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ, καὶ ὅτι τὸ πνεῦμά ἐστιν τὸ ζωοποιοῦν.

Περὶ μὲν τῆς θεογόνου θεότητος, ἢ τῆς υἱϊκῆς οὐδὲ εἰπεῖν ἔστιν ὡς οἶμαι ποσαχῆ τῆς θεολογίας, ἐπὶ πατρὸς καὶ υἱοῦ διαθρυλλεῖται τὸ κύριος. ἀλλὰ καὶ κύριος τὸ πνεῦμά ἐστιν.

Καὶ τὸ καλὸν δὲ καὶ τὸ σοφὸν ἐπὶ τῆς ὅλης θεότητος ὑμνεῖται. καὶ τὸ φῶς, καὶ τὸ θεοποιόν. καὶ τὸ αἴτιον καὶ πάντα ὅσα τῆς ὅλης θεαρχίας ἐστίν. εἰς πᾶσαν ἀνάγει τὰ λόγια τὴν θεαρχικὴν ὑμνῳδίαν.

Περιληπτικῶς μὲν ὡς ὅταν λέγει τὸ πάντα ἐκ τοῦ θεοῦ διεξοδικῶς δὲ, ὡς ὅταν φαίη τίς. τὰ πάντα δι᾽ αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται, καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκεν. καὶ ἐξαποστελεῖς τὸ πνεῦμά σου καὶ κτισθήσονται. καὶ ἵνα συλλήβδην φαίη τίς, αὐτὸς ὁ θεαρχικὸς λόγος ἔφη. ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν καὶ πάντα ὅσα ἔχει ὁ πατὴρ ἐμά ἐστιν, καὶ πάντα τὰ ἐμὰ σά ἐστιν καὶ τὰ σὰ ἐμά, καὶ αὖθις. ὅσα ἐστὶν τοῦ πατρὸς καὶ αὐτοῦ. τῷ θεαρχικῷ πνεύματι κοινωνικῶς καὶ ἡνωμένως ἀνατίθησιν. τὰς θεουργίας. τὸ σέβας. τὴν πηγαίαν καὶ ἀνέκλειπτον αἰτίαν



αἰτίαν καὶ διανομὴν τῶν ἀγαθοπρεπῶν δώρων καὶ οὐδένα τῶν ἐν τοῖς θείοις λογίοις ἀδιαστρόφοις ἐννοίαις ἐντεθραμμένων οἶμαι πρὸς τοῦτο ἀντερεῖν. ὅτι τὰ θεοπρεπῆ πάντα, τῇ ὅλῃ θεαρχίᾳ πρόσεστι κατὰ τὸν θεοτελῆ λόγον.

Τούτων οὖν ἡμῖν βραχέως μὲν ἐν τούτοις καὶ μερικῶς. ἐν ἄλλοις δὲ ἱκανῶς ἐκ τῶν λογίων ἀποδεδειγμένων τε καὶ διωρισμένων. ὁποίαν ἂν ἀναπτύξαι θεωνυμίαν ὁλικὴν ἐγχειρήσομεν. ἐπὶ τῆς ὅλης αὐτῆς θεότητος ἐκληπτέον.

Εἰ δέ τις φαίη. σύγχυσιν ἡμᾶς ἐν τούτῳ κατὰ τῆς θεοπρεποῦς διαιρέσεως εἰσαγαγεῖν. τὸν τοιόνδε λόγον ἡμεῖς οὔτε αὐτὸν οἰόμεθα πειθεῖν ἱκανὸν ὡς ἔστιν ἀληθής. εἰ μὲν γάρ ἐστί τις ὅλως ὁ τοῖς λογίοις ἀντινιστάμενος, πόρρω που πάντως ἔσται, καὶ τῆς καθ᾽ ἡμᾶς φιλοσοφίας. καὶ εἰ μὴ τῆς ἐκ τῶν λογίων αὐτῷ θεοσοφίας μέλει. πῶς ἂν ἡμῖν μελήσει τῆς ἐπὶ τὴν θεολογικὴν ἐπιστήμην αὐτοῦ χειραγωγίας.

Εἰ δὲ εἰς τὴν τῶν λογίων ἀλήθειαν ἀποσκοπεῖ, τούτῳ καὶ ἡμεῖς κανόνι καὶ φωτὶ χρώμενοι πρὸς τὴν ἀπολογίαν, ὡς οἷοί τε ἐσμὲν ἀκλινῶς βαδιούμεθα, φάσκοντες ὡς ἡ θεολογία. τὰ μὲν ἡνωμένως παραδίδωσι. τὰ δὲ διακεκριμένως, καὶ οὔτε τὰ ἡνωμένα διαιρεῖν θεμιτὸν, οὔτε τὰ διακεκριμένα συγχεῖν. Ἀλλ᾽ ἑπομένοις αὐτῇ κατὰ δύναμιν, ἐπὶ τὰς θείας μαρμαρυγὰς ἀνανεύειν. καὶ γὰρ ἐκεῖθεν τὰς θείας ἐκφαντορίας παραλαβόντες ὥσπερ τινὰ

κανόνα κάλλιστον ἀληθείας τὰ ἐκεῖ κείμενα φρουρεῖν ἐν ἑαυτοῖς ἀπλήθυντα καὶ ἀμείωτα καὶ ἀπαράτρεπτα συνδιδόμενοι ἐν τῇ φρουρᾷ τῶν λογίων φρουρούμενοι, καὶ πρὸς αὐτῶν εἰς τὸ φρουροῦντας αὐτὰ φρουρεῖσθαι δυναμούμενοι.

Τὰ μὲν οὖν ἡνωμένα, τῆς ὅλης θεότητός ἐστιν· ὡς ἐν ταῖς θεολογικαῖς ὑποτυπώσεσι διὰ πλειόνων ἐκ τῶν λογίων ἀπεδείξαμεν, τὸ ὑπεράγαθον· τὸ ὑπέρθεον· τὸ ὑπερούσιον· τὸ ὑπέρζωον· τὸ ὑπέρσοφον καὶ ὅσα τῆς ὑπεροχικῆς ἐστιν ἀφαιρέσεως· μεθ' ὧν καὶ τὰ αἰτιολογικὰ πάντα· τὸ ἀγαθόν· τὸ καλόν· τὸ ὄν· τὸ ζωογόνον· τὸ σοφόν· καὶ ὅσ' ἐκ τῶν ἀγαθοπρεπῶν αὐτῆς δωρεῶν, ἡ πάντων ἀγαθῶν αἰτία κατονομάζεται· τὰ δὲ διακεκριμένα, τὸ πατρὸς ὑπερούσιον ὄνομα καὶ χρῆμα, καὶ υἱοῦ καὶ πνεύματος· οὐδεμιᾶς ἐν τούτοις ἀντιστροφῆς, ἢ ὅλως κοινότητος ἐπεισαγομένης· ἔστιν δὲ αὖθις πρὸς τούτῳ διακεκριμένον, ἡ καθ' ἡμᾶς Ἰησοῦ παντελὴς καὶ ἀναλλοίωτος ὕπαρξις καὶ ὅσα τῆς κατ' αὐτὴν ἐστὶ φιλανθρωπίας οὐσιώδη μυστήρια.

Χρὴ δὲ ὡς οἶμαι μᾶλλον ἀναλαβόντας ἡμᾶς τὸν παντελῆ τῆς θείας ἑνώσεώς τε καὶ διακρίσεως ἐκθέσθαι τρόπον· ὅπως ἂν ἡμῖν εὐσύνοπτος ὁ πᾶς γένηται λόγος, τὸ μὲν ποικίλον ἅπαν, καὶ ἀσαφὲς ἀπαναινομένοις· εὐδιακρίτως δὲ καὶ σαφῶς καὶ εὐτάκτως τὰ οἰκεῖα κατὰ δύναμιν ὁροθετῶν. καλοῦσι γάρ, ὅπερ καὶ ἐν ἑτέροις ἔφην, οἱ τῆς καθ' ἡμᾶς



θεολογικῆς παραδόσεως ἱερομύσται. τὰς μὲν ἑνώσεις τὰς θείας τὰς τῆς ὑπεραρρήτου καὶ ὑπεραγνώστου μονιμότητος· κρυφίας καὶ ἀνεκφοιτήτους, ὑπεριδρύσεις· τὰς δὲ διακρίσεις τὰς ἀγαθοπρεπεῖς τῆς θεαρχίας, προόδους τε καὶ ἐκφάνσεις· καί φασι τοῖς ἱεροῖς λογίοις ἑπόμενοι, καὶ τῆς εἰρημένης ἑνώσεως ἴδια καὶ αὖθις τῆς διακρίσεως εἶναί τινας ἰδικὰς καὶ ἑνώσεις καὶ διακρίσεις· οἷον ἐπὶ τῆς ἑνώσεως τῆς θείας.

Ἤτοι τῆς ὑπερουσιότητος, ἡνωμένον μὲν ἐστὶ τῇ ἐναρχικῇ τριάδι, καὶ κοινὸν ἡ ὑπερούσιος ὕπαρξις, ἡ ὑπέρθεος θεότης· ἡ ὑπεράγαθος ἀγαθότης· ἡ πάντων ἐπέκεινα· τῆς ἐπέκεινα πάντων ὅλης ἰδιότητος· ταυτότης, ἡ ὑπὲρ ἐναρχίαν ἑνότης, τὸ ἄφθεγκτον, τὸ πολύφωνον· ἡ ἀγνωσία· τὸ πανόητον· ἡ παντὸς θέσις· ἡ παντὸς ἀφαίρεσις· τὸ ὑπὲρ πᾶσαν καὶ θέσιν καὶ ἀφαίρεσιν ἡ ἐν ἀλλήλαις· εἰ οὕτω χρὴ φάναι τῶν ἐναρχικῶν ὑποστάσεων μονὴ καὶ ἵδρυσις ὁλικῶς ὑπερηνωμένη· καὶ οὐδενὶ μέρει συγκεχυμένη· καθάπερ φῶτα λαμπτήρων, ἵν' αἰσθητοῖς καὶ οἰκείοις χρήσωμαι παραδείγμασιν· ὄντα ἐν οἴκῳ ἑνί· καὶ ὅλα ἐν ἀλλήλοις ἐστί· ἀκραιφνῆ καὶ ἀκριβῆ τὴν ἀπ' ἀλλήλων ἰδικῶς ὑφισταμένην ἔχει διάκρισιν· ἡνωμένα τῇ διακρίσει· καὶ τῇ ἑνώσει διακεκριμένα.

Καὶ γοῦν ὁρῶμεν ἐν οἴκῳ πολλῶν ἐνόντων λαμπτήρων πρὸς ἕν τι φῶς ἑνούμενα τὰ πάντων φῶτα καὶ μίαν αἴγλην ἀδιάκριτον ἀναλάμποντα· καὶ οὐχ

αὐτῆς ὡς οἶμαι δύναιτο τοῦ δὲ τοῦ λαμπτῆρος τὸ φῶς ἀπὸ τῶν ἄλλων ἐκ τοῦ πάντα τὰ φῶτα περιέχοντος ἀέρος διακρῖναι καὶ ἰδεῖν αὐτὸ θατέρου θάτερον, ὅλον ἐν ὅλοις ἀμιγῶς συγκεκραμένων. ἀλλὰ καὶ εἰ τὸν ἕνα τίς τῶν πυρσῶν ὑπεξαγάγοι τοῦ δώματος, συνεξελεύσεται καὶ τὸ οἰκεῖον ἅπαν φῶς οὐδὲν τῶν ἑτέρων φώτων ἐν ἑαυτῷ συνεπισπώμενον, ἢ τοῦ ἑαυτοῦ τοῖς ἑτέροις καταλεῖπον, ἦν γὰρ αὐτῶν ὅπερ ἔφην, ἡ ὅλων πρὸς ὅλα παντελὴς ἕνωσις ἀμιγὴς καθόλου, καὶ οὐδενὶ μορφῇ, συμπεφυρμένη. καὶ ταῦτα ὄντος ἐν σώματι τῷ ἀέρι, καὶ ἐξ ἐνύλου τοῦ πυρὸς ἠρτημένου τοῦ φωτός. ὅθεν γε καὶ τὴν ὑπερούσιον ἕνωσιν ὑπεριδρῦσθαι φαμὲν. οὐ τῶν ἐν σώμασι μόνων ἑνώσεων. ἀλλὰ καὶ τῶν ἐν ψυχαῖς αὐταῖς καὶ ἐν αὐτοῖς νόοις, ἃς ἔχουσιν ἀμιγῶς καὶ ὑπερκοσμίως. δι' ὅλων ὅλα τὰ θεοειδῆ καὶ ὑπερουράνια φῶτα κατὰ μέθεξιν ἀνάλογον τοῖς μετέχουσι τῆς πάντων ὑπερῃρημένης ἑνώσεως.

Ἔστι δὲ καὶ διάκρισις ἐν ταῖς ὑπερουσίοις θεολογίαις, οὐχ ἣν ἔφην μόνον. ὅτι κατ' αὐτὴν τὴν ἕνωσιν ἀμιγῶς ἵδρυται καὶ ἀσυγχύτως ἑκάστη τῶν ἐναρχικῶν ὑποστάσεων. ἀλλ' ὅτι καὶ τὰ τῆς ὑπερουσίου θεογονίας οὐκ ἀντιστρέφει πρὸς ἄλληλα. μόνη δὲ πηγὴ τῆς ὑπερουσίου θεότητος ὁ πατὴρ, οὐκ ὄντος υἱοῦ τοῦ πατρὸς οὐδὲ πατρὸς τοῦ υἱοῦ. φυλαττόντων δὲ τὰ οἰκεῖα τῶν ὕμνων ὁσίως ἑκάστῃ τῶν θεαρχικῶν ὑποστάσεων. αὗται μὲν αἱ κατὰ τὴν ἄ-



φθεγκτον ἕνωσίν τε καὶ ὕπαρξιν, ἑνώσεις τε καὶ διακρίσεις.

Εἰ δὲ καὶ θεία διάκρισίς ἐστιν, ἡ ἀγαθοπρεπὴς πρόοδος τῆς ἑνώσεως τῆς θείας ὑπερηνωμένως ἑαυτὴν ἀγαθότητι πληθυούσης τε καὶ πολλαπλασιαζούσης.

Ἡνωμέναι μέν εἰσι κατὰ τὴν θείαν διάκρισιν αἱ ἄσχετοι μεταδόσεις, αἱ οὐσιώσεις, αἱ ζωώσεις, αἱ σοφοποιήσεις. αἱ ἄλλαι δωρεαὶ τῆς πάντων αἰτίας ἀγαθότητος καθ' ἃς, καὶ ἐκ τῶν μετεχόντων ὑμνεῖται τὰ ἀμεθέκτως μετεχόντων ὑμνεῖται τὰ ἀμεθέκτως μετεχόμενα. καὶ τοῦτο κοινὸν καὶ ἡνωμένον καὶ ἕν ἐστι τῇ ὅλῃ θεότητι. τὸ πᾶσαν αὐτὴν ὅλην ὑφ' ἑκάστου τῶν μετεχόντων μετέχεσθαι καὶ ὑπ' οὐδενὸς οὐδενὶ μορφῇ. καθάπερ κέντρου σημεῖον. ἐν μέσῳ κύκλου πρὸς πασῶν τῶν ἐν τῷ κύκλῳ περικειμένων εὐθειῶν καὶ ὥσπερ σφραγῖδος ἐκτυπώματα πολλὰ μετέχει τῆς ἀρχετύπου σφραγῖδος, καὶ ἐν ἑκάστῳ τῶν ἐκτυπωμάτων, ὅλης καὶ ταὐτῆς οὔσης καὶ ἐν οὐδενὶ κατ' οὐδὲν μέρος. ὑπέρκειται δὲ καὶ τούτων ἡ τῆς παναιτίου θεότητος ἀμεθεξία, τῷ μήτε ἐπαφὴν αὐτῆς εἶναι, μήτε ἄλλην τινὰ πρὸς τὰ μετέχοντα συμμιγῆ κοινωνίαν. καίτοι φαίη τις. οὐκ ἔστιν ἡ σφραγὶς ἐν ὅλοις τοῖς ἐκμαγείοις ὅλη καὶ ταὐτή. τούτου δὲ οὐχ ἡ σφραγὶς αἰτία. πᾶσαν γὰρ ἑαυτὴν ἐκείνη καὶ ταύτην ἑκάστῳ μεταδίδωσιν. ἀλλ' ἡ τῶν δὲ τῶν μετεχόντων διαφορότης ἀνόμοια ποιεῖ τὰ ἀπομάγματα, τῆς μιᾶς

καὶ ὅλης καὶ ταύτης ἀρχετυπίας. οἷον, εἰ μὲν ἀπαλὰ καὶ εὐτύπωτα ᾖ, καὶ λεῖα καὶ ἀχάρακτα· καὶ μήτε ἀντίτυπα καὶ σκληρά· μήτε διάχυτα καὶ ἀσύστατα· καθαρὸν ἕξει καὶ σαφῆ καὶ ἐναπομένοντα τὸν τύπον.

Εἰ δέ τι τῆς εἰρημένης ἐπιτηδειότητος ἐλλείποι, τοῦτο αἴτιον ἔσται τοῦ ἀτυπώτου καὶ ἀσαφοῦς καὶ τῶν ἄλλων ὅσα ἀνεπιτηδειότητι μετοχῆς γίνεται.

Διακέκριται δὲ τῆς ἀγαθοπρεποῦς εἰς ἡμᾶς θεουργίας· τὸ καθ' ἡμᾶς ἐξ ἡμῶν ὁλικῶς καὶ ἀληθῶς οὐσιωθῆναι τὸν ὑπερούσιον λόγον· καὶ δρᾶσαι καὶ παθεῖν ὅσα τῆς ἀνθρωπικῆς αὐτοῦ θεουργίας ἐστὶν ἔκκριτα καὶ ἐξαίρετα. τούτοις γὰρ ὁ πατὴρ καὶ τὸ πνεῦμα κατ' οὐδένα κεκοινώνηκεν λόγον· εἰ μή που φαίη τις κατὰ τὴν ἀγαθοειδῆ καὶ φιλάνθρωπον ὁμοβουλίαν· καὶ κατὰ πᾶσαν τὴν ὑπερκειμένην καὶ ἄρρητον θεουργίαν ἣν, ἔδρακεν καθ' ἡμᾶς γεγονὼς ὁ ἀναλλοίωτος, ἧ θεὸς καὶ θεοῦ λόγος.

Οὕτω καὶ ἡμεῖς τὰ θεῖα καὶ ἑνοῦν τῷ λόγῳ καὶ διακρίνειν σπεύδομεν ὡς αὐτὰ τὰ θεῖα καὶ ἥνωται καὶ διακέκριται. Ἀλλὰ τοὺς μὲν τῶν ἑνώσεών τε καὶ διακρίσεων· ὅσας ἐν τοῖς λογίοις θεοπρεπεῖς αἰτίας εὑρήκαμεν ἐν ταῖς θεολογικαῖς ὑποτυπώσεσιν· ἰδίᾳ περὶ ἑκάστου διαλαβόντες· ὡς ἐφικτὸν ἐξεθέμεθα· τὰ μὲν ἀνελίξαντες τῷ ἀληθεῖ λόγῳ καὶ ἀναπτύξαντες, καὶ τὸν ἱερὸν καὶ ἀνεπιθόλωτον νοῦν· ἐπὶ τὰ φανὰ τῶν λογίων θεάματα προσάγοντες τοῖς δὲ ὡς μυστικοῖς κατὰ τὴν θείαν παράδοσιν ὑπὲρ νοερὰν ἐνέργειαν ἐπιβαλόντες. πάντα γὰρ τὰ θεῖα, καὶ ὅσα ἡμῖν ἐκπέφανται ταῖς μετοχαῖς μόναις γινώσκεται. αὐτὰ δὲ ὁποῖά ποτέ ἐστιν κατὰ τὴν οἰκείαν ἀρχὴν καὶ ἵδρυσιν· ὑπὲρ νοῦν ἐστὶ καὶ πᾶσαν οὐσίαν, καὶ γνῶσιν. οἷον εἰ τὴν ὑπερούσιον κρυφιότητα, θεόν, ἢ ζωήν, ἢ οὐσίαν, ἢ φῶς, ἢ λόγον ὀνομάσωμεν, οὐδὲν ἕτερον νοοῦμεν ἢ τὰς εἰς ἡμᾶς ἐξ αὐτῆς προαγομένας δυνάμεις ἐκθεωτικάς, ἢ οὐσιοποιούς, ἢ ζωογόνους, ἢ σοφοδώρους. αὐτῇ δὲ κατὰ τὴν πασῶν τῶν νοερῶν ἐνεργειῶν ἀπόλυσιν ἐπιβάλλομεν οὐδεμίαν ὁρῶντες θέωσιν, ἢ ζωήν, ἢ οὐσίαν· ἥτις ἀκριβῶς ἐμφερής ἐστιν τῇ πάντων ἐξηρημένῃ κατὰ πᾶσαν ὑπεροχὴν αἰτίᾳ.



Πάλιν ὅτι μέν ἐστιν πηγαία θεότης ὁ πατήρ· ὁ δὲ Ἰησοῦς καὶ τὸ πνεῦμα τῆς θεογόνου θεότητος· εἰ οὕτω χρὴ φάναι βλαστοὶ θεόφυτοι· καὶ οἷον ἄνθη καὶ ὑπερούσια φῶτα, πρὸς τῶν ἱερῶν λογίων παρειλήφαμεν· ὅπως δὲ ταῦτά ἐστιν, οὔτε εἰπεῖν, οὔτε ἐννοῆσαι δυνατόν.

Ἀλλὰ μέχρι τούτου πᾶσα τῆς καθ' ἡμᾶς νοερᾶς ἐνεργείας ἡ πρόοδος· ὅτι πᾶσα θεία πατριὰ καὶ υἱότης ἐκ τῆς πάντων ἐξῃρημένης πατριαρχίας καὶ υἱαρχίας δεδώρηται· καὶ ἡμῖν καὶ ταῖς ὑπερουρανίαις δυνάμεσιν, ἐξ ἧς καὶ θεοί, καὶ θεῶν υἱοί, καὶ θεῶν πατέρες οἱ θεοειδεῖς γίγνονται καὶ ὀνομάζονται

νόες πνευματικῶς, δηλαδὴ τῆς τριάδος, πατρότητος καὶ υἱότητος ἐκπληρουμένης· τοῦτ' ἔστιν ἀσωμάτως, ἀΰλως, νοητῶς τοῦ θεαρχικοῦ πνεύματος ὑπὲρ πᾶσαν νοητὴν ἀϋλίαν καὶ θέωσιν ὑπεριδρυμένου, καὶ τοῦ πατρὸς καὶ υἱοῦ, καὶ πάσης πατριᾶς υἱότητος θείας, ὑπεροχικῶς ἐξῃρημένων.

Οὐδὲ γάρ ἐστιν ἀκριβὴς ἐμφέρεια τοῖς αἰτιατοῖς, ἀλλ' ἔχει μὲν τὰ αἰτιατὰ, τὰς τῶν αἰτίων ἐνδεχομένας εἰκόνας· ταῦτα δὲ τὰ αἴτια τῶν αἰτιατῶν ἐξῄρηται καὶ ὑπερίδρυται κατὰ τὸν τῆς οἰκείας ἀρχῆς λόγον. Καὶ ἵνα τοῖς καθ' ἡμᾶς χρήσωμαι παραδείγμασιν· ἡδοναὶ καὶ λῦπαι λέγονται ποιητικαὶ, τοῦ ἥδεσθαι καὶ λυπεῖσθαι, αὐταὶ δὲ οὔτε ἥδονται, οὔτε λυποῦνται· καὶ τὸ πῦρ θερμαῖνον καὶ καῖον, οὐ λέγεται καίεσθαι καὶ θερμαίνεσθαι. καὶ ζῆν εἴ τις φαίη τὴν αὐτοζωὴν, ἢ φωτίζεσθαι τὸ αὐτὸ φῶς, οὐκ ὀρθῶς ἐρεῖ κατὰ τὸν ἐμὸν λόγον· εἰ μή που καθ' ἕτερον ταῦτα εἴποι τρόπον, ὅτι περιουσίως καὶ οὐσιωδῶς προένεστι τὰ τῶν αἰτιατῶν τοῖς αἰτίοις.

Ἀλλὰ καὶ τὸ πάσης θεολογίας ἐκφανέστατον, ἡ καθ' ἡμᾶς Ἰησοῦ θεοπλαστία, καὶ ἄρρητός ἐστι λόγῳ παντὶ, καὶ ἄγνωστος νῷ παντὶ, καὶ αὐτῷ τῷ πρωτίστῳ τῶν πρεσβυτάτων ἀγγέλων. καὶ τὸ μὲν ἀνδρικῶς αὐτὸν οὐσιωθῆναι, μυστικῶς παρειλήφαμεν, ἀγνοεῖται δὲ ὅπως ἐκ παρθενικῶν αἱμάτων ἑτέρῳ παρὰ τὴν φύσιν θεσμῷ διεπλάττετο. καὶ ὅπως ἀβρόχοις ποσὶ, σωματικὸν ὄγκον ἔχουσι καὶ ὕλης βάρος ἐπεπορεύετο τὴν ὑγρὰν καὶ ἄστατον οὐσίαν. καὶ τὰ ἄλλα ὅσα τῆς ὑπερφυοῦς ἐστιν Ἰησοῦ φυσιολογίας.



Ταῦτα δὲ ἡμῖν τε ἐν ἄλλοις ἱκανῶς εἴρηται. καὶ τῷ κλεινῷ καθηγεμόνι κατὰ τὰς θεολογικὰς αὐτοῦ στοιχειώσεις ὕμνηται λίαν ὑπερφυῶς. ἅπερ ἐκεῖνος, εἴτε παρὰ τῶν ἱερῶν θεολόγων παρείληφεν. εἴτε καὶ ἐκ τῆς ἐπιστημονικῆς τῶν λογίων ἐρεύνης συνεώρακε, ἐκ πολλῆς τῆς περὶ αὐτὰ γυμνασίας καὶ τριβῆς. εἴτε καὶ ἔκ τινος ἐμυήθη θειοτέρας ἐπιπνοίας, οὐ μόνον μαθὼν, ἀλλὰ καὶ παθὼν τὰ θεῖα. κἀκ τῆς πρὸς αὐτὰ συμπαθείας. εἰ οὕτω χρὴ φάναι πρὸς τὴν ἀδίδακτον αὐτῶν καὶ μυστικὴν ἀποτελεσθεὶς ἕνωσιν καὶ πίστιν. καὶ ἵνα τὰ πολλὰ καὶ μακάρια θεάματα τῆς κρατίστης ἐκείνου διανοίας ἐν ἐλαχίστοις παραθώμεθα. τάδε περὶ τοῦ Ἰησοῦ φησὶν ἐν ταῖς συνηγμέναις αὐτῷ θεολογικαῖς, στοιχειώσεσιν.

## Τοῦ ἁγιωτάτου ἱεροθέου ἐκ τῶν θεολογικῶν στοιχειώσεων.

Ἡ πάντων αἰτία καὶ ἀποπληρωτικὴ τοῦ Ἰησοῦ θεότης, ἡ τὰ μέρη τῇ ὁλότητι σύμφωνα διασώζουσα. καὶ οὔτε μέρος, οὔτε ὅλον οὖσα. καὶ ὅλον καὶ μέρος ὡς πᾶν καὶ μέρος καὶ ὅλον ἐν ἑαυτῇ συνειληφυῖα καὶ ὑπερέχουσα καὶ προέχουσα.

Τελεία μέν ἐστιν ἐν τοῖς ἀτελέσιν. ὡς τελεταρχής.

ἀτελὴς δὲ ἐν τοῖς τελείοις· ὡς ὑπερτελὴς καὶ προτέλειος· εἰδοποιὸν ἐν τοῖς ἀνειδέοις, ὡς ἀρχείδιος· ἀνείδεος ἐν τοῖς εἴδεσιν ὡς ὑπὲρ εἶδος· οὐσία τῆς ὅλης οὐσίας ἀχράντως ἐπιβατεύουσα· καὶ ὑπερούσιος ἁπάσης οὐσίας ἐξῃρημένη· τὰς ὅλας ἀρχὰς καὶ τάξεις ἀφορίζουσα· καὶ πάσης ἀρχῆς καὶ τάξεως ὑπεριδρυμένη καὶ μέτρον ἐστὶ τῶν ὄντων· καὶ αἰὼν· καὶ ὑπὲρ αἰῶνα καὶ πρὸ αἰῶνος· πλήρης ἐν τοῖς ἐνδέεσιν· ὑπερπλήρης ἐν τοῖς πλήρεσιν· ἄρρητος ἄφθεγκτος· ὑπὲρ νοῦν ὑπὲρ ζωὴν ὑπὲρ οὐσίαν· ὑπερφυῶς ἔχει τὸ ὑπερφυές· ὑπερουσίως τὸ ὑπερούσιον· ὅθεν ἐπειδὴ καὶ ἕως φύσεως, ὑπὸ φιλανθρωπίας ἐλήλυθεν· καὶ ἀληθῶς οὐσιώθη· καὶ ἀνὴρ ὁ ὑπέρθεος ἐχρημάτισεν· ἵλεω δὲ εἴη τὰ πρὸς ἡμῶν τὰ ὑπὲρ νοῦν καὶ λόγον ὑμνούμενα· καὶ ἐν τούτοις ἔχει τὸ ὑπερφυὲς καὶ ὑπερούσιον· οὐ μόνον ᾗ ἀναλλοιώτως ἡμῖν καὶ ἀσυγχύτως κεκοινώνηκε, μηδὲν πεπονθὼς, εἰς τὸ ὑπερπλῆρες αὐτοῦ πρὸς τῆς ἀφθέγκτου κενώσεως, ἀλλ' ὅτι καὶ τὸ πάντων καινῶν καινότατον ἐν τοῖς φυσικοῖς ἡμῶν ὑπερφυὴς ἦν· ἐν τοῖς κατ' οὐσίαν ὑπερούσιος· πάντα τὰ ἡμῶν ἐξ ἡμῶν, ὑπὲρ ἡμᾶς ὑπερέχων· τούτων μὲν οὖν ἅλις· ἐπὶ δὲ τὸν τοῦ λόγου σκοπὸν προΐωμεν·

Τὰ κοινὰ καὶ ἡνωμένα τῆς διακρίσεως τῆς θείας ὀνόματα κατὰ τὸ ἡμῖν ἐφικτὸν ἀνελίττοντες καὶ ἵνα σαφῶς περὶ πάντων ἑξῆς προδιορισώμεθα· διάκρισιν θείαν εἶναι φαμὲν ὡς εἴρηται, τὰς ἀγαθοπρε



πεῖς τῆς θεαρχίας προόδους· δωρουμένη γὰρ πᾶσι τοῖς οὖσι· καὶ ὑπερχέουσα τὰς τῶν ὅλων ἀγαθῶν μετουσίας· ἡνωμένως μὲν διακρίνεται· πληθύνεται δὲ ἑνικῶς· καὶ πολλαπλασιάζεται ἐκ τοῦ ἑνὸς ἀνεκφοιτήτως·

Οἷον, ἐπειδὴ ὤν ἐστιν ὁ θεὸς ὑπερουσίως· δωρεῖται δὲ τὸ εἶναι τοῖς οὖσι· καὶ παράγει τὰς ὅλας οὐσίας· πολλαπλασιάζεσθαι λέγεται τὸ ἕν, ὂν· ἐκεῖνο τῇ ἐξ αὐτοῦ παραγωγῇ τῶν πολλῶν ὄντων· μένοντος δὲ οὐδὲν ἧττον ἐκείνου, καὶ ἑνὸς ἐν τῷ πληθυσμῷ· καὶ ἡνωμένου κατὰ τὴν πρόοδον, καὶ πλήρους ἐν τῇ διακρίσει, τῷ πάντων εἶναι τῶν ὄντων ὑπερουσίως ἐξῃρημένον· καὶ τῇ ἑνιαίᾳ τῶν ὅλων παραγωγῇ· καὶ τῇ ἀνελαττώτῳ χύσει τῶν ἀμειώτων αὐτοῦ μεταδόσεων· ἀλλὰ καὶ ἓν ὢν, καὶ παντὶ μέρει καὶ ὅλῳ καὶ ἑνὶ καὶ πλήθει τοῦ ἑνὸς μεταδοὺς, ἕν ἐστιν ὡσαύτως ὑπερουσίως, οὔτε μέρος ὂν, τοῦ πλήθους, οὔτε ἐκ μερῶν ὅλον· καὶ οὕτως οὔτε ἕν ἐστιν, οὔτε ἑνὸς μετέχει· οὐδὲ τὸ ἓν ἔχει· πόρρω δὲ τούτων ἐστὶν ὑπὲρ τὸ ἕν, τοῖς οὖσιν ἕν· καὶ πλῆθος ἀμερὲς ἀπλήρωτον ὑπερπλῆρες· πᾶν ἕν· καὶ πλῆθος παράγον, καὶ τελειοῦν καὶ συνέχον πάλιν τῇ ἐξ αὐτοῦ θεώσει τῷ κατὰ δύναμιν ἑκάστου θεοειδεῖ θεῶν πολλῶν γιγνομένων·

Δοκεῖ μὲν εἶναι καὶ λέγεται τοῦ ἑνὸς θεοῦ διάκρισις καὶ πολλαπλασιασμός· ἔστι δὲ οὐδὲν ἧττον, ὁ ἀρχίθεος καὶ ὑπέρθεος ὑπερουσίως· εἷς θεὸς ἀμέριστος

ἐν τοῖς μεριστοῖς· ἡνωμένος ἑαυτῷ καὶ τοῖς πολλοῖς ἀμιγὴς καὶ ἀπλήθυντος. καὶ τοῦτο ὑπερφυῶς ἐννοήσας ὁ κοινὸς ἡμῶν καὶ τοῦ καθηγεμόνος ἐπὶ τὴν θείαν φωτοδοσίαν χειραγωγός.

Ὁ πολὺς τὰ θεῖα, τὸ φῶς τοῦ κόσμου. ταῦτά φησιν ἐνθεαστικῶς, ἐν τοῖς ἱεροῖς αὐτοῦ γράμμασιν.

Καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοί. εἴτε ἐν οὐρανῷ εἴτε ἐπὶ γῆς, ὥσπερ οὖν εἰσι θεοὶ πολλοί, καὶ κύριοι πολλοί· ἀλλ' ἡμῖν εἷς θεὸς ὁ πατὴρ ἐξ οὗ τὰ πάντα καὶ ἡμεῖς εἰς αὐτόν· καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ.

Καὶ γὰρ ἐπὶ τῶν θείων αἱ ἑνώσεις τῶν διακρίσεων ἐπικρατοῦσι καὶ προκατάρχουσιν, καὶ οὐδὲν ἧττόν ἐστιν ἡνωμένα καὶ μετὰ τὴν τοῦ ἑνὸς ἀνεκφοίτητον καὶ ἑνιαίαν διάκρισιν.

Ταύτας ἡμεῖς τὰς κοινὰς καὶ ἡνωμένας τῆς ὅλης θεότητος διακρίσεις, εἴτ' οὖν ἀγαθοπρεπεῖς προόδους, ἐκ τῶν ἐμφαινουσῶν αὐτὰς ἐν τοῖς λογίοις θεωνυμιῶν ὑμνῆσαι κατὰ τὸ δυνατὸν πειρασόμεθα. Τούτου καθάπερ εἴρηται προδιεγνωσμένου· τὸ πᾶσαν ἀγαθουργικὴν θεωνυμίαν ἐφ' ἧσπερ ἂν κεῖται τῶν θεαρχικῶν ὑποστάσεων ἐπὶ τῆς ὅλης αὐτὴν ἐκληφθῆναι θεαρχικῆς ὁλότητος ἀπαραιτήτως.



## ΚΕΦΑΛΑΙΟΝ Γ'.

Τίς ἡ τῆς εὐχῆς δύναμις· καὶ περὶ τοῦ μακαρίου Ἱεροθέου καὶ περὶ εὐλαβείας καὶ συγγραφῆς θεολογικῆς.

Καὶ πρῶτον εἰ δοκεῖ τὴν παντελῆ καὶ τῶν ὅλων τοῦ θεοῦ προόδων ἐκφαντορικὴν ἀγαθωνυμίαν ἐπισκεψώμεθα, τὴν ἀγαθαρχικὴν καὶ ὑπεράγαθον ἐπικαλεσάμενοι τριάδα· τὴν ἐκφαντορικὴν τῶν ὅλων ἑαυτῆς ἀγαθοτάτων προνοιῶν. χρὴ γὰρ ἡμᾶς ταῖς εὐχαῖς πρῶτον ἐπ' αὐτὴν ὡς ἀγαθαρχίαν ἀνάγεσθαι· καὶ τότε μᾶλλον αὐτῇ πλησιάζοντας, ἐν τούτῳ μυεῖσθαι τὰ πανάγαθα δῶρα τὰ περὶ αὐτὴν ἱδρυμένα.

Καὶ γὰρ αὐτὴ μὲν ἅπασι πάρεστιν οὐ πάντα δὲ αὐτῇ πάρεστιν. τότε δὲ ὅταν αὐτὴν ἐπικαλώμεθα πανάγνοις μὲν εὐχαῖς ἀνεπιθολώτῳ δὲ νῷ, καὶ τῇ πρὸς θείαν ἕνωσιν ἐπιτηδειότητι, τότε καὶ ἡμεῖς αὐτῇ πάρεσμεν. αὐτὴ γὰρ οὔτε ἐν τόπῳ ἐστίν, ἵνα καὶ ἀπῇ τινός, ἢ ἐξ ἑτέρων εἰς ἕτερα μεταβῇ. ἀλλὰ καὶ τὸ ἐν πᾶσι τοῖς οὖσιν αὐτὴν εἶναι λέγειν ἀπολείπεται τῆς ὑπὲρ πάντα καὶ πάντων περιληπτικῆς ἀπειρίας. ἡμᾶς οὖν αὐτοὺς ταῖς εὐχαῖς ἀνατείνωμεν, ἐπὶ τὴν τῶν θείων καὶ ἀγαθῶν ἀκτίνων ὑψηλοτέραν ἀνάδοσιν. ὥσπερ εἰ πολυφώτου σειρᾶς ἐκ τῆς

οὐρανίας ἀκρότητος ἠρτημένης, εἰς δεῦρο δὲ καθη/
κούσης, καὶ ἀεὶ αὐτῆς ἐπὶ τὸ πρόσω χερσὶν ἀμοι/
βαίαις δραττόμενοι, καθέλκειν μὲν αὐτὴν ἐδοκοῦ
μεν, τῷ ὄντι δὲ οὐ κατήγομεν ἐκείνην, ἄνω δὲ καὶ
κάτω παροῦσαν, ἀλλ' αὐτοὶ ἡμεῖς ἀνηγόμεθα
πρὸς τὰς ὑψηλοτέρας τῶν πολυφώτων ἀκτίνων
μαρμαρυγάς.

Η ὥσπερ εἰς ναῦν ἐμβεβηκότες, καὶ ἀντεχόμενοι τῶν
ἔκ τινος πέτρας εἰς ἡμᾶς ἐκτεινομένων πεισμάτων,
καὶ οἷον ἡμῖν εἰς ἀντίληψιν ἐκδιδομένων οὐκ ἐφ' ἡ/
μᾶς τὴν πέτραν, ἀλλ' ἡμᾶς αὐτοὺς τῷ ἀληθεῖ καὶ
τὴν ναῦν ἐπὶ τὴν πέτραν προσήγομεν. ὥσπερ καὶ
τὸ ἔμπαλιν· εἰς τὴν παραλίαν πέτραν ἑστὼς ἐπὶ
τῆς νηὸς ἀπωθῆται· δράσει μὲν οὐδὲν εἰς τὴν ἑστῶ
σαν καὶ ἀκίνητον πέτραν· ἑαυτὸν δὲ ἐκείνης ἀπο/
χωρήσει· καὶ ὅσῳ μᾶλλον αὐτὴν ἀπώσεται μᾶλ
λον αὐτῆς ἀκοντισθήσεται. διὸ καὶ πρὸ παντὸς
καὶ μάλλον θεολογίας. εὐχῆς ἀπάρχεσθαι χρε/
ών. οὐχ ὡς ἐφελκομένοις τὴν ἁπανταχῆ παροῦ
σαν καὶ οὐδαμῆ δύναμιν, ἀλλ' ὡς ταῖς θείαις μνή
μαις καὶ ἐπικλήσεσιν. ἡμᾶς αὐτοὺς ἐγχειρίζοντας
αὐτῇ καὶ ἑνοῦντας.

Κ αὶ τοῦτο δὲ ἴσως ἀπολογίας ἄξιον, ὅτι τοῦ κλεινοῦ
καθηγεμόνος ἡμῶν ἱεροθέου. τὰς θεολογικὰς στοιχει
ώσεις ὑπερφυῶς συναγαγόντος. ἡμεῖς ὡς οὐχ ἱκα
νῶν ἐκείνων. ἄλλας τε καὶ τὴν παροῦσαν θεολογί
αν συνεγραψάμεθα. καίτοιγε. εἰ μὲν ἑξῆς ἐκεῖνος



διαπραγματεύσασθαι. πάσας τὰς θεολογικὰς
πραγματείας. ἠξίωσεν. καὶ μερικαῖς ἀνελίξεσι
διῆλθεν ἁπάσης θεολογίας κεφάλαιον. οὐκ ἂν ἡ/
μεῖς ἐπὶ τοσοῦτον, ἢ μανίας, ἢ σκαιότητος ἐληλύ
θαμεν, ἢ ὡς ὀξυωπέστερον ἐκείνου καὶ θειότερον οἰη
θῆναι ταῖς θεολογίαις ἐπιβαλεῖν, ἢ δὶς τὰ αὐτὰ πε
ριττῶς λέγοντας εἰκαιολογῆσαι, πρὸς ἔτι καὶ ἀδι/
κῆσαι καὶ διδάσκαλον καὶ φίλον ὄντα. καὶ ἡμᾶς
τοὺς μετὰ παῦλον τὸν θεῖον ἐκ τῶν ἐκείνου λογίων
στοιχειωθέντας τὴν κλεινοτάτην αὐτοῦ καὶ θεωρί
αν καὶ ἔκφανσιν ἑαυτοῖς ὑφαρπάζοντας.

Α λλ' ἐπειδὴ τῷ ὄντι τὰ θεῖα πρεσβυτικῶς ὑφηγού
μενος ἐκεῖνος. συνοπτικοὺς ἡμῖν ὅρους ἐξέθετο.
καὶ ἐν ἑνὶ πολλὰ περιειληφότας. ὡς οἷον ἡμῖν καὶ
ὅσοι καθ' ἡμᾶς διδάσκαλοι τῶν νεοτελῶν ψυχῶν
ἐγκελευόμενος ἀναπτύξαι καὶ διακρῖναι τῷ ἡμῖν
συμμέτρῳ λόγῳ τὰς συνοπτικὰς καὶ ἑνιαίας
τῆς νοερωτάτης τἀνδρὸς ἐκείνου δυνάμεως
συνελίξεις. καὶ πολλάκις ἡμᾶς καὶ αὐτὸς εἰς
τοῦτο προὐτρέψας. καὶ τήνγε βίβλον αὐτὴν, ὡς
ὑπεραίρουσαν ἀναπέσταλκας. ταύτῃ τοι καὶ
ἡμεῖς. τὸν μὲν ὡς τελείων καὶ πρεσβυτικῶν δια/
νοιῶν διδάσκαλον τοῖς ὑπὲρ τοὺς πολλοὺς ἀφο
ρίζομεν ὥσπερ τινὰ δεύτερα λόγια. καὶ τῶν θεο/
χρίστων ἀκόλουθα. τοῖς καθ' ἡμᾶς δὲ ἡμεῖς ἀναλό/
γως ἡμῖν τὰ θεῖα παραδώσομεν. εἰ γὰρ τελείων
ἐστὶν ἡ στερεὰ τροφὴ, τὸ ταύτην ἑστιᾶν ἑτέρους,

ὁπόσης ἂν εἴη τελειότητος. ὀρθῶς οὖν ἡμῖν καὶ τοῦτο
εἴρηται. τὸ τὴν μὲν αὐτοπτικὴν τῶν νοητῶν λογίων
θέαν καὶ τὴν συνοπτικὴν αὐτῶν διδασκαλίαν, πρε-
σβυτικῆς δεῖσθαι δυνάμεως. τὴν δὲ τῶν εἰς τοῦτο
φερόντων λογίων ἐπιστήμην καὶ ἐκμάθησιν τοῖς ὑφει-
μένοις καθιερωταῖς καὶ ἱερωμένοις ἁρμόζειν. καί-
τοι τοῦτο ἡμῖν ἐπιτετήρηται λίαν ἐμμελῶς, ὥστε
τοῖς αὐτῷ τῷ θείῳ καθηγεμόνι κατὰ ἔκφανσιν σα-
φῆ διευκρινημένοις. μὴ δ' ὅλως ἐγκεχειρηκέναι
πρὸς ταυτολογίαν, εἰς τὴν αὐτὴν τοῦ προτεθέντος
αὐτῷ λογίου διασάφησιν. ἐπεὶ καὶ παρ' αὐτοῖς
τοῖς θεολήπτοις ἡμῶν ἱεράρχαις. ἡνίκα καὶ ἡμεῖς
ὡς οἶσθα καὶ αὐτὸς καὶ πολλοὶ τῶν ἱερῶν ἡμῶν ἀ-
δελφῶν ἐπὶ τὴν θέαν τοῦ ζωαρχικοῦ καὶ θεοδόχου
σώματος συνεληλύθαμεν. παρῆν δὲ καὶ ὁ ἀδελφό-
θεος ἰάκωβος, καὶ πέτρος ἡ κορυφαία καὶ πρεσ-
βυτάτη τῶν θεολόγων ἀκρότης. εἶτα ἐδόκει μετὰ
τὴν θέαν ὑμνῆσαι τοὺς ἱεράρχας ἅπαντας, ὡς ἕ-
καστος ἦν ἱκανὸς τὴν ἀπειροδύναμον ἀγαθότητα
τῆς θεαρχικῆς ἀσθενείας. πάντων ἐκράτει μετὰ
τοὺς θεολόγους, ὡς οἶσθα τῶν ἄλλων ἱερομυστῶν ὅ-
λος ἐκδημῶν ὅλος ἐξιστάμενος ἑαυτοῦ. καὶ τὴν
πρὸς τὰ ὑμνούμενα κοινωνίαν πάσχων, καὶ πρὸς
πάντων ὧν ἠκούετο καὶ ἑωρᾶτο. καὶ ἐγιγνώσκετο.
καὶ οὐκ ἐγιγνώσκετο. θεόληπτος εἶναι. καὶ θεῖος
ὑμνολόγος κρινόμενος. καὶ τί ἂν τί σοι περὶ τῶν ἐκεῖ
θεολογηθέντων λέγοιμι. καὶ γὰρ εἰ μὴ καὶ ἐμαυτοῦ





ἐπιλέλησμαι. πολλάκις οἶδα παρὰ σοῦ καὶ μέ-
ρη τινὰ τῶν ἐνθεαστικῶν ἐκείνων ὑμνῳδιῶν ἐπακού-
σας, οὕτω σοὶ σπουδὴ μὴ ἐκ παρέργου τὰ θεῖα με-
ταδιώκειν.

Ἀλλ' ἵνα τὰ ἐκεῖ μυστικὰ καὶ ὡς τοῖς πολλοῖς ἄρρη-
τα, καὶ ὡς ἐγνωσμένα σοι παραλείψωμεν, ὅτε τοῖς
πολλοῖς ἐχρῆν κοινωνῆσαι καὶ ὅσους δυνατὸν ἐπὶ
τὴν καθ' ἡμᾶς ἱερογνωσίαν προσαγαγεῖν. ὅπως ὑπε-
ρεῖχεν τοὺς πολλοὺς τῶν ἱερῶν διδασκάλων, καὶ
χρόνου τριβῇ. καὶ νοῦ καθαρότητι. καὶ ἀποδείξε-
ως ἀκριβείᾳ. καὶ ταῖς λοιπαῖς ἱερολογίαις ὥστε
οὐκ ἄν ποτε πρὸς οὕτω μέγαν ἥλιον ἀντωπεῖν ἐνε-
χειρήσαμεν. οὕτω γὰρ ἡμεῖς ἑαυτῶν συνῃσθήμεθα
καὶ ἴσμεν. ὡς οὔτε ἱκανῶς νοῆσαι τὰ νοητὰ τῶν θεί-
ων χωροῦμεν, οὔτε ὡς ἄρρητα τὰ τῆς θεογνωσίας
ἐξειπεῖν καὶ φράσαι. πόρρω δ' ὄντες, ἀπολειπό-
μεθα τῆς τῶν θείων ἀνδρῶν εἰς θεολογικὴν ἀλήθει-
αν ἐπιστήμης. ὅτι πάντως ἂν εἰς τοῦτο διὰ πολλὴν
εὐλάβειαν ἐληλύθαμεν. εἰς τὸ μηδ' ὅλως ἀκούειν
ἢ λέγειν τι περὶ τῆς θείας φιλοσοφίας, εἰ μὴ κατὰ
νοῦν εἰλήφαμεν, ὡς οὐ χρὴ τῆς ἐνδεχομένης τῶν θεί-
ων γνώσεως ἀμελεῖν. καὶ τοῦτο ἡμᾶς ἔπεισαν οὐ
μόνον αἱ κατὰ φύσιν ἐφέσεις τῶν νόων. ἐρωτικῶς
ἀεὶ γλιχόμεναι τῆς ἐγχωρούσης τῶν ὑπερφυῶν
θεωρίας. ἀλλὰ καὶ αὐτὴ τῶν θείων θεσμῶν ἡ ἀρί-
στη διάταξις.

Τὰ μὲν ὑπὲρ ἡμᾶς ἀποφάσκουσα πολυπραγμονεῖν,

καὶ ὡς ὑπὲρ ἀξίαν καὶ ὡς ἀνέφικτα. πάντα δὲ ὅσα ἡμῖν ἐφίεται καὶ διδόασι μανθάνειν προσεχῶς ἐγκελευόμενοι καὶ ἑτέροις ἀγαθοειδῶς μεταδιδόναι. Τούτοις οὖν καὶ ἡμεῖς πειθόμενοι καὶ πρὸς τὴν ἐφικτὴν τῶν θείων εὕρεσιν μὴ ἀποκάμοντες, ἢ ἀποδειλιάσαντες, ἀλλὰ καὶ τοὺς μὴ δυναμένους εἰς τὰ ἡμῶν κρείττονα θεωρεῖν, ἀβοηθήτους καταλείπειν οὐ καρτεροῦντες ἐπὶ τὸ συγγράφειν ἑαυτοὺς καθήκαμεν καινὸν μὲν οὐδὲν εἰσηγεῖσθαι τολμῶντες. λεπτοτέραις δὲ καὶ ταῖς κατὰ μέρος ἕκαστον ἐξετάσεσι τὰ συνοπτικῶς εἰρημένα τῷ ὄντως ἱεροθέῳ, διακρίνοντες καὶ ἐκφαίνοντες.

## ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ ἀγαθοῦ φωτός. καλοῦ ἔρωτος ἐκστάσεως ζήλου. καὶ ὅτι τὸ κακὸν οὔτε ὄν. οὔτε ἐξ ὄντος. οὔτε ἐν τοῖς οὖσιν.

Εἶεν δὴ οὖν, ἐπ' αὐτὴν ἤδη τῷ λόγῳ τὴν ἀγαθωνυμίαν χωρῶμεν. ἣν ἐξῃρημένως οἱ θεολόγοι τῇ ὑπερθέῳ θεότητι καὶ ἀπὸ πάντων ἀφορίζουσιν, αὐτὴν ὡς οἶμαι τὴν θεαρχικὴν ὕπαρξιν ἀγαθότητα λέγοντες. καὶ ὅτι τὸ εἶναι τὸ ἀγαθὸν ὡς οὐσιῶδες ἀγαθὸν εἰς πάντα τὰ ὄντα διατείνει τὴν ἀγαθότητα. καὶ γὰρ ὡς ὁ καθ' ἡμᾶς ἥλιος, οὐ λογιζόμενος, ἢ προαιρούμενος, ἀλλ' αὐτῷ τῷ εἶναι φωτί-



ζει πάντα τὰ μετέχειν τοῦ φωτὸς αὐτοῦ κατὰ τὸν οἰκεῖον δυνάμενα λόγον, οὕτω δὴ καὶ τἀγαθόν, ὑπὲρ ἥλιον, ὡς ὑπὲρ ἀμυδρὰν εἰκόνα τὸ ἐξῃρημένως ἀρχέτυπον αὐτῇ τῇ ὑπάρξει. πᾶσι τοῖς οὖσιν ἀναλόγως ἐφίησι τὰς τῆς ὅλης ἀγαθότητος ἀκτῖνας. διὰ ταύτας ὑπέστησαν αἱ νοηταὶ καὶ νοεραὶ πᾶσαι καὶ οὐσίαι καὶ δυνάμεις καὶ ἐνέργειαι. διὰ ταύτας εἰσὶ καὶ ζωὴν ἔχουσι τὴν ἀνέκλειπτον καὶ ἀμείωτον ἀπὸ πάσης φθορᾶς καὶ θανάτου καὶ ὕλης καὶ γενέσεως καθαρεύουσαι. καὶ τῆς ἀστάτου καὶ ῥεούσης, καὶ ἄλλοτε ἄλλως φερομένης ἀλλοιώσεως ἀνῳκισμέναι. καὶ ὡς ἀσώματοι καὶ ἄϋλοι νοοῦνται. καὶ ὡς νόες ὑπερκοσμίως νοοῦσι. καὶ τοὺς τῶν ὄντων οἰκείως ἐλλάμπονται λόγους, καὶ αὖθις εἰς τὰ συγγενῆ, τὰ οἰκεῖα διαπορθμεύουσι. καὶ τὴν μονὴν ἐκ τῆς ἀγαθότητος ἔχουσι. καὶ ἵδρυσις αὐταῖς ἐκεῖθεν ἐστὶ καὶ συνοχὴ καὶ φρουρὰ καὶ ἑστία τῶν ἀγαθῶν, καὶ αὐτῆς ἐφιέμεναι καὶ τὸ εἶναι καὶ τὸ εὖ εἶναι ἔχουσι. καὶ πρὸς αὐτὴν ὡς ἐφικτὸν ἀποτυπούμεναι. Καὶ ἀγαθοειδεῖς εἰσὶ καὶ ταῖς μετ' αὐτὰς κοινωνοῦσιν ὡς ὁ θεῖος θεσμὸς ὑφηγεῖται, τῶν εἰς αὐτὰς ἐκ τἀγαθοῦ διαφοιτησάντων δώρων. ἐκεῖθεν αὐταῖς αἱ ὑπερκόσμιοι τάξεις. αἱ πρὸς ἑαυτὰς ἑνώσεις. αἱ ἐν ἀλλήλαις χωρήσεις. αἱ ἀσύγχυτοι διακρίσεις. αἱ πρὸς τὰς κρείττους ἀναγωγικαὶ τῶν ὑφειμένων δυνάμεις αἱ περὶ τὰ δεύτερα προνοίαι τῶν πρεσβυτέρων. αἱ τῶν οἰκείων ἑκάστης δυνάμεων

φρουραί· καὶ περὶ αὐτὰς ἀμετάπτωτοι συνελίξεις· αἱ περὶ τὴν ἔφεσιν τἀγαθοῦ ταυτότητες καὶ ἀκρότητες· καὶ ὅσα ἄλλα εἴρηται πρὸς ἡμῶν ἐν τῷ περὶ τῶν ἀγγελικῶν ἰδιοτήτων καὶ τάξεων. ἀλλὰ καὶ ὅσα τῆς οὐρανίας ἱεραρχίας ἐστίν· αἱ ἀγγελοπρεπεῖς καθάρσεις· αἱ ὑπερκόσμιοι φωταγωγίαι· καὶ τὰ τελεσιουργὰ τῆς ὅλης ἀγγελικῆς τελειότητος· ἐκ τῆς παναιτίου καὶ πηγαίας ἐστὶν ἀγαθότητος· ἐξ ἧς καὶ τὸ ἀγαθοειδὲς αὐταῖς ἐδωρήθη· καὶ τὸ ἐκφαίνειν ἐν ἑαυταῖς τὴν κρυφίαν ἀγαθότητα καὶ εἶναι ἀγγέλοις ὥσπερ ἐξαγγελτικὰς τῆς θείας σιγῆς· καὶ οἷον φῶτα φανὰ τοῦ ἐν ἀδύτοις ὄντος ἑρμηνευτικὰ προβεβλημένας.

Ἀλλὰ καὶ μετ' ἐκείνους τοὺς ἱεροὺς καὶ ἁγίους νόας, αἱ ψυχαί, καὶ ὅσα ψυχῶν ἀγαθά, διὰ τὴν ὑπεράγαθόν ἐστιν ἀγαθότητα· τὸ νοερὰς αὐτὰς εἶναι· τὸ ἔχειν τὴν οὐσιώδη ζωὴν ἀνώλεθρον· αὐτὸ τὸ εἶναι καὶ δύνασθαι πρὸς τὰς ἀγγελικὰς ἀνατεινομένας ζωάς· δι' αὐτῶν ὡς ἀγαθῶν καθηγεμόνων· ἐπὶ τὴν πάντων ἀγαθῶν ἀγαθαρχίαν ἀνάγεσθαι καὶ τῶν ἐκεῖθεν ἐκβλυζομένων ἐλλάμψεων ἐν μετουσίᾳ γίνεσθαι κατὰ τὴν σφῶν ἀναλογίαν· καὶ τῆς τοῦ ἀγαθοειδοῦς δωρεᾶς ὅση δύναμις μετέχειν· καὶ ὅσα ἄλλα πρὸς ἡμῶν ἐν τοῖς περὶ ψυχῆς ἀπηρίθμηται.

Ἀλλὰ καὶ περὶ αὐτῶν εἰ χρὴ φάναι τῶν ἀλόγων ψυχῶν, ἢ ζώων ὅσα τὸν ἀέρα τέμνει, καὶ ὅσα ἐπὶ τῆς γῆς βαίνει, καὶ εἰς γῆν ὅσα ἐκπέπαται· καὶ τὰ ἐν



ὕδασι τὴν ζωήν, ἢ ἀμφιβίως λαχόντα· καὶ ὅσα ὑπὸ γῆς ἐγκεκαλυμμένα ζῇ καὶ ἐγκεχωσμένα καὶ ἁπλῶς ὅσα τὴν αἰσθητικὴν ἔχει ψυχήν, ἢ ζωήν, καὶ ταῦτα πάντα διὰ τἀγαθὸν ἐμψυχοῦται καὶ ἐζώωται. Καὶ φυτὰ δὲ πάντα τὴν θρεπτικὴν καὶ κινητικὴν ἔχει ζωήν, ἐκ τἀγαθοῦ· καὶ ὅση ἄψυχος καὶ ἄζωος οὐσία διὰ τἀγαθόν ἐστιν, καὶ δι' αὐτὸ τῆς οὐσιώδους ἕξεως ἔλαχεν.

Εἰ δὲ καὶ ὑπὲρ πάντα τὰ ὄντα ἐστίν· ὥσπερ οὖν ἐστι τἀγαθόν, καὶ τὸ ἀνείδεον εἰδοποιεῖ, καὶ ἐν αὐτῷ μόνῳ, καὶ τὸ ἀνούσιον οὐσίας ὑπερβολή· καὶ τὸ ἄζωον ὑπερέχουσα ζωή· καὶ τὸ ἄνουν ὑπεραίρουσα σοφία, καὶ ὅσα ἐν τἀγαθῷ τῆς τῶν ἀνειδέων ἐστὶν ὑπεροχικῆς εἰδοποιΐας.

Καὶ εἰ θέμιστον φάναι, τἀγαθοῦ τοῦ ὑπὲρ πάντα τὰ ὄντα, καὶ αὐτὸ τὸ μὴ ὂν ἐφίεται, καὶ φιλονεικεῖ πως ἐν τἀγαθῷ καὶ αὐτὸ εἶναι τῷ ὄντως ὑπερουσίῳ, κατὰ τὴν πάντων ἀφαίρεσιν.

Ἀλλ' ὅπερ ἡμᾶς ἐν μέσῳ παραδραμὸν διαπέφευγε, καὶ τῶν οὐρανίων ἀρχῶν καὶ ἀποπερατώσεων αἴτια, τἀγαθόν, τῆς ἀναυξοῦς καὶ ἀμειώτου, καὶ ὅλως ἀναλλοιώτου ταύτης οὐσίας· καὶ τῶν ἀψόφων εἰ οὕτω χρὴ φάναι τῆς παμμεγέθους οὐρανοπορίας κινήσεων· καὶ τῶν ἀστρῴων τάξεων καὶ εὐπρεπειῶν, καὶ φώτων, καὶ ἱδρύσεων καὶ τῆς ἐνίων ἄστρων μεταβατικῆς πολυκινησίας· καὶ τῆς τῶν δύο φωστήρων οὓς τὰ λόγια καλεῖ μεγάλους, ἀπὸ

τῶν αὐτῶν εἰς τὰ αὐτὰ περιοδικῆς ἀποκαταστάσεως· καθ᾽ ἅς, αἱ παρ᾽ ἡμῖν ἡμέραι καὶ νύκτες ὁριζόμεναι, καὶ μῆνες καὶ ἐνιαυτοὶ μετρούμενοι. τὰς τοῦ χρόνου καὶ τῶν ἐν χρόνῳ κυκλικὰς κινήσεις ἀφορίζουσι καὶ ἀριθμοῦσι· καὶ τάττουσι καὶ συνέχουσι τί ἄν τις φαίη· περὶ αὐτῆς καθ᾽ αὐτὴν τῆς ἡλιακῆς ἀκτῖνος· ἐκ τἀγαθοῦ γὰρ τὸ φῶς· καὶ εἰκὼν τῆς ἀγαθότητος. διὸ καὶ φωτωνυμικῶς ὑμνεῖται τἀγαθόν, ὡς ἐν εἰκόνι τὸ ἀρχέτυπον ἐκφαινόμενον. ὥσπερ γὰρ ἡ τῆς πάντων ἐπέκεινα θεότητος ἀγαθότης· ἀπὸ τῶν ἀνωτάτων καὶ πρεσβυτάτων οὐσιῶν· ἄχρι τῶν ἐσχάτων διήκει· καὶ ἔτι ὑπὲρ πάσας ἐστί· μήτε τῶν ἀνωφθανουσῶν αὐτῆς τὴν ὑπεροχὴν μήτε τῶν κάτω τὴν περιοχήν, διαβαινουσῶν· ἀλλὰ καὶ φωτίζει τὰ δυνάμενα πάντα καὶ δημιουργεῖ, καὶ ζωοῖ· καὶ συνέχει· καὶ τελεσιουργεῖ, καὶ μέτρον ἐστὶ τῶν ὄντων, καὶ αἰὼν καὶ ἀριθμός, καὶ τάξις, καὶ περιοχή, καὶ αἰτία, καὶ τέλος. οὕτω δὴ καὶ ἡ τῆς θείας ἀγαθότητος ἐμφανὴς εἰκὼν ὁ μέγας οὗτος καὶ ὁλολαμπὴς καὶ ἀειφώτος ἥλιος· κατὰ πολλοστὸν ἀπήχημα τἀγαθοῦ, καὶ πάντα ὅσα μετέχειν αὐτοῦ δύναται φωτίζει· καὶ ὑπερηπλωμένον ἔχει τὸ φῶς εἰς πάντα ἐξαπλῶν τὸν ὁρατὸν κόσμον ἄνω τε καὶ κάτω· τὰς τῶν οἰκείων ἀκτῖνας αὐγάς· καὶ εἴ τι μὴ τῶν οὐ μετέχει, τοῦτο οὐ τῆς ἀδρανείας, ἢ τῆς βραχύτητός ἐστι τῆς φωτιστικῆς αὐτοῦ διαδόσεως· ἀλλὰ τῶν διὰ φωτοληψίας ἀνεπιτηδειότητα μὴ ἀναπλουμένων εἰς τὴν φωτὸς μετουσίαν.



A ἀμέλει πολλὰ τῶν οὕτως ἐχόντων ἡ ἀκτὶς διαβαίνουσα τὰ μετ᾽ ἐκεῖνα φωτίζει· καὶ οὐδέν ἐστι τῶν ὁρατῶν οὗ μὴ ἐφικνεῖται κατὰ τὸ τῆς οἰκείας αἴγλης ὑπερβάλλον μέγεθος.

A ἀλλὰ καὶ πρὸς τὴν γένεσιν τῶν αἰσθητῶν σωμάτων συμβάλλεται· καὶ πρὸς ζωὴν αὐτὰ κινεῖ καὶ τρέφει, καὶ αὔξει, καὶ τελειοῖ καὶ καθαίρει, καὶ ἀνανεοῖ· καὶ μέτρον ἐστὶ καὶ ἀριθμὸς ὡρῶν ἡμερῶν, καὶ παντὸς τοῦ καθ᾽ ἡμᾶς χρόνου τὸ φῶς αὐτὸ γάρ ἐστι τὸ φῶς, εἰ καὶ τότε ἀσχημάτιστον ἦν· ὅπερ ὁ θεῖος ἔφη μωσῆς καὶ αὐτὴν ἐκείνην τὴν πρώτην ὁρίσαι τῶν καθ᾽ ἡμᾶς ἡμερῶν τριάδα· καὶ ὥσπερ πάντα πρὸς ἑαυτὴν ἡ ἀγαθότης ἐπιστρέφει, καὶ ἀρχισυναγωγός ἐστι τῶν ἐσκεδασμένων· ὡς ἐναρχικὴ καὶ ἑνοποιὸς θεότης· καὶ πάντα αὐτῆς ὡς ἀρχῆς, ὡς συνοχῆς· ὡς τέλους ἐφίεται· καὶ τἀγαθόν ἐστιν ὡς τὰ λόγιά φησιν· ἐξ οὗ τὰ πάντα ὑπέστη καὶ ἔστιν ὡς ἐξ αἰτίας παντελοῦς παρηγμένα· καὶ ἐν ᾧ τὰ πάντα συνέστηκεν, ὡς ἐν παντοκρατορικῷ πυθμένι φρουρούμενα καὶ διακρατούμενα, καὶ εἰς ὃ πάντα ἐπιστρέφεται· καθάπερ εἰς οἰκεῖον ἕκαστα πέρας καὶ οὗ ἐφίεται πάντα· τὰ μὲν νοερὰ καὶ λογικὰ· γνωστικῶς· τὰ δὲ αἰσθητικῶς· τὰ δὲ αἰσθήσεως ἄμοιρα· τῇ ἐμφύτῳ κινήσει τῆς ζωτικῆς ἐφέσεως· τὰ δὲ ἄζωα καὶ μόνον ὄντα τῇ πρὸς μόνην τὴν οὐσιώδη

μέθεξιν αὐτοῦ ὁμοιότητι κατὰ τὸν αὐτὸν τῆς ἐμφανοῦς εἰκόνος λόγον. καὶ τὸ φῶς συνάγει καὶ ἐπιστρέφει πρὸς ἑαυτὸ πάντα τὰ ὁρῶντα. τὰ κινούμενα. τὰ φωτιζόμενα. τὰ θερμαινόμενα. τὰ ὅλως ὑπὸ τῶν αὐτοῦ μαρμαρυγῶν συνεχόμενα. διὸ καὶ ἥλιος, ὅτι πάντα ἀολλῆ ποιεῖ. καὶ συνάγει τὰ διεσκεδασμένα. καὶ πάντα αὐτοῦ τὰ αἰσθητὰ ἐφίεται. ἢ ὡς τοῦ ὁρᾶν, ἢ ὡς τοῦ κινεῖσθαι καὶ φωτίζεσθαι. καὶ θερμαίνεσθαι. καὶ ὅλως συνέχεσθαι πρὸς τοῦ φωτὸς ἐφιέμενα. καὶ οὐ δήπου φημὶ κατὰ τὸν τῆς παλαιότητος λόγον.

Ὅτι θεὸς ὢν ὁ ἥλιος καὶ δημιουργὸς τοῦδε τοῦ παντὸς ἰδίως ἐπιτροπεύει τὸν ἐμφανῆ κόσμον. ἀλλ' ὅτι τὰ ἀόρατα τοῦ θεοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης.

Ἀλλὰ ταῦτα μὲν ἐν τῇ συμβολικῇ θεολογίᾳ. νῦν δὲ τὴν νοητὴν τἀγαθοῦ φωτωνυμίαν ὑμνητέον, καὶ ῥητέον. ὅτι φῶς νοητὸν ὁ ἀγαθὸς λέγεται διὰ τὸ πάντα μὲν ὑπερουράνιον νοῦν ἐμπιπλᾶν νοητοῦ φωτός. πάσας δὲ ἀγνοίας καὶ πλάνας ἐλαύνειν ἐκ πασῶν, αἷς ἂν ἐγγένηται ψυχαῖς. καὶ πάσαις αὐταῖς φωτὸς ἱεροῦ μεταδιδόναι. καὶ τοὺς νοεροὺς αὐτῶν ὀφθαλμοὺς, ἀποκαθαίρειν τῆς περικειμένης αὐταῖς ἐκ τῆς ἀγνοίας ἀχλύος, καὶ ἀνακινεῖν καὶ ἀναπτύσσειν τῷ πολλῷ βάρει τοῦ σκότους συμμεμυκότα. καὶ μεταδιδόναι πρῶτα μὲν



αἴγλης μετρίας, εἶτα ἐκείνων ὥσπερ ἀπογευομένων φωτός. καὶ μᾶλλον ἐφιεμένων μᾶλλον ἑαυτὴν ἐνδιδόναι, καὶ πλουσίως ἐπιλάμπειν, ὅτι ἠγάπησαν πολύ. καὶ ἀεὶ ἀνατείνειν αὐτὰς ἐπὶ τὰ πρόσω κατὰ τὴν σφῶν εἰς ἀνάβλεψιν ἀναλογίαν.

Φῶς οὖν νοητὸν λέγεται τὸ ὑπὲρ πᾶν φῶς, ἀγαθὸν ὡς ἀκτὶς πηγαία καὶ ὑπερβλύζουσα φωτοχυσία. πάντα τὸν ὑπερκόσμιον καὶ περικόσμιον, καὶ ἐγκόσμιον νοῦν. ἐκ τοῦ πληρώματος αὐτῆς καταλάμπουσα. καὶ τὰς νοερὰς αὐτῶν ὅλας ἀνανεάζουσα δυνάμεις, καὶ πάντας περιέχουσα, τῷ ὑπερτετάσθαι. καὶ πάντων ὑπερέχουσα, τῷ ὑπερκεῖσθαι. καὶ ἁπλῶς πᾶσαν τῆς φωτιστικῆς δυνάμεως τὴν κυρίαν. ὡς ἀρχίφωτος καὶ ὑπέρφωτος ἐν ἑαυτῇ συλλαβοῦσα. καὶ ὑπερέχουσα, καὶ προέχουσα, καὶ τὰ νοερὰ καὶ λογικὰ πάντα συνάγουσα. καὶ ἀολλῆ ποιοῦσα. καὶ γὰρ ὥσπερ ἡ ἄγνοια διαιρετικὴ τῶν πεπλανημένων ἐστὶν, οὕτως ἡ τοῦ νοητοῦ φωτὸς παρουσία. συναγωγὸς καὶ ἑνωτικὴ τῶν φωτιζομένων ἐστί. καὶ τελειωτικὴ. καὶ ἐπιστρεπτικὴ. πρὸς τὸ ὄντως ὄν. ἀπὸ τῶν πολλῶν δοξασμάτων ἐπιστρέφουσα. καὶ τὰς ποικίλας ὄψεις, ἢ κυριώτερον εἰπεῖν φαντασίας. εἰς μίαν ἀληθῆ καὶ καθαρὰν, καὶ μονοειδῆ συνάγουσα γνῶσιν. καὶ ἑνωτικοῦ καὶ ἑνὸς φωτὸς ἐμπιμπλῶσα.

Τοῦτο τἀγαθὸν ὑμνεῖται πρὸς τῶν ἱερῶν θεολόγων, καὶ ὡς καλὸν, καὶ ὡς κάλλος. καὶ ὡς ἀγα-

πη· καὶ ὡς ἀγαπητόν· καὶ ὅσαι ἄλλαι διαπρεπεῖς
εἰσι τῆς καλλοποιοῦ καὶ κεχαριτωμένης ὡραιότη-
τος θεωνυμίαι·

Τὸ δὲ καλὸν καὶ κάλλος, οὐ διαιρετέον ἐπὶ τῆς ἐν ἑνὶ
τὰ ὅλα συνειληφυίας αἰτίας· ταῦτα γὰρ ἐπὶ μὲν τῶν
ὄντων ἁπάντων, εἰς μετοχὰς καὶ μετέχοντα διαι-
ροῦντες· καλὸν μὲν εἶναι λέγομεν, τὸ κάλλους με-
τέχον· κάλλος δὲ τὴν μετοχὴν τῆς καλλοποιοῦ
τῶν ὅλων καλῶν αἰτίας·

Τὸ δὲ ὑπερούσιον καλόν· κάλλος μὲν λέγεται διὰ
τὴν ἀπ' αὐτοῦ πᾶσι τοῖς οὖσι μεταδιδομένην οἰκεί-
ως ἑκάστῳ καλλονήν· καὶ ὡς τῆς πάντων εὐαρμο-
στίας καὶ ἀγλαΐας αἴτιον· δίκην φωτὸς ἐναστρά-
πτον ἅπασι τὰς καλλοποιοὺς τῆς πηγαίας ἀκτῖ-
νος αὐτοῦ μεταδόσεις· καὶ ὡς πάντα πρὸς ἑαυτὸ
καλοῦν· ὅθεν καὶ κάλλος λέγεται καὶ ὅλα ἐν ὅλοις
εἰς αὐτὸ συνάγον·

Καλὸν δὲ ὡς πάγκαλον ἅμα καὶ ὑπέρκαλον, καὶ
ἀεὶ ὄν· κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως καλόν, καὶ οὔτε
γιγνόμενον, οὔτε ἀπολλύμενον, οὔτε αὐξανόμε-
νον, οὔτε φθεῖνον· οὐδὲ τῇ μὲν καλόν, τῇ δὲ αἰσχρόν·
οὐδὲ τότε μὲν τότε δὲ οὔ· οὐδὲ πρὸς μὲν τὸ καλόν·
πρὸς δὲ τὸ αἰσχρόν· οὐδὲ ἔνθα μέν, ἔνθα δὲ οὔ· ὥς τισὶ
μὲν ὂν καλόν, τισὶ δὲ οὐ καλόν· ἀλλ' ὡς αὐτὸ καθ' ἑαυ-
τό, μεθ' ἑαυτοῦ μονοειδὲς ἀεὶ ὂν καλόν· καὶ ὡς παν-
τὸς καλοῦ τὴν πηγαίαν καλλονὴν ὑπεροχικῶς ἐν
ἑαυτῷ προέχον· τῇ γὰρ ἁπλῇ καὶ ὑπερφυεῖ τῶν



ὅλων καλῶν φύσει· πᾶσα καλλονὴ καὶ πᾶν κα-
λόν, ἑνοειδῶς κατ' αἰτίαν προϋφέστηκεν· ἐκ τοῦ κα-
λοῦ τούτου πᾶσι τοῖς οὖσι τὸ εἶναι κατὰ τὸν οἰκεῖ-
ον λόγον ἕκαστα καλά, καὶ διὰ τὸ καλὸν αἱ πάν-
των ἐφαρμογαὶ καὶ φιλίαι καὶ κοινωνίαι καὶ τῷ κα-
λῷ τὰ πάντα ἥνωται· καὶ ἀρχὴ πάντων τὸ καλόν,
ὡς ποιητικὸν αἴτιον, καὶ κινοῦν τὰ ὅλα καὶ συνέχον
τῷ τῆς οἰκείας καλλονῆς ἔρωτι, καὶ πέρας πάντων
καὶ ἀγαπητόν, ὡς τελικὸν αἴτιον·

Τοῦ καλοῦ γὰρ ἕνεκα πάντα γίγνεται· καὶ παρα-
δειγματικὸν ὅτι κατ' αὐτὸ πάντα ἀφορίζεται· διὸ
καὶ ταὐτόν ἐστι τἀγαθῷ τὸ καλόν· ὅτι τοῦ καλοῦ
καὶ ἀγαθοῦ κατὰ πᾶσαν αἰτίαν πάντα ἐφίεται· καὶ
οὐκ ἔστι τι τῶν ὄντων ὃ μὴ μετέχει τοῦ καλοῦ καὶ ἀγαθοῦ·

Τολμήσει δὲ καὶ τοῦτο εἰπεῖν ὁ λόγος, ὅτι καὶ τὸ μὴ
ὂν μετέχει τοῦ καλοῦ καὶ ἀγαθοῦ· τότε γὰρ καὶ
αὐτὸ καλὸν καὶ ἀγαθόν· ὅταν ἐν θεῷ κατὰ τὴν πάν-
των ἀφαίρεσιν ὑπερουσίως ὕμνηται·

Τοῦτο δὲ τὸ ἓν ἀγαθὸν καὶ καλὸν ἑνικῶς ἐστι πάντων
τῶν πολλῶν καλῶν καὶ ἀγαθῶν αἴτιον·

Ἐκ τούτου πᾶσαι τῶν ὄντων αἱ οὐσιώδεις ὑπάρξεις·
αἱ ἑνώσεις· αἱ διακρίσεις· αἱ ταυτότητες· αἱ ἑτερό-
τητες· αἱ κοινωνίαι τῶν ἐναντίων· αἱ ἀσυμμιξίαι τῶν
ἡνωμένων· αἱ πρόνοιαι τῶν ὑπερτέρων· αἱ ἀλληλου-
χίαι τῶν ὁμοστοίχων· αἱ ἐπιστροφαὶ τῶν καταδεεστέρων
αἱ πάντων ἑαυτῶν φρουρητικαὶ καὶ ἀμετακίνητοι μοναὶ
καὶ ἱδρύσεις, καὶ αὖθις αἱ ἁπάντων ἐν πᾶσιν οἰκείως

ἑκάστῳ κοινωνίαι καὶ ἐφαρμογαὶ καὶ ἀσύγχυτοι φιλίαι καὶ ἁρμονίαι τοῦ παντός· αἱ ἐν τῷ παντὶ συγκράσεις καὶ αἱ ἀδιάλυτοι συνοχαὶ τῶν ὄντων, καὶ αἱ ἀνέκλειπτοι διαδοχαὶ τῶν γινομένων· αἱ στάσεις πᾶσαι, καὶ αἱ κινήσεις· αἱ τῶν νοῶν· αἱ τῶν ψυχῶν· αἱ τῶν σωμάτων· στάσις γάρ ἐστι πᾶσι καὶ κίνησις· τὸ ὑπὲρ πᾶσαν στάσιν καὶ πᾶσαν κίνησιν ἐνιδρῦον ἕκαστον ἐν τῷ ἑαυτοῦ λόγῳ, καὶ κινοῦν ἐπὶ τὴν οἰκείαν κίνησιν· καὶ κινεῖσθαι μὲν λέγονται οἱ θεῖοι νόες· κυκλικῶς μὲν ἑνούμενοι ταῖς ἀνάρχοις καὶ ἀτελευτήτοις ἐλλάμψεσι τοῦ καλοῦ καὶ ἀγαθοῦ· κατ' εὐθεῖαν δὲ ὁπόταν προΐασιν εἰς τὴν τῶν ὑφειμένων πρόνοιαν· εὐθείᾳ τὰ πάντα περαίνοντες· ἑλικοειδῶς δὲ ὅτι καὶ προνοοῦντες τῶν καταδεεστέρων· ἀνεκφοιτήτως μένουσιν ἐν ταὐτότητι· περὶ τὸ τῆς ταὐτότητος αἴτιον καλὸν καὶ ἀγαθὸν ἀκαταλήκτως περιχορεύοντες· ψυχῆς δὲ κίνησίς ἐστι· κυκλικὴ μὲν ἡ εἰς ἑαυτὴν εἴσοδος ἀπὸ τῶν ἔξω καὶ τῶν νοερῶν ἑαυτῆς δυνάμεων ἡ ἑνοειδὴς συνέλιξις· ὥσπερ ἔν τινι κύκλῳ τὸ ἀπλανὲς αὐτῇ δωρουμένη· καὶ ἀπὸ τῶν πολλῶν τῶν ἔξωθεν ἑαυτὴν ἐπιστρέφουσα καὶ συνάγουσα πρῶτον εἰς ἑαυτήν· εἶτα ὡς ἑνοειδῆ γενομένην· ἑνοῦσα ταῖς ἑνιαίως ἡνωμέναις δυνάμεσι· καὶ οὕτως ἐπὶ τὸ καλὸν καὶ ἀγαθὸν χειραγωγοῦσα· τὸ ὑπὲρ πάντα τὰ ὄντα· καὶ ἓν καὶ ταὐτὸν καὶ ἄναρχον καὶ ἀτελεύτητον· ἑλικοειδῶς δὲ ψυχὴ κινεῖται· καθ' ὅσον οἰκείως ἑαυ-



τῇ τὰς θείας ἐλλάμπεται γνώσεις· οὐ νοερῶς καὶ μονίμως, ἀλλὰ λογικῶς καὶ διεξοδικῶς· οἷον συμμίκτοις καὶ μεταβατικαῖς ἐνεργείαις·

Τὴν κατ' εὐθεῖαν δὲ ὅταν οὐκ εἰς ἑαυτὴν εἰσιοῦσα καὶ ἑνικῇ νοερότητι κινουμένη· τοῦτο γὰρ ὡς ἔφην ἐστὶ τὸ κατὰ κύκλον· ἀλλὰ πρὸς τὰ περὶ ἑαυτὴν προϊοῦσα· καὶ ἀπὸ τῶν ἔξωθεν· ὥσπερ ἀπό τινων συμβόλων πεποικιλμένων καὶ πεπληθυσμένων· ἐπὶ τὰς ἁπλᾶς καὶ ἡνωμένας ἀνάγεται θεωρίας·

Τούτων οὖν καὶ τῶν αἰσθητῶν· ἐν τῷδε τῷ παντὶ τριῶν κινήσεων καὶ πολλῷ πρότερον ἑκάστου μονῶν καὶ στάσεων, καὶ ἱδρύσεών ἐστι καὶ συνοχικόν, καὶ πέρας τὸ καλὸν καὶ ἀγαθόν· τὸ ὑπὲρ πᾶσαν στάσιν καὶ κίνησιν·

Δι' ὃ πᾶσα στάσις καὶ κίνησις, καὶ ἐξ οὗ, καὶ ἐν ᾧ, καὶ εἰς ὅ, καὶ οὗ ἕνεκα· καὶ γὰρ ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ, καὶ οὐσία καὶ ζωὴ πᾶσα· καὶ νοῦ καὶ ψυχῆς, καὶ πάσης φύσεως· αἱ σμικρότητες· αἱ ἰσότητες· αἱ μεγαλειότητες· τὰ μέτρα πάντα· καὶ αἱ τῶν ὄντων ἀναλογίαι καὶ ἁρμονίαι καὶ κράσεις· αἱ ὁλότητες· τὰ μέρη· πᾶν ἓν καὶ πλῆθος· αἱ συνδέσεις τῶν μερῶν· αἱ παντὸς πλήθους ἑνώσεις· αἱ τελειότητες τῶν ὁλοτήτων· τὸ ποιόν· τὸ ποσόν· τὸ πηλίκον· τὸ ἄπειρον· αἱ συγκρίσεις· αἱ διακρίσεις· πᾶσα ἀπειρία· πᾶν πέρας· οἱ ὅροι πάντες· αἱ τάξεις· αἱ ὑπεροχαί· τὰ στοιχεῖα· τὰ εἴδη· πᾶσα οὐσία· πᾶσα δύναμις· πᾶσα ἐνέργεια· πᾶσα ἕξις· πᾶσα αἴ-

θησις, πᾶς λόγος, πᾶσα νόησις, πᾶσα ἐπαφή, πᾶσα ἐπιστήμη, πᾶσα ἕνωσις, καὶ ἁπλῶς πᾶν τὸ ὂν ἐκ τοῦ καλοῦ καὶ ἀγαθοῦ, καὶ ἐν τῷ καλῷ καὶ ἀγαθῷ ἐστιν. καὶ εἰς τὸ καλὸν καὶ ἀγαθὸν ἐπιστρέφεται. καὶ πάντα ὅσα ἐστὶ καὶ γίνεται διὰ τὸ καλὸν καὶ ἀγαθόν ἐστι καὶ γίνεται. καὶ πρὸς αὐτὸ πάντα ὁρᾷ, καὶ ὑπ' αὐτοῦ κινεῖται καὶ συνέχεται. καὶ αὐτοῦ ἕνεκα. καὶ δι' αὐτὸ καὶ ἐν αὐτῷ πᾶσα ἀρχὴ παραδειγματική, τελική, ποιητική, εἰδική, στοιχειώδης, καὶ ἁπλῶς πᾶσα ἀρχή, πᾶσα συνοχή, πᾶν πέρας. ἢ ἵνα συλλαβὼν εἴπω, πάντα τὰ ὄντα ἐκ τοῦ καλοῦ καὶ ἀγαθοῦ, καὶ πάντα τὰ οὐκ ὄντα ὑπερουσίως ἐν τῷ καλῷ καὶ ἀγαθῷ, καὶ ἔστι πάντων ἀρχή, καὶ πέρας ὑπεράρχιον καὶ ὑπερτελές. ὅτι ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ ἐν αὐτῷ καὶ εἰς αὐτὸν τὰ πάντα, ὥς φησιν ὁ ἱερὸς λόγος. πᾶσιν οὖν ἐστι τὸ καλὸν καὶ ἀγαθὸν ἐφετὸν καὶ ἐραστόν, καὶ ἀγαπητόν. καὶ δι' αὐτὸ καὶ αὐτοῦ ἕνεκα, καὶ τὰ ἥττω τῶν κρειττόνων ἐπιστρεπτικῶς ἐρῶσι, καὶ κοινωνικῶς τὰ ὁμόστοιχα τῶν ὁμοταγῶν, καὶ τὰ κρείττω τῶν ἡττόνων προνοητικῶς, καὶ αὐτὰ ἑαυτῶν ἕκαστα συνεκτικῶς, καὶ πάντα τοῦ καλοῦ καὶ ἀγαθοῦ ἐφιέμενα ποιεῖ καὶ βούλεται πάντα ὅσα ποιεῖ καὶ βούλεται. παρρησιάσεται δὲ καὶ τοῦτο εἰπεῖν ὁ ἀληθὴς λόγος. ὅτι καὶ αὐτὸς ὁ πάντων αἴτιος, δι' ἀγαθότητος ὑπερβολὴν πάντων ἐρᾷ. πάντα ποιεῖ, πάντα τελειοῖ, πάντα συνέχει, πάντα ἐπιστρέφει. καὶ ἔστιν ὁ θεῖος



ἔρως ἀγαθὸς ἀγαθοῦ καὶ διὰ τὸ ἀγαθόν. αὐτὸς γὰρ ὁ ἀγαθοεργὸς τῶν ὄντων ἔρως, ἐν τἀγαθῷ καθ' ὑπερβολὴν προϋπάρχων, οὐκ εἴασεν αὐτὸν ἄγονον ἐν ἑαυτῷ μένειν. ἐκίνησε δὲ αὐτὸν εἰς τὸ πρακτικεύεσθαι κατὰ τὴν πάντων γεννητικὴν ὑπερβολήν.

Καὶ μή τις ἡμᾶς οἰέσθω παρὰ τὰ λόγια τὴν τοῦ ἔρωτος ἐπωνυμίαν πρεσβεύειν. ἔστι μὲν γὰρ ἄλογον ὡς οἶμαι καὶ σκαιόν, τὸ μὴ τῇ δυνάμει τοῦ σκοποῦ προσέχειν. ἀλλὰ ταῖς λέξεσι. καὶ τοῦτο οὐκ ἔστι τῶν τὰ θεῖα νοεῖν ἐθελόντων ἴδιον. ἀλλὰ τῶν ἤχους ψιλοὺς εἰσδεχομένων. καὶ τούτους ἄχρι τῶν ὤτων ἀδιαβάτους, ἔξωθεν συνεχόντων, καὶ οὐκ ἐθελόντων εἰδέναι. τί μὲν ἡ τοιάδε λέξις σημαίνει. πῶς δὲ αὐτὴν χρὴ καὶ δι' ἑτέρων ὁμοδυνάμων καὶ ἐκφαντορικωτέρων λέξεων διασαφῆσαι. προσεχόντων δὲ στοιχείοις καὶ γραμμαῖς ἀνοήτοις καὶ συλλαβαῖς καὶ λέξεσιν ἀγνώστοις μὴ διαβαινούσαις. εἰς τὸ τῆς ψυχῆς αὐτῶν νοερόν, ἀλλ' ἔξω περὶ τὰ χείλη καὶ τὰς ἀκοὰς αὐτῶν διαβομβουμέναις. ὥσπερ οὐκ ἐξὸν τὸν τέσσαρα ἀριθμὸν διὰ τῶν δὶς δύο σημαίνειν, ἢ τὰ εὐθύγραμμα διὰ τῶν ὀρθογράμμων, ἢ τὴν μητρίδα διὰ τῆς πατρίδος. ἢ ἕτερόν τι τῶν πολλοῖς τοῦ λόγου μέρεσι ταὐτὸ σημαινόντων.

Δέον εἰδέναι κατὰ τὸν ὀρθὸν λόγον, ὅτι στοιχείοις καὶ συλλαβαῖς καὶ λέξεσι καὶ γραφαῖς καὶ λόγοις χρώμεθα διὰ τὰς αἰσθήσεις. ὡς ὅταν ἡμῶν ἡ ψυχὴ ταῖς νοεραῖς ἐνεργείαις ἐπὶ τὰ νοητὰ κινεῖται, περιτταὶ μετὰ τῶν αἰσθητῶν αἱ αἰσθήσεις. ὥσπερ καὶ αἱ νοεραὶ δυνάμεις,

ὅταν ἡ ψυχὴ θεοειδὴς γενομένη, δι' ἑνώσεως ἀγνώστου ταῖς τοῦ ἀπροσίτου φωτὸς ἀκτῖσιν ἐπιβάλλῃ ταῖς ἀνομμάτοις ἐπιβολαῖς. ὅταν δὲ ὁ νοῦς διὰ τῶν αἰσθητῶν ἀνακινεῖσθαι σπεύδῃ πρὸς θεωρητικὰς νοήσεις, τιμιώτεραι πάντων ἐστὶν αἱ ἐπιδηλότεραι τῶν αἰσθήσεων διατυπώσεις· οἱ σαφέστεροι λόγοι· τὰ τρανέστερα τῶν ὁρατῶν· ὡς ὅταν ἀτράνωτα ᾖ τὰ παρακείμενα ταῖς αἰσθήσεσιν, οὐδὲ αὐταὶ τῷ νῷ παραστῆσαι τὰ αἰσθητὰ καλῶς δυνήσονται. πλὴν ἵνα μὴ ταῦτα λέγειν δοκῶμεν ὡς τὰ θεῖα λόγια παρακινοῦντες, ἀκουέτωσαν αὐτῶν. οἱ τὴν ἔρωτος ἐπωνυμίαν διαβάλλοντες· ἐράσθητι αὐτῆς φησι, καὶ τηρήσει σε· περιχαράκωσον αὐτὴν καὶ ὑψώσει σε· τίμησον αὐτὴν ἵνα σε περιλάβῃ· καὶ ὅσα ἄλλα κατὰ τὰς ἐρωτικὰς θεολογίας ὑμνεῖται.

Καίτοι ἔδοξέ τισι τῶν καθ' ἡμᾶς ἱερολόγων, καὶ θειότερον εἶναι τὸ τοῦ ἔρωτος ὄνομα τοῦ τῆς ἀγάπης. γράφει δὲ καὶ ὁ θεῖος Ἰγνάτιος· ὁ ἐμὸς ἔρως ἐσταύρωται. καὶ ἐν ταῖς προεισαγωγαῖς τῶν λογίων εὑρήσεις τινὰ λέγοντα περὶ τῆς θείας σοφίας, ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς.

Ὥστε τοῦτο δὴ τὸ τοῦ ἔρωτος ὄνομα μὴ φωβιθῶμεν, μηδέ τις ἡμᾶς θορυβείτω λόγος περὶ τούτου δεδιττόμενος. ἐμοὶ γὰρ δοκοῦσιν οἱ θεολόγοι. κοινὸν μὲν ἡγεῖσθαι τὸ τῆς ἀγάπης καὶ τοῦ ἔρωτος ὄνομα. διὰ τοῦτο δὲ τοῖς θεολόγοις μᾶλλον ἀναθεῖναι τὸν ὄντως



ὄντως ἔρωτα. διὰ τὴν ἄτοπον τῶν τοιούτων ἀνδρῶν πρόληψιν. θεοπρεπῶς γὰρ τοῦ ὄντως ἔρωτος, οὐχ ὑφ' ἡμῶν μόνον. ἀλλὰ καὶ πρὸς τῶν λογίων αὐτῶν ὑμνουμένου. τὰ πλήθη μὴ χωρήσαντα τὸ ἑνοειδὲς τῆς ἐρωτικῆς θεωνυμίας. οἰκειῶσαι ἑαυτοῖς. ἐπὶ τὸν μεριστὸν καὶ σωματοπρεπῆ καὶ διῃρημένον ἐξωλίσθησαν. ὡς οὐκ ἔστιν ἀληθὴς ἔρως. ἀλλ' εἴδωλον ἢ μᾶλλον ἔκπτωσις τοῦ ὄντος ἔρωτος. ἀχώρητον γάρ ἐστι τῷ πλήθει τὸ ἑνιαῖον τοῦ θείου καὶ ἑνὸς ἔρωτος. Δ

Διὸ καὶ ὡς δυσχερέστερον ὄνομα τοῖς πολλοῖς δοκοῦν ἐπὶ τῆς θείας σοφίας τάττεται, πρὸς ἀναγωγὴν αὐτῶν καὶ ἀνάτασιν εἰς τὴν τοῦ ὄντως ἔρωτος γνῶσιν. καὶ ὥστε ἀπολυθῆναι τῆς ἐπ' αὐτῷ δυσχερείας, ἐφ' ἡμῶν δὲ αὖθις. ἔνθα καὶ ἄτοπόν τι πολλάκις ἠνοηθῆναι τοὺς χαμαιζήλοις κατὰ τὸ δοκοῦν εὐφημότερον. ἐπέπεσεν τις φησὶν ἡ ἀγάπησίς σου ἐπ' ἐμὲ, ὡς ἡ ἀγάπησις τῶν γυναικῶν, ἐπὶ τοῖς ὀρθῶς τῶν θείων ἀκροωμένοις ἐπὶ τῆς αὐτῆς δυνάμεως τάττεται πρὸς τῶν ἱερῶν θεολόγων τὸ τῆς ἀγάπης καὶ τοῦ ἔρωτος ὄνομα κατὰ τὰς θείας ἐκφαντορίας. καὶ ἔστιν τοῦτο δυνάμεως ἑνοποιοῦ καὶ συνδετικῆς, καὶ διαφερόντως συγκρατικῆς. ἐν τῷ καλῷ καὶ ἀγαθῷ, διὰ τὸ καλὸν καὶ ἀγαθὸν προϋφεστώσης. καὶ ἐκ τοῦ καλοῦ καὶ ἀγαθοῦ, διὰ τὸ καλὸν καὶ ἀγαθὸν ἐκδιδομένης. καὶ συνεχούσης μὲν τὰ ὁμόστοιχα κατὰ τὴν κοινὴν ἀλληλουχίαν. κινούσης δὲ τὰ πρῶτα πρὸς τὴν τῶν ὑφειμένων πρό

νοίαις καὶ ἐνιδρυούσης τὰ καταδεέστερα τῇ ἐπιστροφῇ τοῖς ὑπερτέροις.

Ἔστι δὲ καὶ ἐκστατικὸς ὁ θεῖος ἔρως, οὐκ ἐῶν ἑαυτῶν εἶναι τοὺς ἐραστάς, ἀλλὰ καὶ τῶν ἐρωμένων. καὶ δηλοῦσι τὰ μὲν ὑπέρτερα τῆς προνοίας γιγνόμενα τῶν καταδεεστέρων, καὶ τὰ ὁμόστοιχα τῆς ἀλλήλων συνοχῆς, καὶ τὰ ὑφειμένα τῆς πρὸς τὰ πρῶτα θειοτέρας ἐπιστροφῆς.

Διὸ καὶ Παῦλος ὁ μέγας ἐν κατοχῇ τοῦ θείου γεγονὼς ἔρωτος, καὶ τῆς ἐκστατικῆς αὐτοῦ δυνάμεως μετειληφώς, ἐνθέῳ στόματι, ζῶ ἐγώ φησιν οὐκ ἔτι, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. ὡς ἀληθὴς ἐραστὴς καὶ ἐξεστηκώς, ὡς αὐτός φησιν τῷ θεῷ, καὶ οὐ τὴν ἑαυτοῦ ζωὴν ἀλλὰ τὴν τοῦ ἐραστοῦ ζωὴν ὡς σφόδρα ἀγαπητήν. Τολμητέον δὲ καὶ τοῦτο ὑπὲρ ἀληθείας εἰπεῖν, ὅτι καὶ αὐτὸς ὁ πάντων αἴτιος, τῷ καλῷ καὶ ἀγαθῷ τῶν πάντων ἔρωτι δι' ὑπερβολὴν τῆς ἐρωτικῆς ἀγαθότητος ἔξω ἑαυτοῦ γίγνεται, ταῖς εἰς τὰ ὄντα πάντα προνοίαις, καὶ οἷον ἀγαθότητι καὶ ἀγαπήσει καὶ ἔρωτι θέλγεται, καὶ ἐκ τοῦ ὑπὲρ πάντα καὶ πάντων ἐξῃρημένου πρὸς τὸ ἐν πᾶσι κατάγεται κατ' ἐκστατικὴν ὑπερούσιον δύναμιν ἀνεκφύτητον ἑαυτοῦ. διό, καὶ ζηλωτὴν αὐτὸν οἱ τὰ θεῖα δεινοὶ προσαγορεύουσιν, ὡς πολὺν τὸν εἰς τὰ ὄντα ἀγαθὸν ἔρωτα, καὶ ὡς πρὸς ζῆλον ἐγερτικὸν τῆς ἐφέσεως αὐτοῦ τῆς ἐρωτικῆς, καὶ ὡς ζηλωτὴν αὐτὸν ἀποδεικνύντα, ὅ, καὶ τὰ ἐφιέμενα ζηλωτά. καὶ



ὡς τῶν προνοουμένων ὄντων αὐτῷ ζηλωτῶν καὶ ὅλως τοῦ καλοῦ καὶ ἀγαθοῦ ἐστι τὸ ἐραστὸν καὶ ὁ ἔρως, καὶ ἐν τῷ καλῷ καὶ ἀγαθῷ προΐδρυται καὶ διὰ τὸ καλὸν καὶ ἀγαθόν ἐστι καὶ γίγνεται.

Τί δὲ ὅλως οἱ θεολόγοι βούλονται ποτὲ μὲν ἔρωτα καὶ ἀγάπην αὐτὸν φάσκοντες, ποτὲ δὲ ἐραστὸν καὶ ἀγαπητόν. τοῦ μὲν γὰρ αἴτιος καὶ ὥσπερ προβολεὺς καὶ ἀπογεννήτωρ, τὸ δὲ αὐτός ἐστιν. καὶ τῷ μὲν κινεῖται, τῷ δὲ κινεῖ, ὅτι αὐτὸς ἑαυτοῦ καὶ ἑαυτῷ ἐστι προαγωγικὸς καὶ κινητικός. Ταύτῃ δὲ ἀγαπητὸν καὶ ἐραστὸν αὐτὸν καλοῦσιν. ὡς καλὸν καὶ ἀγαθόν. ἔρωτα δὲ αὖθις καὶ ἀγάπην. ὡς κινητικὴν ἅμα καὶ ἀναγωγὸν δύναμιν οὖσαν ἐφ' ἑαυτόν, τὸ μόνον αὐτό, δι' ἑαυτὸ καλὸν καὶ ἀγαθόν. καὶ ὥσπερ ἔκφανσιν οὖσαν ἑαυτοῦ δι' ἑαυτοῦ. καὶ τῆς ἐξῃρημένης ἑνώσεως ἀγαθὴν πρόοδον καὶ ἐρωτικὴν κίνησιν, ἁπλῆν αὐτοκίνητον. αὐτενέργητον. προοῦσαν ἐν τἀγαθῷ, καὶ ἐκ τἀγαθοῦ τοῖς οὖσιν ἐκβλυζομένην. καὶ αὖθις εἰς τἀγαθὸν ἐπιστρεφομένην. ἐν ᾧ καὶ τὸ ἀτελεύτητον ἑαυτοῦ καὶ ἄναρχον ὁ θεῖος ἔρως ἐνδείκνυται διαφερόντως. ὥσπερ τις ἀΐδιος κύκλος. διὰ τἀγαθὸν ἐκ τἀγαθοῦ καὶ ἐν τἀγαθῷ. καὶ εἰς τἀγαθὸν ἐν ἀπλανεῖ συνελίξει περιοδευόμενος, καὶ ἐν ταὐτῷ εἶναι καὶ αὐτό ἐστι τὸ εἰδοποιὸν καὶ τῶν ἀνειδέων, καὶ ἐπ' αὐτοῦ καὶ τὸ μὴ ὂν ὑπερουσίως λέγεται καὶ ἔστιν, πῶς ἡ δαιμονία πληθὺς οὐκ ἐφίεται τοῦ καλοῦ καὶ ἀγαθοῦ, πρόσυλος δὲ οὖσα καὶ τῆς ἀγγελικῆς περὶ τὴν ἔφεσιν τἀγα

θεοῦ ταὐτότητος ἀποπεπτωκυῖα κακὸν αὐτοῖς αἰτία καὶ ἑαυτῇ καὶ τοῖς ἄλλοις ὅσα κακύνεσθαι λέγεται.

Πῶς δὲ ὅλως ἐκ τἀγαθοῦ παραχθὲν τὸ δαιμόνιον φῦλον, οὐκ ἔστιν ἀγαθοειδές. ἢ πῶς ἀγαθὸν ἐκ τἀγαθοῦ γεγονὸς ἠλλοιώθη. καὶ τί τὸ κακῦνον αὐτό, καὶ ὅλως τί τὸ κακόν ἐστιν. καὶ ἐκ τίνος ἀρχῆς ὑπέστη. καὶ ἐν τίνι τῶν ὄντων ἐστίν. καὶ πῶς ὁ ἀγαθὸς αὐτὸ παραγαγεῖν ἠβουλήθη. πῶς δὲ βουληθεὶς ἠδυνήθη. καὶ εἰ ἐξ ἄλλης αἰτίας τὸ κακόν, τίς ἑτέρα τοῖς οὖσι παρὰ τἀγαθὸν αἰτία. πῶς δὲ καὶ προνοίας οὔσης ἐστὶ τὸ κακόν, ἢ γινόμενον ἢ ὅλως μὴ ἀναιρούμενον. καὶ πῶς ἐφίεταί τι τῶν ὄντων αὐτοῦ παρὰ τἀγαθόν. Ταῦτα μὲν οὖν ἴσως ἐρεῖ τοιόσδε ἀπορῶν λόγος. ἡμεῖς δὲ ἀξιώσομεν αὐτὸν εἰς τὴν τῶν πραγμάτων ἀλήθειαν ἀποβλέπειν. καὶ πρῶτόν γε τοῦτο φάναι παρρησιασώμεθα.

Τὸ κακόν, οὐκ ἔστιν ἐκ τἀγαθοῦ. καὶ εἰ ἐκ τἀγαθοῦ ἐστιν, οὐ κακόν. οὐδὲ γὰρ πυρὸς τὸ ψύχειν, οὔτε ἀγαθοῦ τὸ μὴ ἀγαθὰ παράγειν. καὶ εἰ τὰ ὄντα πάντα ἐκ τἀγαθοῦ, φύσις γὰρ τῷ ἀγαθῷ τὸ παράγειν καὶ σώζειν. τῷ δὲ κακῷ τὸ φθείρειν καὶ ἀπολύειν. οὐδέν ἐστι τῶν ὄντων ἐκ τοῦ κακοῦ. καὶ οὐδὲ αὐτὸ ἔσται τὸ κακόν, εἴπερ καὶ ἑαυτῷ κακὸν εἴη.

Καὶ εἰ μὴ τοῦτο, οὐ πάντῃ κακὸν τὸ κακόν. ἀλλ' ἔχει τινὰ τἀγαθοῦ. καθ' ἣν, ὅλως ἐστὶ μοῖραν. καὶ εἰ τὰ ὄντα τοῦ καλοῦ καὶ ἀγαθοῦ ἐφίεται, καὶ πάντα ὅσα ποιεῖ διὰ τὸ δοκοῦν ἀγαθὸν ποιεῖ. καὶ πᾶς ὁ



τῶν ὄντων σκοπὸς ἀρχὴν ἔχει καὶ τέλος τἀγαθόν, οὐδὲν γὰρ εἰς τὴν κακοῦ φύσιν ἀποβλέπον ποιεῖ, ἃ ποιεῖ. πῶς ἔσται τὸ κακὸν ἐν τοῖς οὖσιν, ἢ ὅλως ὂν τῆς τοιαύτης ἀγαθῆς ὀρέξεως παρῃρημένον.

Καὶ εἰ τὰ ὄντα πάντα ἐκ τἀγαθοῦ, καὶ τἀγαθὸν ἐπέκεινα τῶν ὄντων. ἔστι μέν, ἐν τἀγαθῷ καὶ τὸ μὴ ὄν, ὄν. τὸ δὲ κακόν, οὔτε ὄν ἐστιν. εἰ δὲ μή, οὐ πάντῃ κακόν. οὔτε μὴ ὄν. οὐδὲν γὰρ ἔσται τὸ καθόλου μὴ ὄν, εἰ μὴ ἐν τἀγαθῷ. κατὰ τὸ ὑπερούσιον λέγοιτο.

Τὸ μὲν οὖν ἀγαθόν, ἔσται καὶ τοῦ ἁπλῶς ὄντος καὶ τοῦ μὴ ὄντος, πολλῷ πρότερον ὑπεριδρυμένον. τὸ δὲ κακόν, οὔτε ἐν τοῖς οὖσιν, οὔτε ἐν τοῖς μὴ οὖσιν. ἀλλὰ καὶ αὐτοῦ τοῦ μὴ ὄντος μᾶλλον ἀλλότριον ἀπέχον τἀγαθοῦ καὶ ἀνουσιώτερον.

Πόθεν οὖν ἐστι τὸ κακόν εἴποι τις. εἰ γὰρ μή ἐστι τὸ κακόν. ἀρετὴ καὶ κακία ταὐτόν. καὶ ἡ πᾶσα τῇ ὅλῃ, καὶ ἡ ἐν μέρει τῇ ἀναλόγῳ, ἢ οὐδὲ τὸ τῇ ἀρετῇ μαχόμενον ἔσται κακόν. καίτοι ἐναντία σωφροσύνη καὶ ἀκολασία, καὶ δικαιοσύνη καὶ ἀδικία. καὶ οὐ δήπου κατὰ τὸν δίκαιον καὶ τὸν ἄδικόν φημι, καὶ τὸν σώφρονα καὶ τὸν ἀκόλαστον. ἀλλὰ καὶ πρὸ τῆς ἔξω φαινομένης τοῦ ἐναρέτου πρὸς τὸν ἀντικείμενον διαστάσεως. ἐν αὐτῇ πολλῷ πρότερον τῇ ψυχῇ καθόλου διεστήκασι τῶν ἀρετῶν αἱ κακίαι, καὶ πρὸς τὸν λόγον τὰ πάθη στασιάζει, καὶ ἐκ τούτων ἀνάγκη δοῦναί τι τῷ ἀγαθῷ καὶ κακὸν ἐναντίον. οὐ γὰρ ἑαυτῷ τἀγαθὸν ἐναντίον ἀλλ' ὡς ἀπὸ

μιᾶς ἀρχῆς καὶ ἑνὸς ἐκγόνου αἰτίου. κοινωνίᾳ καὶ ἑνότητι καὶ φιλίᾳ χαίρει. καὶ οὐδὲ τὸ ἔλαττον ἀγαθὸν τῷ μείζονι ἐναντίον. οὔτε γὰρ τὸ ἧττον θερμὸν ἢ ψυχρὸν τῷ πλείονι ἐναντίον. ἔστιν οὖν ἐν τοῖς οὖσι καὶ ὄν ἐστι καὶ ἀντιτίθεται καὶ ἠναντίωται τἀγαθῷ τὸ κακόν.

Καὶ εἰ φθορά ἐστι τῶν ὄντων, οὐκ ἐκβάλλει τοῦτο τοῦ εἶναι τὸ κακόν ἀλλ᾽ ἔσται καὶ αὐτὸ ὂν καὶ ὄντως γενεσιουργόν. ἢ οὐχὶ πολλάκις ἡ τοῦδε φθορά, τοῦδε γίγνεται γένεσις. καὶ ἔσται τὸ κακὸν εἰς τὴν τοῦ παντὸς συμπλήρωσιν συντελοῦν, καὶ τῷ ὅλῳ τὸ μὴ ἀτελὲς εἶναι δι᾽ ἑαυτὸ παρεχόμενον.

Ἐρεῖ δὲ πρὸς ταῦτα ὁ ἀληθὴς λόγος ὅτι τὸ κακὸν ᾗ κακόν. οὐδεμίαν οὐσίαν, ἢ γένεσιν ποιεῖ. μόνον δὲ κακύνει καὶ φθείρει τὸ ἐπ᾽ αὐτῷ τὴν τῶν ὄντων ὑπόστασιν. εἰ δὲ γενεσιουργόν, τις αὐτὸ εἶναι λέγει. καὶ τῇ τούτου φθορᾷ τῷ ἑτέρῳ διδόναι γένεσιν. ἀποκριτέον ἀληθῶς οὐχ ᾗ φθείρει δίδωσι γένεσιν. ἀλλ᾽ ᾗ μὲν φθορὰ καὶ κακόν, φθείρει γὰρ καὶ κακύνει μόνον. γένεσις δὲ καὶ οὐσία. διὰ τὸ ἀγαθὸν γίγνεται. καὶ ἔσται τὸ κακὸν φθορὰ μὲν δι᾽ ἑαυτό. γενεσιουργὸν δὲ διὰ τὸ ἀγαθόν, καὶ ᾗ μὲν κακόν, οὔτε ὂν οὔτε ὄντων ποιητικόν. διὰ δὲ τὸ ἀγαθόν, καὶ ὂν καὶ ἀγαθὸν ὄν, καὶ ἀγαθῶν ποιητικόν. μᾶλλον δέ, οὐδὲ γὰρ ἔσται τὸ αὐτὸ κατὰ τὸ αὐτὸ καὶ ἀγαθὸν καὶ κακόν. οὐδὲ τοῦ αὐτοῦ φθορὰ καὶ γένεσις ἡ αὐτὴ κατὰ τὸ αὐτὸ δύναμις. οὔτε αὐτοδύναμις, ἢ αὐτοφθορά.



τὸ μὲν αὐτὸ κακόν, οὔτε ὄν, οὔτε ἀγαθόν, οὔτε γενεσιουργόν, οὔτε ὄντων καὶ ἀγαθῶν ποιητικόν. τὸ δὲ ἀγαθόν, ἐν οἷς μὲν ἂν τελέως ἐγγένηται, τέλεια ποιεῖ, καὶ ἀμιγῆ καὶ ὁλόκληρα ἀγαθά. τὰ δὲ ἧττον αὐτοῦ μετέχοντα. καὶ ἀτελῆ ἐστιν ἀγαθὰ καὶ μεμιγμένα διὰ τὴν ἔλλειψιν τοῦ ἀγαθοῦ. καὶ οὐκ ἔστιν καθόλου τὸ κακόν, οὔτε ἀγαθόν, οὔτε ἀγαθοποιόν. ἀλλὰ τὸ μᾶλλον ἢ ἧττον τῷ ἀγαθῷ πλησιάζον ἀναλόγως ἔσται ἀγαθόν.

Ἐπείπερ ἡ διὰ πάντων φοιτῶσα παντελὴς ἀγαθότης, οὐ μέχρι μόνον χωρεῖ τῶν περὶ αὐτὴν παναγάθων οὐσιῶν. ἐκτείνεται δὲ ἄχρι τῶν ἐσχάτων. ταῖς μὲν ὁλικῶς παροῦσα, ταῖς δὲ ὑφειμένως. ἄλλαις δὲ ἐσχάτως ὡς ἕκαστον αὐτῆς μετέχειν δύναται τῶν ὄντων. καὶ τὰ μὲν πάντη τοῦ ἀγαθοῦ μετέχει.

Τὰ δὲ μᾶλλον καὶ ἧττον ἐστέρηνται. τὰ δὲ ἀμυδροτέραν ἔχει τοῦ ἀγαθοῦ μετουσίαν. καὶ ἄλλοις κατὰ ἔσχατον ἀπήχημα πάρεστι τἀγαθόν. εἰ γὰρ μὴ ἀναλόγως ἑκάστῳ τἀγαθὸν παρῆν, ἦν ἂν τὰ θειότατα καὶ πρεσβύτατα τὴν τῶν ἐσχάτων ἔχοντα τάξιν.

Πῶς δὲ καὶ ἦν δυνατὸν μονοειδῶς πάντα τὰ μετέχειν τοῦ ἀγαθοῦ, μὴ ὄντα εἰς τὴν ὁλικὴν αὐτοῦ μέθεξιν ἐπιτήδεια. νῦν δὲ τοῦτό ἐστι τῆς τοῦ ἀγαθοῦ δυνάμεως. τὸ ὑπερβάλλον μέγεθος. ὅτι καὶ τὰ ἐστερημένα. καὶ τὴν αὐτοῦ στέρησιν δυναμοῖ κατὰ τὸ ὅλως αὐτοῦ μετέχειν. καὶ εἰ χρὴ παρρησιασάμενον εἰπεῖν τἀληθῆ. καὶ τὰ μαχόμενα αὐτῷ τῇ αὐτοῦ δυνάμει καὶ ἔστιν καὶ μάχεσθαι δύναται.

μᾶλλον δὲ ἵνα συλλαβὼν εἴπω· τὰ ὄντα πάντα καθ' ὅσον ἐστί, καὶ ἀγαθά ἐστι, καὶ ἐκ τἀγαθοῦ, οὔτε ἀγαθά, οὔτε ὄντα ἐστίν.

Ἐπὶ μὲν γὰρ τῶν ἄλλων ἕξεων· οἷον θερμότητος ἢ ψυχρότητος· ἔστι τὰ θερμανθέντα, καὶ ἀπολειπούσης αὐτὰ τῆς θερμότητος καὶ ζωῆς καὶ νοῦ, πολλὰ τῶν ὄντων ἄμοιρα· καὶ οὐσίας ὁ θεὸς ἐξῄρηται, καὶ ἔστιν, ὑπερουσίως.

Καὶ ἁπλῶς ἐπὶ τῶν ἄλλων πάντων, καὶ ἀπελθούσης, ἢ μὴ δὲ ἐγγενομένης πάντῃ τῆς ἕξεως· ἔστι τὰ ὄντα καὶ ὑφίστασθαι δύναται. τὸ δὲ κατὰ πάντα τρόπον τοῦ ἀγαθοῦ ἐστερημένον, οὐδαμῆ οὐδαμῶς οὔτε ἦν, οὔτε ἔστιν, οὔτε ἔσται, οὔτε εἶναι δύναται· οἷον ὁ ἀκόλαστος· εἰ καὶ ἐστέρηται τἀγαθοῦ κατὰ τὴν ἄλογον ἐπιθυμίαν, ἐν τούτῳ μὲν, οὔτε ἔστιν, οὔτε ὄντων ἐπιθυμεῖ· μετέχει δὲ ὅμως τἀγαθοῦ, κατ' αὐτὸ τὸ τῆς ἑνώσεως καὶ φιλίας ἀμυδρὸν ἀπήχημα.

Καὶ ὁ θυμὸς μετέχει τἀγαθοῦ· κατ' αὐτὸ τὸ κινεῖσθαι καὶ ἐφίεσθαι τὰ δοκοῦντα κακὰ πρὸς τὸ δοκοῦν καλὸν ἀνορθοῦν καὶ ἐπιστρέφειν.

Καὶ αὐτὸς ὁ τῆς χειρίστης ζωῆς ἐφιέμενος, ὡς ὅλως ζωῆς ἐφιέμενος, καὶ τῆς ἀρίστης αὐτῷ δοκούσης κατ' αὐτὸ τὸ ἐφίεσθαι, καὶ ζωῆς ἐφίεσθαι· καὶ πρὸς ἀρίστην ζωὴν ἀποσκοπεῖν μετέχει τἀγαθοῦ.

Καὶ εἰ πάντῃ τἀγαθὸν ἀνέλῃς, οὔτε οὐσία ἔσται, οὔτε ζωή, οὔτε ἔφεσις, οὔτε κίνησις, οὔτε ἄλλο οὐδέν,



ὥστε καὶ τὸ γίνεσθαι ἐκ φθορᾶς γένεσιν· οὐκ ἔστιν κακοῦ δύναμις· ἀλλ' ἥττονος ἀγαθοῦ παρουσία· καθ' ὅσον καὶ νόσος ἔλλειψίς ἐστι τάξεως οὐ πάσης·

Εἰ γὰρ τοῦτο γένηται, οὔτε ἡ νόσος αὐτὴ ὑποστήσεται· μένει δὲ καὶ ἔστιν ἡ νόσος, οὐσίαν ἔχουσα τὴν ἐλαχίστην τάξιν, καὶ ἐν αὐτῇ παρυφισταμένη.

Τὸ γὰρ πάντῃ ἄμοιρον τοῦ ἀγαθοῦ, οὔτε ὄν, οὔτε ἐν τοῖς οὖσιν· τὸ δὲ μικτόν, διὰ τὸ ἀγαθὸν ἐν τοῖς οὖσι· καὶ κατὰ τοῦτο ἐν τοῖς οὖσι καὶ ὂν καθ' ὅσον τοῦ ἀγαθοῦ μετέχει· μᾶλλον δὲ τὰ ὄντα πάντα κατὰ τοσοῦτον ἔσται μᾶλλον καὶ ἧττον καθ' ὅσον τοῦ ἀγαθοῦ μετέχει.

Καὶ γὰρ καὶ ἐπὶ τοῦ αὐτὸ εἶναι τὸ μηδαμῆ μηδαμῶς ὄν, οὔτε ἔσται, τὸ δὲ πῂ μὲν ὄν· πῂ δὲ μὴ ὄν· καθ' ὅσον μὲν ἀποπέπτωκεν τοῦ ἀεὶ ὄντος· οὐκ ἔστιν· καθ' ὅσον δὲ τοῦ εἶναι μετείληφε· κατὰ τοσοῦτόν ἐστι καὶ τὸ ὅλως εἶναι, καὶ τὸ μὴ ὂν αὐτοῦ διακρατεῖται καὶ διασώζεται, καὶ τὸ κακόν, τὸ μὲν πάντῃ· τοῦ ἀγαθοῦ ἀποπεπτωκός, οὔτε ἐν τοῖς οὖσι μᾶλλον οὔτε ἐν τοῖς ἧττον, ἀγαθὸν ἔσται.

Τὸ δὲ πῂ μὲν ἀγαθόν, πῂ δὲ οὐκ ἀγαθόν· μάχεται μὲν ἀγαθῷ τινι, οὐχ ὅλῳ δὲ ἀγαθῷ· κρατεῖται δὲ καὶ αὐτὸ τῇ τοῦ ἀγαθοῦ μετουσίᾳ· καὶ οὐσιοῖ καὶ τὴν ἑαυτοῦ στέρησιν τὸ ἀγαθόν. τῷ ὅλως αὐτοῦ μετέχειν.

Πάντῃ γὰρ ἀπελθόντος τοῦ ἀγαθοῦ, οὔτε καθόλου ἔσται τι ἀγαθόν, οὔτε μικτόν, οὔτε αὐτὸ κακόν· εἰ γὰρ τὸ κακὸν ἀτελές ἐστιν ἀγαθόν, ἀπουσίᾳ παν-

τελεῖ τοῦ ἀγαθοῦ καὶ τὸ ἀτελές, καὶ τὸ τέλειον ἀ-
γαθὸν ἀπέσται καὶ τότε μόνον ἔσται καὶ ὀφθήσεται
τὸ κακόν, ἡνίκα τοῖς μὲν ἔστι κακὸν οἷς ἠναντίω-
ται· τῶν δὲ ὡς ἀγαθῶν ἐξήρτηται. μάχεσθαι γὰρ
ἀλλήλοις τὰ αὐτὰ κατὰ τὰ αὐτὰ ἐν πᾶσιν ἀδύνα-
τον. οὐκ ἄρα ὂν τὸ κακόν.

Αλλὰ οὐδὲ ἐν τοῖς οὖσιν ἐστὶ τὸ κακόν. εἰ γὰρ πάν-
τα τὰ ὄντα ἐκ τἀγαθοῦ καὶ ἐν πᾶσι τοῖς οὖσι· καὶ
πάντα περιέχει τἀγαθόν· ἢ οὐκ ἔσται τὸ κακὸν ἐν
τοῖς οὖσιν, ἢ ἐν τἀγαθῷ ἔσται. καὶ μὴν ἐν τἀγαθῷ
οὐκ ἔσται. καὶ γὰρ οὐδὲ ἐν πυρὶ τὸ ψυχρόν. οὐδὲ τὸ
κακύνεσθαι τῷ καὶ τὸ κακὸν ἀγαθύνοντι. εἰ δὲ ἔ-
σται, πῶς ἔσται ἐν τἀγαθῷ τὸ κακόν. εἰ μὲν ἐξ αὐ-
τοῦ, ἄτοπον καὶ ἀδύνατον· οὐ δύναται γὰρ ὡς ἡ τῶν
λογίων ἀλήθειά φησι· δένδρον ἀγαθὸν καρποὺς
πονηροὺς ποιεῖν. οὐδὲ μὴν τὸ ἀνάπαλιν. εἰ δὲ οὐκ
ἐξ αὐτοῦ, ἐξ ἄλλης δῆλον ὅτι ἀρχῆς καὶ αἰτίας. καὶ
γὰρ ἢ τὸ κακὸν ἐκ τοῦ ἀγαθοῦ ἔσται, ἢ τὸ ἀγαθόν,
ἐκ τοῦ κακοῦ, ἢ εἰ μὴ τοῦτο δυνατόν. ἐξ ἄλλης ἀρ-
χῆς καὶ αἰτίας ἔσται καὶ τὸ ἀγαθὸν καὶ τὸ κακόν.

Πᾶσα γὰρ δυάς, οὐκ ἀρχή. μονὰς δὲ ἔσται πάσης
δυάδος ἀρχή. καίτοι ἄτοπον ἐξ ἑνὸς καὶ τοῦ αὐτοῦ
δύο παντελῶς ἐναντία προϊέναι καὶ εἶναι. καὶ αὐ-
τὴν τὴν ἀρχήν, οὐχ ἁπλῆν καὶ ἑνιαίαν. ἀλλὰ με-
ριστὴν καὶ δύο εἰδῆ καὶ ἐναντίαν ἑαυτῇ καὶ ἠλλοι-
ωμένην.

Καὶ μὴν οὔτε δύο τῶν ὄντων ἐναντίας ἀρχὰς δυνα-



τὸν εἶναι. καὶ ταύτας ἐν ἀλλήλαις καὶ ἐν τῷ παν-
τὶ καὶ μαχομένας.

Εἰ γὰρ τοῦτο δοθείη ἔσται· καὶ ὁ θεὸς οὐκ ἀπήμων,
οὐδὲ ἐκτὸς δυσχερείας. εἴπερ εἴη τι καὶ αὐτῷ ἐνο-
χλοῦν. ἔπειτα ἔσται πάντα ἄτακτα καὶ ἀεὶ μαχό-
μενα. καίτοι φιλίας πᾶσι τοῖς οὖσι τὸ ἀγαθὸν με-
ταδίδωσι. καὶ αὐτὸ εἰρήνη καὶ εἰρηνόδωρος ὑμνεῖται
πρὸς τῶν ἱερῶν θεολόγων. διό, καὶ φίλα τἀγα-
θὰ καὶ ἐναρμόνια πάντα, καὶ μιᾶς ζωῆς ἔκγονα, καὶ
πρὸς ἕν, ἀγαθὸν συντεταγμένα, καὶ προσηνῆ καὶ
ὅμοια, καὶ προσηγορίας ἀλλήλοις. ὥστε οὐκ ἐν θεῷ
τὸ κακὸν οὐκ ἔνθεον. ἀλλ' οὐδὲ ἐκ θεοῦ τὸ κακόν.
ἢ γὰρ οὐκ ἀγαθός, ἢ ἀγαθοποιεῖ καὶ ἀγαθὰ πα-
ράγει. καὶ οὐ ποτὲ μὲν καὶ τινά, ποτὲ δὲ οὔ. καὶ οὐ
πάντα. μεταβολὴν γὰρ ἐν τούτῳ πείσεται καὶ ἀλλοί-
ωσιν, καὶ περὶ αὐτὸ τὸ πάντων κυριώτατον τὴν αἰτί-
αν. Εἰ δὲ ἐν θεῷ τἀγαθόν, ὕπαρξίς ἐστι καὶ ἔ-
σται ὁ μεταβάλλων ἐκ τἀγαθοῦ θεὸς ποτὲ μὲν ὤν.
ποτὲ δὲ οὐκ ὤν.

Εἰ δὲ μεθέξει τὸ ἀγαθὸν ἔχει, καὶ ἐξ ἑτέρου ἕξει. καὶ
ποτὲ μὲν ἕξει, ποτὲ δὲ οὐχ ἕξει. οὐκ ἄρα ἐκ θεοῦ
τὸ κακόν, οὔτε ἐν τῷ θεῷ οὔτε ἁπλῶς οὔτε κατὰ
χρόνον.

Αλλ' οὔτε ἐν ἀγγέλοις ἐστὶ τὸ κακόν. εἰ γὰρ ἐξαγγέλλει
τὴν ἀγαθότητα τὴν θείαν ὁ ἀγαθοειδὴς ἄγγελος.
ἐκεῖνο ὢν κατὰ μέθεξιν δευτέρως, ὅπερ κατ' αἰτίαν
τὸ ἀγγελλόμενον πρώτως. εἰκών ἐστι τοῦ θεοῦ ὁ ἄγγελος

φαιδρώσεως τοῦ ἀφανοῦς φωτὸς ἔσοπτρον ἀκραιφνὲς, διειδέστατον, ἀλώβητον, ἄχραντον, ἀκηλίδωτον· δεχόμενον ὅλην, εἰ θέμις, τὴν ὡραιότητα τῆς ἀγαθοτύπου θεοειδείας, καὶ ἀμιγῶς ἀναλάμπον ἐν ἑαυτῷ, καθ' ὅσον ἔξεστι, τὴν ἀγαθότητα τῆς ἐν ἀδύτοις σιγῆς. οὐκ ἄρα οὐδὲ ἐν ἀγγέλοις ἐστὶ τὸ κακόν.

Ἀλλὰ κολάζειν τοὺς ἁμαρτάνοντας εἰσὶ κακοί. τούτῳ γοῦν τῷ λόγῳ καὶ οἱ σωφρονισταὶ τῶν πλημμελούντων κακοί· καὶ τῶν ἱερέων οἱ τὸν βέβηλον τῶν θείων μυστηρίων ἀπείργοντες. καίτοι οὐδὲ τὸ κολάζεσθαι κακὸν, ἀλλὰ τὸ ἄξιον γενέσθαι κολάσεως· οὐδὲ τὸ κατ' ἀξίαν ἀπείργεσθαι τῶν ἱερῶν, ἀλλὰ τὸ ἐναγῆ καὶ ἀνίερον γενέσθαι, καὶ τῶν ἀχράντων ἀνεπιτήδειον. ἀλλ' οὔτε οἱ δαίμονες φύσει κακοί· καὶ γὰρ εἰ φύσει κακοί, οὔτε ἐκ τἀγαθοῦ, οὔτε ἐν τοῖς οὖσιν, οὔτε μὴν ἐξ ἀγαθῶν μεταβαλόντες φύσει, καὶ ἀεὶ κακοὶ ὄντες. ἔπειτα ἑαυτοῖς εἰσι κακοὶ ἢ ἑτέροις. εἰ μὲν ἑαυτοῖς, καὶ φθείρουσιν ἑαυτούς· εἰ δὲ ἄλλοις, πῶς φθείροντες, ἢ τί φθείροντες· οὐσίαν, ἢ δύναμιν, ἢ ἐνέργειαν. εἰ μὲν οὐσίαν, πρῶτον μὲν, οὐ παρὰ φύσιν· τὰ γὰρ φύσει ἄφθαρτα, οὐ φθείρουσιν· ἀλλὰ τὰ δεκτικὰ φθορᾶς. ἔπειτα οὐδὲ τοῦτο παντὶ καὶ πάντη κακόν. ἀλλ' οὔτε φθείρεταί τι τῶν ὄντων καθ' ὃ οὐσία καὶ φύσις. ἀλλὰ τῇ ἐλλείψει τῆς κατὰ φύσιν τάξεως ὁ τῆς ἁρμονίας καὶ τῆς συμμετρίας λόγος ἀσθενεῖ μένειν. ὡσαύ-



τως ἔχων. ἡ δὲ ἀσθένεια οὐ παντελής· ἡ γὰρ παντελὴς, καὶ τὴν φθορὰν καὶ τὸ ὑποκείμενον ἀνεῖλεν. καὶ ἔσται ἡ τοιαύτη φθορὰ καὶ ἑαυτῆς φθορά. ὥστε τὸ τοιοῦτον οὐ κακόν· ἀλλ' ἐλλειπὲς ἀγαθόν. τὸ γὰρ πάντη ἄμοιρον τἀγαθοῦ, οὔτε ἐν τοῖς οὖσιν ἔσται. καὶ περὶ τῆς εἰς δύναμιν καὶ ἐνέργειαν φθορᾶς, ὁ αὐτὸς λόγος.

Ἔπειτα πῶς οἱ ἐκ θεοῦ γενόμενοι δαίμονες εἰσὶ κακοί. τὸ γὰρ ἀγαθὸν, ἀγαθὰ παράγει καὶ ὑφίστησιν. καίτοι λέγονται κακοὶ φαίη τις. ἀλλ' οὐ καθ' ὅ εἰσιν, ἐκ τἀγαθοῦ γάρ εἰσιν, καὶ ἀγαθὴν ἔλαχον οὐσίαν. ἀλλὰ καθ' ὃ οὐκ εἰσὶν, ἀσθενήσαντες ὡς τὰ λόγιά φησι τηρῆσαι τὴν ἑαυτῶν ἀρχήν.

Ἐν τίνι γὰρ εἰπέ μοι κακύνεσθαί φαμεν τοὺς δαίμονας εἰ μὴ ἐν τῇ παύσει τῆς τῶν θείων ἀγαθῶν ἕξεως καὶ ἐνεργείας.

Ἄλλως τε, εἰ φύσει κακοὶ οἱ δαίμονες, ἀεὶ κακοί. καίτοι τὸ κακὸν ἄστατόν ἐστιν. οὐκοῦν, εἰ ἀεὶ ὡσαύτως ἔχουσιν, οὐ κακοί. τὸ γὰρ ἀεὶ ταὐτὸν τοῦ ἀγαθοῦ ἴδιον. εἰ δὲ οὐκ ἀεὶ κακοὶ οὐ φύσει κακοί. ἀλλ' ἐνδείᾳ τῶν ἀγγελικῶν ἀγαθῶν. καὶ οὐ πάντη ἄμοιροι τοῦ ἀγαθοῦ, καθ' ὃ καὶ εἰσὶ καὶ ζῶσι καὶ νοοῦσιν. καὶ ὅλως ἐστί τις ἐν αὐτοῖς ἐφέσεως κίνησις.

Κακοὶ δὲ εἶναι λέγονται διὰ τὸ ἀσθενεῖν περὶ τὴν κατὰ φύσιν ἐνέργειαν. παρατροπὴ οὖν ἐστιν αὐτοῖς τὸ κακόν. καὶ τῶν προσηκόντων αὐτοῖς ἔκβασις καὶ ἀτευξία καὶ ἀτέλεια καὶ ἀδυναμία. καὶ τῆς

σῴζούσης τὴν ἐν αὐτοῖς τελειότητα δυνάμεως. ἀ-
σθένεια καὶ ἀποφυγὴ καὶ ἀπόπτωσις. ἄλλως τε τί
ἐν δαίμοσι κακόν· θυμὸς ἄλογος. ἄνους ἐπιθυμία.
φαντασία προπετής. ἀλλὰ ταῦτα εἰ καὶ ἐν δαίμο-
σίν ἐστιν. οὐ πάντη οὐδὲ ἐπὶ πάντων. οὐδὲ αὐτὰ καθ'
αὑτὰ κακά. καὶ γὰρ ἐφ' ἑτέρων ζώων, οὐχ ἡ σχέσις
τούτων. ἀλλ' ἡ ἀναίρεσίς ἐστι καὶ φθορὰ τῷ ζώῳ καὶ
κακόν. ἡ δὲ σχέσις σῴζει καὶ εἶναι ποιεῖ τὴν ταῦτα
ἔχουσαν τοῦ ζώου φύσιν οὐκ ἄρα κακὸν τὸ δαιμό-
νιον φῦλον ᾗ ἐστὶ κατὰ φύσιν, ἀλλ' ᾗ οὐκ ἔστιν. καὶ
οὐκ ἠλλοιώθη τὸ δοθὲν αὐτοῖς ὅλον ἀγαθόν ἀλλ' αὐ-
τοὶ τοῦ δοθέντος ἀποπεπτώκασιν ὅλου ἀγαθοῦ καὶ
τὰς δοθείσας αὐτοῖς ἀγγελικὰς δωρεάς, οὐ μήπο-
τε αὐτὰς ἠλλοιῶσθαι φαμέν. ἀλλ' εἰσὶ καὶ ὁλόκλη-
ροι καὶ παμφαεῖς εἰσὶ κἂν αὐτοὶ μὴ ὁρῶσιν ἀπομύ-
σαντες αὐτῶν τὰς ἀγαθοπτικὰς δυνάμεις. ὥστε
ὅ εἰσι, καὶ ἐκ τἀγαθοῦ εἰσὶ καὶ ἀγαθοί. καὶ τοῦ κα-
λοῦ καὶ ἀγαθοῦ ἐφίενται, τοῦ εἶναι καὶ ζῆν καὶ νο-
εῖν, τῶν ὄντων ἐφιέμενοι. καὶ τῇ στερήσει καὶ ἀπο-
φυγῇ καὶ ἀποπτώσει τῶν προσηκόντων αὐτοῖς ἀ-
γαθῶν λέγονται κακοί, καὶ εἰσὶ κακοὶ καθ' ὃ οὐκ
εἰσὶ καλοί, καὶ τοῦ μὴ ὄντος ἐφιέμενοι τοῦ κακοῦ
ἐφίενται. Ἀλλὰ ψυχάς τις εἶναι λέγει κακάς.
εἰ μὲν ὅτι συγγίνονται κακοῖς προνοητικῶς καὶ σω-
στικῶς τοῦτο οὐ κακόν. ἀλλ' ἀγαθὸν καὶ ἐκ τἀγα-
θοῦ. τοῦ καὶ τὸ κακὸν ἀγαθύνοντος.

Ε ἰ δὲ τὸ κακύνεσθαι ψυχάς φαμεν, ἐν τίνι κακύνον-



ται. εἰ μὴ ἐν τῇ τῶν ἀγαθῶν ἕξεων καὶ ἐνεργειῶν ἐλ-
λείψει. καὶ δι' οἰκείαν ἀσθένειαν ἀτευξίᾳ καὶ ἀπο-
λισθήσει. καὶ γὰρ καὶ τὸν ἀέρα τὸν περὶ ἡμᾶς ἐσκο-
τῶσθαί φαμεν. ἐλλείψει καὶ ἀπουσίᾳ φωτός. αὐτὸ
δὲ τὸ φῶς ἀεὶ φῶς ἐστι. τὸ καὶ τὸ σκότος φωτίζον.
οὐκ ἄρα οὔτε ἐν δαίμοσιν οὔτε ἐν ἡμῖν τὸ κακὸν ὡς
ὂν κακόν. Ἀλλ' ὡς ἔλλειψις καὶ ἐρημία τῆς τῶν
οἰκείων ἀγαθῶν τελειότητος.

Α λλ' οὔτε ἐν ζώοις ἀλόγοις ἐστὶ τὸ κακόν. εἰ γὰρ ἀνέ-
λῃς θυμὸν καὶ ἐπιθυμίαν καὶ τἄλλα ὅσα λέγεται. καὶ
οὐκ ἔστιν ἁπλῶς τῇ ἑαυτῶν φύσει κακά.

Τὸ μὲν ἀνδρεῖον καὶ γαῦρον ὁ λέων ἀπολέσας, οὐδὲ λέ-
ων ἔσται. προσηνὴς δὲ πᾶσι γενόμενος ὁ κύων, οὐκ
ἔσται κύων εἴπερ κυνὸς τὸ φυλακτικὸν, καὶ τὸ προσίε-
σθαι μὲν τὸ οἰκεῖον. ἀπελαύνειν δὲ τὸ ἀλλότριον ὥστε
τὸ μὴ φθείρεσθαι τὴν φύσιν, οὐ κακόν. φθορὰ δὲ φύ-
σεως, ἀσθένεια καὶ ἔλλειψις τῶν φυσικῶν ἕξεων καὶ ἐν-
εργειῶν καὶ δυνάμεων καὶ εἰ πάντα τὰ διὰ γενέσε-
ως ἐν χρόνῳ ἔχει τὸ τέλειον, οὐδὲ τὸ ἀτελὲς πάν-
τη παρὰ πᾶσαν φύσιν. Ἀλλ' οὐδὲ ἐν τῇ ὅλῃ φύσει
τὸ κακόν. εἰ γὰρ οἱ πάντες φυσικοὶ λόγοι παρὰ τῆς
καθόλου φύσεως, οὐδέν ἐστιν αὐτῇ τὸ ἐναντίον. τῇ
καθέκαστον δὲ τὸ μὲν κατὰ φύσιν ἔσται, τὸ δὲ οὐ κα-
τὰ φύσιν. ἄλλῃ γὰρ ἄλλο παρὰ φύσιν, καὶ τὸ τῇ δὲ
κατὰ φύσιν, τῇ δὲ παρὰ φύσιν. φύσεως δὲ κακία,
τὸ παρὰ φύσιν ἡ στέρησις τῶν τῆς φύσεως. ὥστε οὐκ
ἔστιν κακὴ φύσις. ἀλλὰ τοῦτο τῇ φύσει κακόν, τὸ
ἀδυνατεῖν τὰ τῆς οἰκείας φύσεως ἐκτελεῖν.

Ἀλλ' οὐδὲ ἐν σώμασι τὸ κακόν. αἶσχος γὰρ καὶ νόσος, ἔλλειψις εἴδους καὶ στέρησις τάξεως. τοῦτο δὲ οὐ παντελῶς κακόν, ἀλλ' ἧττον καλόν. εἰ γὰρ παντελὴς γένοιτο λύσις κάλλους καὶ εἴδους καὶ τάξεως, οἰχήσεται καὶ αὐτὸ τὸ σῶμα.

Ὅτι δὲ οὐ κακίας αἴτιον τῇ ψυχῇ τὸ σῶμα, δῆλον ἐκ τοῦ δυνατὸν εἶναι καὶ ἄνευ σώματος παρυφίστασθαι κακίαν, ὥσπερ ἐν δαίμοσιν. τοῦτο γάρ ἐστιν καὶ νόοις, καὶ ψυχαῖς καὶ σώμασι κακόν, ἡ τῆς ἕξεως τῶν οἰκείων ἀγαθῶν ἀσθένεια καὶ ἀπόπτωσις.

Ἀλλ' οὐδέ τοι τὸ πολυθρύλλητον ἐν ὕλῃ τὸ κακὸν ὥς φασι, καθὸ ὕλη. καὶ γὰρ καὶ αὐτὴ κόσμου καὶ κάλλους καὶ εἴδους ἔχει μετουσίαν. εἰ δὲ τούτων ἐκτὸς οὖσα ἡ ὕλη, καθ' ἑαυτὴν ἄποιός ἐστι καὶ ἀνείδεος. πῶς ποιεῖ τι ἡ ὕλη, ἡ μηδὲ τὸ πάσχειν δύνασθαι καθ' ἑαυτὴν ἔχουσα. ἄλλως τε πῶς ἡ ὕλη κακόν. εἰ μὲν γὰρ οὐδαμῆ οὐδαμῶς ἐστιν, οὔτε ἀγαθὸν οὔτε κακόν. εἰ δὲ ὄν. τὰ δὲ ὄντα πάντα ἐκ τἀγαθοῦ, καὶ αὐτὴ ἐκ τοῦ ἀγαθοῦ ἂν εἴη, καὶ ἢ τὸ ἀγαθὸν τοῦ κακοῦ ποιητικόν, ἢ τὸ κακὸν ὡς ἐκ τοῦ ἀγαθοῦ ὄν, ἀγαθόν, ἢ τὸ κακὸν τοῦ ἀγαθοῦ ποιητικόν, ἢ τὸ ἀγαθὸν ὡς ἐκ τοῦ κακοῦ κακόν. ἢ δύο αὖθις ἀρχαί, καὶ αὗται ἄλλης μιᾶς ἐξημμέναι κορυφῆς.

Εἰ δὲ ἀναγκαίαν φασὶ τὴν ὕλην πρὸς συμπλήρωσιν τοῦ παντὸς κόσμου, πῶς ἡ ὕλη κακόν. ἄλλο γὰρ τὸ κακόν, καὶ ἄλλο τὸ ἀναγκαῖον. πῶς δὲ ὁ ἀγαθὸς ἐκ τοῦ κακοῦ παράγει τινὰ πρὸς γένεσιν, ἢ

πῶς



πῶς κακὸν τὸ τοῦ ἀγαθοῦ δεόμενον. φεύγει γὰρ τὴν τοῦ ἀγαθοῦ φύσιν τὸ κακόν. πῶς δὲ γεννᾷ καὶ τρέφει τὴν φύσιν ἡ ὕλη κακὴ οὖσα. τὸ γὰρ κακὸν ᾗ κακὸν οὐδενός ἐστι γεννητικόν, ἢ θρεπτικόν, ἢ ὅλως ποιητικόν, ἢ σωστικόν. εἰ δὲ φαῖεν, αὐτὴν μὲν οὐ ποιεῖν κακίαν ἐν ψυχαῖς, ἐφέλκεσθαι δὲ αὐτάς, πῶς ἔσται τοῦτο ἀληθές. πολλαὶ γὰρ αὐτῶν εἰς τὸ ἀγαθὸν βλέπουσιν. καίτοι πῶς ἐγίγνετο τοῦτο τῆς ὕλης πάντως αὐτὰς εἰς τὸ κακὸν ἀφελκομένης. ὥστε οὐκ ἐξ ὕλης ἐν ψυχαῖς τὸ κακόν, ἀλλ' ἐξ ἀτάκτου καὶ πλημμελοῦς κινήσεως.

Εἰ δὲ καὶ τοῦτό φασι τῇ ὕλῃ πάντως ἕπεσθαι. καὶ ἀναγκαῖα ἡ ἄστατος ὕλη τοῖς ἐφ' ἑαυτῶν ἱδρύεσθαι μὴ δυναμένοις, πῶς τὸ κακὸν ἀναγκαῖον ἢ τὸ ἀναγκαῖον κακόν.

Ἀλλ' οὐδὲ τοῦτο ὅ φαμεν, ἡ στέρησις κατὰ δύναμιν οἰκείαν μάχεται τῷ ἀγαθῷ. ἡ γὰρ παντελὴς στέρησις καθόλου ἀδύναμος. ἡ δὲ μερικὴ οὐ καθὸ στέρησις ἔχει τὴν δύναμιν, ἀλλὰ καθ' ὃ οὐ παντελής ἐστι στέρησις. στερήσεως γὰρ τοῦ ἀγαθοῦ μερικῆς οὔσης, οὔπω κακόν, καὶ γενομένης, καὶ ἡ τοῦ κακοῦ φύσις ἀπελήλυθεν.

Συνελόντι δὲ φάναι, τὸ ἀγαθὸν ἐκ μιᾶς καὶ τῆς ὅλης αἰτίας. τὸ δὲ κακὸν ἐκ πολλῶν καὶ μερικῶν ἐλλείψεων.

Οἶδεν ὁ θεὸς τὸ κακὸν, ᾗ ἀγαθόν, καὶ παρ' αὐτῷ αἱ αἰτίαι τῶν κακῶν δυνάμεις εἰσὶν ἀγαθοποιοί. εἰ δὲ

τὸ κακὸν ἀΐδιον, καὶ δημιουργεῖ καὶ δύναται, καὶ ἔστιν καὶ δρᾷ. πόθεν αὐτῷ ταῦτα, ἢ ἐκ τοῦ ἀγαθοῦ, ἢ τῷ ἀγαθῷ ἐκ τοῦ κακοῦ, ἢ ἀμφοῖν ἐξ ἄλλης αἰτίας.

Π ᾶν τὸ κατὰ φύσιν ἐξ αἰτίας ὡρισμένης γεννᾶται. εἰ δὲ τὸ κακὸν ἀναίτιον καὶ ἀόριστον οὐ κατὰ φύσιν. οὐδὲ γὰρ ἐν τῇ φύσει τὸ παρὰ φύσιν. οὐδὲ ἀτεχνία ἐν τῇ τέχνῃ λόγος.

Α ρα ἡ ψυχὴ τῶν κακῶν αἰτία. καθάπερ τὸ πῦρ τοῦ θερμαίνειν καὶ πάντα οἷς ἂν γειτνιάσῃ κακίας ἀναπίμπλησιν. ἡ ἀγαθὴ μὲν ἡ ψυχῆς φύσις. ταῖς δὲ ἐνεργείαις ποτὲ μὲν οὕτως ἔχει, ποτὲ δὲ οὕτως. εἰ μὲν φύσει, καὶ τὸ εἶναι αὐτῆς κακόν. καὶ πόθεν αὐτῇ τὸ εἶναι, ἢ ἐκ τῆς δημιουργικῆς τῶν ὅλων οὔσης ἀγαθῆς αἰτίας. ἀλλ' εἰ ἐκ ταύτης, πῶς κατ' οὐσίαν κακόν, ἀγαθὰ γὰρ πάντα ταύτης ἔκγονα. εἰ δὲ ταῖς ἐνεργείαις. οὐδὲ τοῦτο ἀμετάβλητον, εἰ δὲ μή, πόθεν αἱ ἀρεταί, μὴ καὶ ἀγαθοειδοῦς αὐτῆς γιγνομένης. λείπεται ἄρα τὸ κακόν, ἀσθένεια καὶ ἔλλειψις τοῦ ἀγαθοῦ εἶναι. τῶν ἀγαθῶν τὸ αἴτιον ἕν.

Ε ἰ τῷ ἀγαθῷ τὸ κακὸν ἐναντίον τοῦ κακοῦ τὰ αἴτια πολλά. οὐ μὴν τὰ ποιητικὰ τῶν κακῶν λόγοι καὶ δυνάμεις. ἀλλ' ἀδυναμία καὶ ἀσθένεια καὶ μῖξις τῶν ἀνομοίων ἀσύμμετρος, οὔτε ἀκίνητα καὶ ἀεὶ ὡσαύτως ἔχοντα τὰ κακά, ἀλλ' ἄπειρα καὶ ἀόριστα, καὶ ἐν ἄλλοις ἄλλως φερόμενα καὶ τούτοις ἀπείροις.

Π άντων καὶ τῶν κακῶν ἀρχὴ καὶ τέλος ἔσται τὸ ἀγα-



θόν. τοῦ γὰρ ἀγαθοῦ ἕνεκα πάντα καὶ ὅσα ἀγαθὰ καὶ ὅσα ἐναντία. καὶ γὰρ καὶ ταῦτα πράττομεν τὸ ἀγαθὸν ποθοῦντες. οὐδεὶς γὰρ εἰς τὸ κακὸν ἀποβλέπων ποιεῖ ἃ ποιεῖ. διὸ οὔτε ὑπόστασιν ἔχει τὸ κακόν, ἀλλὰ παρυπόστασιν, τοῦ ἀγαθοῦ ἕνεκα, καὶ οὐχ ἑαυτοῦ γιγνόμενον.

Τ ῷ κακῷ τὸ εἶναι θετέον, κατὰ συμβεβηκός, καὶ δι' ἄλλο καὶ οὐκ ἐξ ἀρχῆς οἰκείας. ὥστε τὸ γινόμενον. ὀρθὸν μὲν εἶναι δοκεῖν. ὅτι τοῦ ἀγαθοῦ ἕνεκα γίγνεται, τῷ ὄντι δὲ οὐκ ὀρθὸν εἶναι, διότι τὸ μὴ ἀγαθὸν ἀγαθὸν οἰόμεθα.

Δ έδεικται ἄλλο τὸ ἐφετόν, καὶ ἄλλο τὸ γιγνόμενον οὐκοῦν τὸ κακὸν παρὰ τὴν ὁδόν, καὶ παρὰ τὸν σκοπόν, καὶ παρὰ τὴν φύσιν, καὶ παρὰ τὴν αἰτίαν, καὶ παρὰ τὴν ἀρχήν, καὶ παρὰ τὸ τέλος, καὶ παρὰ τὸν ὅρον, καὶ παρὰ τὴν βούλησιν, καὶ παρὰ τὴν ὑπόστασιν. στέρησις ἄρα ἐστὶ τὸ κακὸν καὶ ἔλλειψις καὶ ἀσθένεια, καὶ ἀσυμμετρία, καὶ ἁμαρτία, καὶ ἄσκοπον, καὶ ἀκαλλές, καὶ ἄζων, καὶ ἄνουν, καὶ ἄλογον, καὶ ἀτελές, καὶ ἀνίδρυτον, καὶ ἀναίτιον, καὶ ἀόριστον, καὶ ἄγονον, καὶ ἀδρανές, καὶ ἄτακτον, καὶ ἀνόμοιον, καὶ ἄπειρον, καὶ σκοτεινόν, καὶ ἀνούσιον, μηδαμῇ μηδὲν ὄν. καὶ αὐτὸ μηδαμῶς.

Π ῶς ὅλως δύναταί τι τὸ κακὸν τῇ πρὸς τὸ ἀγαθὸν μίξει. τὸ γὰρ πάντῃ τοῦ ἀγαθοῦ ἄμοιρον. οὔτε ἐστίν τι, οὔτε δύναται. καὶ γὰρ εἰ τὸ ἀγαθὸν καὶ ὄν ἐστι καὶ βουλητὸν καὶ δυνάμενον. καὶ δραστή-

ριον· πῶς δυνήσεταί τι τὸ ἐναντίον τἀγαθοῦ, τὸ οἰκείας βουλήσεως καὶ δυνάμεως καὶ ἐνεργείας ἐστερημένον. οὐ πάντα πᾶσι, καὶ πάντῃ τὰ αὐτὰ καὶ κατὰ τὸ αὐτὸ κακά. δαίμονι τὸ κακόν, τὸ παρὰ τὸν ἀγαθοειδῆ νοῦν εἶναι· ψυχῇ τὸ παράλογον, σώματι τὸ παρὰ φύσιν. πῶς ὅλως τὰ κακὰ προνοίας οὔσης. οὐκ ἔστι τὸ κακὸν ᾗ κακόν, οὔτε ὄν, οὔτε ἐν τοῖς οὖσι. καὶ οὐδὲν τῶν ὄντων ἀπρονόητον. οὐδὲ γάρ ἐστι τὸ κακὸν ὄν, ἀμιγὲς ὑπάρχον τοῦ ἀγαθοῦ. καὶ εἰ μηδὲν τῶν ὄντων ἀμέτοχον τοῦ ἀγαθοῦ, κακὸν δὲ ἡ ἔλλειψις τοῦ ἀγαθοῦ. οὐδὲν δὲ τῶν ὄντων ἐστέρηται καθόλου τἀγαθοῦ. ἐν πᾶσι τοῖς οὖσιν ἡ θεία πρόνοια. καὶ οὐδὲν τῶν ὄντων ἀπρονόητον, ἀλλὰ καὶ τοῖς γινομένοις κακοῖς ἀγαθοπρεπῶς ἡ πρόνοια κέχρηται. πρὸς τὴν αὐτῶν ἢ ἄλλων ἢ ἰδικὴν, ἢ κοινὴν ὠφέλειαν, καὶ οἰκείως ἑκάστου τῶν ὄντων προνοεῖ. διὸ καὶ τὸν κενὸν τῶν πολλῶν οὐκ ἀποδεξόμεθα λόγον. οἳ χρῆναί φασι τὴν πρόνοιαν καὶ ἄκοντας ἡμᾶς ἐπὶ τὴν ἀρετὴν ἄγειν. τὸ γὰρ φθείρειν φύσιν, οὐκ ἔστι προνοίας. ὅθεν ὡς πρόνοια τῆς ἑκάστου φύσεως σωστικὴ τῶν αὐτοκινήτων, ὡς αὐτοκινήτων προνοεῖ, καὶ τῶν ὅλων καὶ τῶν καθ᾽ ἕκαστον οἰκείως ὅλῳ καὶ ἑκάστῳ. καθ᾽ ὅσον ἡ τῶν προνοουμένων φύσις, ἐπιδέχεται τὰς τῆς ὅλης καὶ παντοδαπῆς προνοίας ἐκδιδομένας ἀναλόγως ἑκάστῳ προνοητικὰς ἀγαθότητας.

Οὐκ ἄρα ὂν τὸ κακόν, οὐδὲ ἐν τοῖς οὖσι τὸ κακόν. οὐ



δαμοῦ γὰρ τὸ κακόν, ᾗ κακόν. καὶ τὸ γίνεσθαι τὸ κακὸν οὐ κατὰ δύναμιν, ἀλλὰ δι᾽ ἀσθένειαν. καὶ τοῖς δαίμοσιν ὃ μέν εἰσι, καὶ ἐκ τἀγαθοῦ καὶ ἀγαθόν. τὸ δὲ κακὸν αὐτοῖς ἐκ τῆς τῶν οἰκείων ἀγαθῶν ἀποπτώσεως. καὶ ἀλλοίωσις ἡ περὶ τὴν ταυτότητα καὶ τὴν ἕξιν. ἀσθένεια τῆς προσηκούσης αὐτοῖς ἀγγελοπρεποῦς τελειότητος, καὶ ἐφίενται τοῦ ἀγαθοῦ, καθ᾽ ὃ τοῦ εἶναι καὶ ζῆν καὶ νοεῖν ἐφίενται. καὶ ᾗ οὐκ ἐφίενται τἀγαθοῦ τοῦ μὴ ὄντος ἐφίενται. καὶ οὐκ ἔστιν τοῦτο ἔφεσις, ἀλλὰ τῆς ὄντως ἐφέσεως ἁμαρτία.

Ἐγνωστὴ δὲ ἁμαρτάνοντας καλεῖ τὰ λόγια, τοὺς περὶ τὴν ἄληστον τοῦ ἀγαθοῦ γνῶσιν, ἢ τὴν ποίησιν ἐξασθενοῦντας. καὶ τοὺς εἰδότας τὸ θέλημα καὶ μὴ ποιοῦντας. τοὺς ἀκηκοότας μὲν ἀσθενοῦντας δὲ περὶ τὴν πίστιν, ἢ τὴν ἐνέργειαν τοῦ ἀγαθοῦ. καὶ ἀβούλητόν τισι τὸ συνιέναι τοῦ ἀγαθῦναι, κατὰ τὴν παρατροπήν, ἢ τὴν ἀσθένειαν τῆς βουλήσεως. καὶ ὅλως τὸ κακὸν ὡς πολλάκις εἰρήκαμεν ἀσθένεια καὶ ἀδυναμία καὶ ἔλλειψίς ἐστιν, ἢ τῆς γνώσεως, ἢ τῆς ἀλήστου γνώσεως, ἢ τῆς πίστεως, ἢ τῆς φύσεως, ἢ τῆς ἐνεργείας τἀγαθοῦ.

Καίτοι φαίη τις οὐ τιμωρητὸν ἡ ἀσθένεια. τοὐναντίον δὲ συγγνωστόν. εἰ μὲν οὖν οὐκ ἐξῆν τὸ δύνασθαι, καλῶς ἂν εἶχεν ὁ λόγος. εἰ δὲ ἐκ τἀγαθοῦ τὸ δύνασθαι τοῦ διδόντος κατὰ τὰ λόγια τὰ προσήκοντα πᾶσιν ἁπλῶς, οὐκ ἐπαινετὸν ἡ τῆς ἐκ τἀγα-

θεοῦ τῶν οἰκείων ἀγαθῶν ἕξεως ἁμαρτία καὶ παρατροπὴ καὶ ἀποφυγή· καὶ ἀπόπτωσις. ἀλλὰ ταῦτα μὲν ἡμῖν ἐν τοῖς περὶ δικαίου καὶ θείου δικαιωτηρίου· κατὰ δύναμιν ἱκανῶς εἴρηται· καθ' ἣν ἱερὰν πραγματείαν ἡ τῶν λογίων ἀλήθεια, τοὺς σοφιστικοὺς καὶ ἀδικίαν καὶ ψεῦδος κατὰ τοῦ θεοῦ λαλοῦντας ἀπερράπισεν ὡς παράφρονας λόγους. νῦν δὲ ὡς καθ' ἡμᾶς ἀρκούντως ὕμνηται τἀγαθόν. ὡς ὄντως ἀγαθόν, ὡς ἀρχὴ καὶ πέρας πάντων, ὡς περιοχὴ τῶν ὄντων· ὡς εἰδοποιὸν τῶν οὐκ ὄντων, ὡς πάντων ἀγαθῶν αἴτιον, ὡς τῶν κακῶν ἀναίτιον ὡς πρόνοια καὶ ἀγαθότης παντελὴς καὶ ὑπερβάλλουσα τὰ ὄντα καὶ οὐκ ὄντα, καὶ τὰ κακὰ καὶ τὴν ἑαυτῆς στέρησιν ἀγαθύνουσα πᾶσιν ἐφετὸν καὶ ἐραστὸν καὶ ἀγαπητόν, καὶ ὅσα ἄλλα ἐν τοῖς ἔμπροσθεν ὁ ἀληθὴς ἀπέδειξεν ὡς οἶμαι λόγος.

## ΚΕΦΑΛΑΙΟΝ Ε'.

### Περὶ ὄντος ἐν ᾧ καὶ περὶ παραδειγμάτων.

μ Επιτέον δὲ νῦν ἐπὶ τὴν ὄντως οὖσαν τοῦ ὄντως θεολογικὴν· οὐσιωνυμίαν τοσοῦτον δὲ ὑπομνήσωμεν· ὅτι τῷ λόγῳ σκοπὸς, οὐ τὴν ὑπερούσιον οὐσίαν, ᾗ ὑπερούσιος ἐκφαίνειν. ἄρρητον γὰρ τοῦτο καὶ ἄγνωστόν ἐστι καὶ παντελῶς ἀνέκφαντον, καὶ αὐτὴν



ὑπεραῖρον τὴν ἕνωσιν· ἀλλὰ τὴν οὐσιοποιὸν εἰς τὰ ὄντα πάντα τῆς θεαρχικῆς οὐσιαρχίας πρόοδον ὑμνῆσαι. καὶ γὰρ ἡ τἀγαθοῦ θεωνυμία, τὰς ὅλας τοῦ πάντων αἰτίου προόδους ἐκφαίνουσα καὶ εἰς τὰ ὄντα καὶ εἰς τὰ οὐκ ὄντα ἐκτείνεται. καὶ ὑπὲρ τὰ ὄντα καὶ ὑπὲρ τὰ οὐκ ὄντα ἐστίν.

Η δὲ τοῦ ὄντος εἰς πάντα τὰ ὄντα ἐκτείνεται. καὶ ὑπὲρ τὰ ὄντα ἐστίν. ἡ δὲ τῆς ζωῆς εἰς πάντα τὰ ζῶντα ἐκτείνεται, καὶ ὑπὲρ τὰ ζῶντα ἐστίν. ἡ δὲ τῆς σοφίας, εἰς πάντα τὰ νοερὰ καὶ λογικὰ καὶ αἰσθητικὰ ἐκτείνεται, καὶ ὑπὲρ πάντα ταῦτα ἐστί.

Ταύτας οὖν ὁ λόγος ὑμνῆσαι ποθεῖ· τὰς τῆς προνοίας ἐκφαντορικὰς θεωνυμίας. οὐ γὰρ ἐκφράσαι τὴν αὐτοϋπερούσιον ἀγαθότητα καὶ οὐσίαν καὶ ζωὴν καὶ σοφίαν, τῆς αὐτοϋπερουσίου θεότητος ἐπαγγέλλεται· τῆς ὑπὲρ πᾶσαν ἀγαθότητα καὶ θεότητα καὶ οὐσίαν καὶ ζωὴν καὶ σοφίαν· ἐν ἀποκρύφοις ὡς τὰ λόγιά φησιν ὑπεριδρυμένην.

Αλλὰ τὴν ἐκπεφασμένην ἀγαθοποιὸν πρόνοιαν, ὑπεροχικῶς ἀγαθότητα· καὶ πάντων ἀγαθῶν αἰτίαν ὑμνεῖ καὶ ὂν καὶ ζωὴν καὶ σοφίαν, τὴν οὐσιοποιὸν καὶ ζωοποιὸν, καὶ σοφοδότιν αἰτίαν· τῶν οὐσίας καὶ ζωῆς καὶ νοῦ καὶ λόγου καὶ αἰσθήσεως μετειληφότων· οὐκ ἄλλο δὲ εἶναι τἀγαθόν φησι καὶ ἄλλο τὸ ὄν, καὶ ἄλλο τὴν ζωὴν, ἢ τὴν σοφίαν· οὐδὲ πολλὰ τὰ αἴτια καὶ ἄλλων καὶ ἄλλας παρακτικὰς θεότητας, ὑπερεχούσας καὶ ὑφειμένας, ἀλλ' ἑνὸς

θεοῦ τὰς ὅλας ἀγαθὰς προόδους. καὶ τὰς παρ' ἡμῶν ἐξυμνουμένας θεωνυμίας. καὶ τὴν μὲν εἶναι τῆς παντελοῦς τοῦ ἑνὸς θεοῦ προνοίας ἐκφαντικήν, τὰς δὲ τῶν ὁλικωτέρων τοῦ αὐτοῦ καὶ μερικωτέρων.

Καίτοι φαίη τις ἂν διὰ τί, τοῦ ὄντος τὴν ζωὴν, καὶ τῆς ζωῆς τὴν σοφίαν ὑπερεκτεινομένης. τῶν ὄντων μὲν τὰ ζῶντα. τῶν δὲ ὅσα ζῇ τὰ αἰσθητικὰ, καὶ τούτων τὰ λογικὰ, καὶ τῶν λογικῶν. οἱ νόες ὑπερέχουσι καὶ περὶ θεόν εἰσι, καὶ μᾶλλον αὐτῷ πλησιάζουσι. καίτοι ἔδει τὰ τῶν μειζόνων ἐκ θεοῦ δωρεῶν μετέχοντα, καὶ κρείττονα εἶναι, καὶ τῶν λοιπῶν ὑπερέχειν. Ἀλλ' εἰ μὲν ἀνούσια καὶ ἄζωα τις ὑπετίθετο τὰ νοερά. καλῶς ἂν εἶχεν ὁ λόγος. εἰ δὲ καὶ εἰσὶν οἱ θεῖοι νόες ὑπὲρ τὰ λοιπὰ ὄντα, καὶ ζῶσιν ὑπὲρ τὰ ἄλλα ζῶντα καὶ νοοῦσι καὶ γινώσκουσιν ὑπὲρ αἴσθησιν καὶ λόγον καὶ παρὰ πάντα τὰ ὄντα τοῦ καλοῦ καὶ ἀγαθοῦ ἐφίενται καὶ μετέχουσιν. αὐτοὶ μᾶλλόν εἰσι περὶ τἀγαθόν. οἱ περισσῶς αὐτοῦ μετέχοντες καὶ πλείους καὶ μείζους ἐξ αὐτοῦ δωρεὰς εἰληφότες, ὥσπερ καὶ τὰ λογικὰ τῶν αἰσθητικῶν ὑπερέχει. πλεονεκτοῦντα τῇ περιουσίᾳ τοῦ λόγου. καὶ ταῦτα τῇ αἰσθήσει. καὶ ἄλλα τῇ ζωῇ. καὶ ἔστιν ὡς οἶμαι τοῦτο ἀληθές. ὅτι τὰ μᾶλλον τοῦ ἑνὸς καὶ ἀπειροδώρου θεοῦ μετέχοντα. μᾶλλον εἰσὶν αὐτῷ πλησιαίτερα, καὶ θειότερα τῶν ἀπολειπομένων.

Ἐπειδὴ καὶ περὶ τούτων εἴπομεν. φέρε τἀγαθὸν ὡς ὄντως ὂν καὶ τῶν ὄντων ἁπάντων οὐσιοποιὸν



ἀνυμνήσωμεν. ὁ ὢν, ὅλου τοῦ εἶναι κατὰ δύναμιν ὑπερούσιός ἐστιν ὑποστάτης αἰτία καὶ δημιουργὸς ὄντος ὑπάρξεως. ὑποστάσεως. οὐσίας. φύσεως. ἀρχὴ καὶ μέτρον αἰώνων καὶ χρόνων. ὀντότης, καὶ αἰὼν τῶν ὄντων. χρόνος τῶν γιγνομένων, τὸ εἶναι τοῖς ὁπωσοῦν οὖσι, γένεσις τοῖς ὁπωσοῦν γιγνομένοις, ἐκ τοῦ ὄντος. αἰὼν καὶ οὐσία καὶ ὂν καὶ χρόνος καὶ γένεσις, καὶ γιγνόμενον. τὰ ἐν τοῖς οὖσιν ὄντα, καὶ τὰ ὁπωσοῦν ὑπάρχοντα, καὶ ὑφεστῶτα.

Καὶ γὰρ ὁ θεὸς οὐ πῶς ἐστιν ὢν, ἀλλ' ἁπλῶς καὶ ἀπεριορίστως, ὅλον ἐν ἑαυτῷ τὸ εἶναι συνειληφὼς καὶ προειληφώς. διὸ καὶ βασιλεὺς λέγεται τῶν αἰώνων. ὡς ἐν αὐτῷ καὶ περὶ αὐτὸν παντὸς τοῦ εἶναι. καὶ ὄντος καὶ ὑφεστηκότος, καὶ οὔτε ἦν, καὶ οὔτε ἔσται, οὔτε ἐγένετο, οὔτε γίγνεται, οὔτε γενήσεται. μᾶλλον δὲ οὔτε ἐστίν. ἀλλὰ αὐτός ἐστι τὸ εἶναι τοῖς οὖσι. καὶ οὐ τὰ ὄντα μόνον. ἀλλὰ καὶ αὐτὸ τὸ εἶναι τῶν ὄντων, ἐκ τοῦ προαιωνίως ὄντος. αὐτὸς γάρ ἐστιν ὁ αἰὼν τῶν αἰώνων. ἀναλαβόντες οὖν εἴπωμεν ὅτι πᾶσι τοῖς οὖσι καὶ τοῖς αἰῶσι τὸ εἶναι παρὰ τοῦ προόντος. καὶ πᾶς μὲν αἰὼν καὶ χρόνος ἐξ αὐτοῦ, παντὸς δὲ καὶ αἰῶνος καὶ χρόνου, καὶ παντὸς ὁπωσοῦν ὄντος, ὁ προὼν ἀρχὴ καὶ αἰτία. καὶ πάντα αὐτοῦ μετέχει. καὶ οὐδενὸς τῶν ὄντων ἀποστατεῖ. καὶ αὐτός ἐστι πρὸ πάντων. καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκεν. καὶ ἁπλῶς εἴ τι ὁπωσοῦν ἐστιν, ἐν τῷ προόντι καὶ ἔστιν καὶ ἐννοεῖται, καὶ σώζεται. καὶ

πρὸ τῶν ἄλλων αὐτοῦ μετοχῶν, τὸ εἶναι προβέβληται. καὶ ἔστιν αὐτὸ καθ' αὑτὸ τὸ εἶναι πρεσβύτερον τοῦ αὐτοζωὴν εἶναι, καὶ αὐτοσοφίαν εἶναι καὶ αὐτοομοιότητα θείαν εἶναι, καὶ τὰ ἄλλα ὅσων τὰ ὄντα μετέχοντα, πρὸ πάντων αὐτῶν τοῦ εἶναι μετέχει. μᾶλλον δὲ καὶ αὐτὰ καθ' αὑτὰ πάντα ὧν τὰ ὄντα μετέχει, τοῦ αὐτὸ καθ' αὑτὸ εἶναι μετέχει· καὶ οὐδέν ἐστιν ὄν, οὗ μή ἐστιν οὐσία καὶ αἰὼν τοῦ αὐτὸ εἶναι. πάντων οὖν εἰκότως τῶν ἄλλων ἀρχηγικώτερον ὡς ὢν ὁ θεὸς ἐκ τῆς πρεσβυτέρας τῶν ἄλλων αὐτοῦ δωρεῶν ὑμνεῖται. καὶ γὰρ τὸ προεῖναι καὶ ὑπερεῖναι προέχων καὶ ὑπερέχων τὸ εἶναι, πᾶν αὐτό φημι καθ' αὑτὸ τὸ εἶναι προϋπεστήσατο, καὶ τῷ εἶναι αὐτὸ πᾶν τὸ ὁπωσοῦν ὂν ὑπεστήσατο.

Καὶ γοῦν αἱ ἀρχαὶ τῶν ὄντων πᾶσαι, τοῦ εἶναι μετέχουσαι, καὶ εἰσί· καὶ ἀρχαί εἰσιν, καὶ πρῶτόν εἰσιν. ἔπειτα ἀρχαί εἰσιν, καὶ εἰ βούλει τῶν ζώντων ὡς ζώντων ἀρχὴν φάναι τὴν αὐτοζωὴν καὶ τῶν ὁμοίων ὡς ὁμοίων τὴν αὐτοομοιότητα. καὶ τῶν ἡνωμένων ὡς ἡνωμένων τὴν αὐτοένωσιν. καὶ τῶν τεταγμένων ὡς τεταγμένων τὴν αὐτοτάξιν, καὶ τῶν ἄλλων ὅσα τοῦδε, ἢ τοῦδε, ἢ ἀμφοτέρων, ἢ πολλῶν μετέχοντα. τόδε, ἢ τόδε, ἢ ἀμφότερα, ἢ πολλά ἐστι τὰς αὐτομετοχὰς εὑρήσεις, τοῦ εἶναι πρῶτον αὐτὰς μετεχούσας, καὶ τῷ εἶναι πρῶτον μενούσας ἔπειτα τοῦδε ἢ τοῦδε ἀρχὰς οὔσας, καὶ τὸ μετέχειν τοῦ



εἶναι καὶ οὔσας καὶ μετεχομένας.

Εἰ δὲ ταῦτα τῇ μετοχῇ τοῦ εἶναί ἐστι. πολλῷ γε μᾶλλον τὰ αὐτῶν μετέχοντα. πρώτην οὖν τὴν τοῦ αὐτοεῖναι δωρεάν, ἡ αὐτοῦ ὑπεραγαθότης προβαλλομένη τῇ πρεσβυτέρᾳ πρώτῃ τῶν μετεχόντων ὑμνεῖται. καὶ ἔστιν ἐξ αὐτῆς καὶ ἐν αὐτῇ καὶ αὐτὸ τὸ εἶναι καὶ αἱ τῶν ὄντων ἀρχαί. καὶ τὰ ὄντα πάντα καὶ τὰ ὁπωσοῦν εἶναι τῷ διακρατούμενα. καὶ τοῦτο ἀσχέτως καὶ συνειλημμένως καὶ ἑνιαίως. καὶ γὰρ ἐν μονάδι πᾶς ἀριθμὸς ἑνοειδῶς προϋφέστηκεν. καὶ ἔχει πάντα ἀριθμὸν ἡ μονὰς ἐν ἑαυτῇ μοναχῶς. καὶ πᾶς ἀριθμὸς ἥνωται μὲν ἐν τῇ μονάδι. καθ' ὅσον δὲ τῆς μονάδος πρόεισι. κατὰ τοσοῦτον διακρίνεται καὶ πληθύνεται. καὶ ἐν κέντρῳ πᾶσαι αἱ τοῦ κύκλου γραμμαὶ κατὰ μίαν ἕνωσιν συνυφεστήκασιν. καὶ πάσας ἔχει τὸ σημεῖον ἐν ἑαυτῷ τὰς εὐθείας ἑνοειδῶς ἡνωμένας πρός τε ἀλλήλας καὶ πρὸς τὴν μίαν ἀρχὴν ἀφ' ἧς προῆλθον. καὶ ἐν αὐτῷ μὲν τῷ κέντρῳ παντελῶς ἥνωνται. βραχὺ δὲ αὐτοῦ διαστᾶσαι, βραχὺ δὲ καὶ διακρίνονται. μᾶλλον δὲ ἀποστᾶσαι μᾶλλον καὶ ἁπλῶς καθ' ὅσον τῷ κέντρῳ πλησιαίτεραί εἰσιν κατὰ τοσοῦτον καὶ αὐτῷ καὶ ἀλλήλαις ἥνωνται. καὶ καθ' ὅσον αὐτοῦ, καὶ κατὰ τοσοῦτον καὶ ἀλλήλων διεστήκασιν.

Ἀλλὰ καὶ ἐν τῇ ὅλῃ τῶν ὅλων φύσει πάντες οἱ τῆς καθ' ἕκαστον φύσεως λόγοι, συνειλημμένοι εἰσὶν κατὰ μίαν ἀσύγχυτον ἕνωσιν· καὶ ἐν τῇ ψυχῇ μονοειδῶς αἱ τῶν κατὰ μέρος πάντων προνοητικαὶ τοῦ ὅλου σώματος δυνάμεις· οὐδὲν οὖν ἄτοπον ἐξ ἀμυδρῶν εἰκόνων· ἐπὶ τὸ πάντων αἴτιον ἀναβάντας ὑπερκοσμίοις ὀφθαλμοῖς θεωρῆσαι πάντα ἐν τῷ πάντων αἰτίῳ, καὶ τὰ ἀλλήλοις ἐναντία, μονοειδῶς καὶ ἡνωμένως· ἀρχὴ γάρ ἐστιν τῶν ὄντων ἀφ' ἧς, καὶ αὐτὸ τὸ εἶναι, καὶ πάντα τὰ ὁπωσοῦν ὄντα, πᾶσα ἀρχή, πᾶν πέρας· πᾶσα ζωή· πᾶσα ἀθανασία· πᾶσα σοφία· πᾶσα τάξις· πᾶσα ἁρμονία· πᾶσα δύναμις· πᾶσα φρουρά· πᾶσα ἵδρυσις· πᾶσα διανομή· πᾶσα νόησις· πᾶς λόγος· πᾶσα αἴσθησις· πᾶσα ἕξις· πᾶσα στάσις· πᾶσα κίνησις· πᾶσα ἕνωσις· πᾶσα κρᾶσις· πᾶσα φιλία· πᾶσα ἐφαρμογή· πᾶσα διάκρισις· πᾶς ὅρος, καὶ τὰ ἄλλα ὅσα τῷ εἶναι ὄντα· τὰ ὄντα πάντα χαρακτηρίζει, καὶ ἐκ τῆς αὐτῆς πάντων αἰτίας αἱ νοηταὶ καὶ νοεραὶ τῶν θεοειδῶν ἀγγέλων οὐσίαι· καὶ αἱ τῶν ψυχῶν· καὶ τοῦ παντὸς κόσμου φύσεις, καὶ τὰ ὁπωσοῦν ἢ ἐν ἑτέροις ὑπάρχειν, ἢ κατ' ἐπίνοιαν εἶναι λεγόμενα.

Καὶ γοῦν αἱ πανάγιαι καὶ πρεσβύταται δυνάμεις ὄντως οὖσαι· καὶ οἷον ἐν προθύροις τῆς ὑπερουσίου τριάδος ἱδρυμέναι πρὸς αὐτῆς καὶ ἐν αὐτῇ καὶ ἐν τῷ εἶναι, καὶ τὸ θεοειδῶς ἔχουσι· καὶ μετ' ἐκείνας αἱ ὑφειμέναι· τὸ ὑφειμένως, καὶ αἱ ἔσχαται τὸ



ἐσχάτως· ὡς πρὸς ἀγγέλους· ὡς πρὸς ἡμᾶς δὲ ὑπερκοσμίως· καὶ αἱ ψυχαί, καὶ τὰ ἄλλα πάντα ὄντα κατὰ τὸν αὐτὸν λόγον, καὶ τὸ εἶναι καὶ τὸ εὖ εἶναι ἔχει καὶ ἔστι, καὶ εὖ ἐστιν· ἐκ τοῦ προόντος τὸ εἶναι καὶ τὸ εὖ εἶναι ἔχοντα· καὶ ἐν αὐτῷ καὶ ὄντα καὶ εὖ ὄντα· καὶ ἐξ αὐτοῦ ἀρχόμενα, καὶ ἐν αὐτῷ φρουρούμενα, καὶ εἰς αὐτὸν περατούμενα· καὶ τὰ μὲν πρεσβεῖα τοῦ εἶναι νέμει ταῖς κρείττοσιν οὐσίαις, ἃς καὶ αἰωνίας καλεῖ τὰ λόγια.

Τὸ δὲ εἶναι αὐτό· τῶν ὄντων πάντων οὐδέποτε ἀπολείπεται· καὶ αὐτὸς δὲ τὸ εἶναι, ἐκ τοῦ προόντος, καὶ αὐτοῦ ἐστιν τὸ εἶναι· καὶ οὐκ αὐτὸς τοῦ εἶναι· καὶ ἐν αὐτῷ ἐστιν τὸ εἶναι· καὶ οὐκ αὐτὸς ἐν τῷ εἶναι· καὶ αὐτὸν ἔχει τὸ εἶναι, καὶ οὐκ αὐτὸς ἔχει τὸ εἶναι· καὶ αὐτός ἐστιν τοῦ εἶναι, καὶ αἰὼν καὶ ἀρχὴ καὶ μέτρον προουσίας ὤν· καὶ ὄντος καὶ αἰῶνος· καὶ πάντων οὐσιοποιὸς ἀρχή, καὶ μεσότης καὶ τελευτή· καὶ διὰ τοῦτο πρὸς τῶν λογίων ὁ ὄντως προὼν κατὰ πᾶσαν τῶν ὄντων ἐπίνοιαν πολλαπλασιάζεται· καὶ τὸ ἦν, ἐπ' αὐτοῦ καὶ τὸ ἔστι, καὶ τὸ ἔσται· καὶ τὸ ἐγένετο καὶ γίνεται· καὶ γενήσεται κυρίως ὑμνεῖται. Ταῦτα γὰρ πάντα τοῖς θεοπρεπῶς νοοῦσι· τὸ κατὰ πᾶσαν αὐτὸν ἐπίνοιαν ὑπερουσίως εἶναι σημαίνει· καὶ τῶν πανταχῶς ὄντων αἴτιον. καὶ γὰρ οὐ τόδε μέν ἐστιν· τόδε δὲ οὐκ ἔστιν· ἀλλὰ πάντα ἐστί, ὡς πάντων αἴτιος· καὶ ἐν ἑαυτῷ πάσας ἀρχὰς πάντα συμπεράσματα, πάντων τῶν ὄντων συνέ-

χων καὶ προέχων· καὶ ὑπὲρ τὰ πάντα ἐστίν, ὡς πρὸ πάντων ὑπερουσίως ὑπερών· διὸ καὶ πάντα αὐτοῦ καὶ ἅμα κατηγορεῖται· καὶ οὐδέν ἐστι τῶν πάντων· πανσχήμων· πανείδεος· ἄμορφος· ἀκαλλής· ἀρχὰς καὶ μέσα, καὶ τέλη τῶν ὄντων, ἀσχέτως καὶ ἐξῃρημένως ἐν ἑαυτῷ προειληφώς, καὶ πᾶσι τῷ εἶναι κατὰ μίαν καὶ ὑπερηνωμένην αἰτίαν ἀχράντως ἐπιλάμπων·

Εἰ γὰρ ὁ καθ᾽ ἡμᾶς ἥλιος, τὰς τῶν αἰσθητῶν οὐσίας καὶ ποιότητας, καίτοι πολλὰς καὶ διαφόρους οὔσας· ὅμως αὐτὸς εἷς ὢν καὶ μονοειδῶς ἐπιλάμπων φῶς ἀνανεοῖ καὶ τρέφει καὶ φρουρεῖ, καὶ τελειοῖ, καὶ διακρίνει καὶ ἑνοῖ· καὶ ἀναθάλπει· καὶ γόνιμα εἶναι ποιεῖ· καὶ αὔξει, καὶ ἐξαλλάττει καὶ ἐνιδρύει καὶ ἐκφύει, καὶ ἀνακινεῖ καὶ ζωοῖ πάντα· καὶ τῶν ὅλων ἕκαστον οἰκείως ἑαυτῷ τοῦ αὐτοῦ καὶ ἑνὸς ἡλίου μετέχει, καὶ τὰς τῶν πολλῶν μετεχόντων ὁ εἷς ἥλιος αἰτίας ἐν ἑαυτῷ μονοειδῶς προείληφεν· πολλῷ γε μᾶλλον ἐπὶ τῆς καὶ αὐτοῦ καὶ πάντων αἰτίας, προϋφεστάναι τὰ πάντων τῶν ὄντων παραδείγματα κατὰ μίαν ὑπερούσιον ἕνωσιν συγχωρητέον· ἐπεὶ καὶ οὐσίας παράγει· κατὰ τὴν ἀπὸ οὐσίας ἔκβασιν· παραδείγματα δέ φαμεν εἶναι, τοὺς ἐν θεῷ τῶν ὄντων οὐσιοποιοὺς καὶ ἑνιαίως προϋφεστῶτας λόγους, οὓς ἡ θεολογία προορισμοὺς καλεῖ· καὶ θεῖα καὶ ἀγαθὰ θελήματα· τῶν ὄντων ἀφοριστικὰ καὶ ποιητικά, καθ᾽ οὓς ὁ ὑπερούσιος τὰ ὄντα πάντα καὶ προώρισεν καὶ παρήγαγεν·



Εἰ δὲ ὁ φιλόσοφος ἀξιοῖ Κλήμης καὶ πρός τι παραδείγματα λέγεσθαι, τὰ ἐν τοῖς οὖσιν ἀρχηγικώτερα· πρόεισι μέν, οὐ διὰ κυρίων καὶ παντελῶν καὶ ἁπλῶν ὀνομάτων ὁ λόγος αὐτῷ· συγχωροῦντας δὲ καὶ τοῦτο ὀρθῶς λέγεσθαι· τῆς θεολογίας μνημονευτέον φασκούσης· ὅτι οὐ παρέδειξά σοι αὐτὰ τοῦ πορεύεσθαι ὀπίσω αὐτῶν, ἀλλ᾽ ἵνα διὰ τῆς τούτων ἀναλογικῆς γνώσεως ἐπὶ τὴν πάντων αἰτίαν ὡς οἷοί τε ἐσμὲν ἀναχθῶμεν· πάντα οὖν αὐτῇ τὰ ὄντα κατὰ μίαν τὴν πάντων ἐξῃρημένην ἕνωσιν ἀναθετέον· ἐπείπερ ἀπὸ τοῦ εἶναι τῆς οὐσιοποιοῦ προόδου καὶ ἀγαθότητος ἀρξαμένη, καὶ διὰ πάντων φοιτῶσα, καὶ πάντα ἐξ ἑαυτῆς τοῦ εἶναι πληροῦσα, καὶ ἐπὶ πᾶσι τοῖς οὖσιν ἀγαλλομένη· πάντα μὲν ἐν ἑαυτῇ προέχει, κατὰ μίαν ἁπλότητος ὑπερβολὴν πᾶσαν διπλόην ἀπαναινομένη, πάντα δὲ ὡσαύτως περιέχει· κατὰ τὴν ὑπερηπλωμένην αὐτῆς ἀπειρίαν, καὶ πρὸς πάντων ἑνικῶς μετέχεται· καθάπερ καὶ φωνὴ μία οὖσα καὶ ἡ αὐτὴ πρὸς πολλῶν ἀκοῶν ὡς μία μετέχεται· πάντων οὖν ἀρχὴ καὶ τελευτὴ τῶν ὄντων ὁ προών· Ἀρχὴ μὲν ὡς αἴτιος· τέλος δέ, ὡς τοῦ ἕνεκα· καὶ πέρας πάντων· καὶ ἀπειρία πάσης ἀπειρίας καὶ πέρατος ὑπεροχικῶς τῶν ὡς ἀντικειμένων· ἐν ἑνὶ γὰρ ὡς πολλάκις εἴρηται τὰ ὄντα πάντα καὶ προέχει καὶ ὑπέστησεν· παρὼν τοῖς πᾶσιν καὶ πανταχοῦ· καὶ κατὰ ἕν· καὶ τὸ αὐτό, καὶ κατὰ τὸ αὐτὸ πᾶν καὶ ἐπὶ πάντα προϊών, καὶ μένων ἐφ᾽ ἑαυτοῦ, καὶ ἑστὼς καὶ κινούμενος καὶ οὔτε ἑστώς,

οὔτε κινούμενος, οὔτε ἀρχὴν ἔχων, ἢ μέσον, ἢ τελευτήν· οὔτε ἔν τινι τῶν ὄντων, οὐδέ τι τῶν ὄντων ὤν. καὶ οὔτε ὅλως αὐτῷ προσήκει τι τῶν αἰωνίως ὄντων, ἢ τῶν χρονικῶς ὑφισταμένων. ἀλλὰ καὶ χρόνου καὶ αἰῶνος, καὶ τῶν ἐν αἰῶνι, καὶ τῶν ἐν χρόνῳ πάντων ἐξῄρηται. διὸ καὶ αὐτὸ αἰὼν καὶ τὰ ὄντα καὶ τὰ μέτρα τῶν ὄντων, καὶ τὰ μετρούμενα· δι᾽ αὐτοῦ, καὶ ἀπ᾽ αὐτοῦ, ἀλλὰ περὶ μὲν οὖν τούτων ἐν ἄλλοις εὐκαιρότερον εἰρήσθω.

## ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

### Περὶ ζωῆς.

Νῦν δὲ ὑμνητέον ἡμῖν τὴν ζωὴν τὴν αἰώνιον· ἐξ ἧς ἡ αὐτοζωή, καὶ πᾶσα ζωή· καὶ ὑφ᾽ ἧς, εἰς πάντα τὰ ὁπωσοῦν ζωῆς μετέχοντα, τὸ ζῆν οἰκείως ἑκάστῳ διανέμεται· καὶ γοῦν, ἡ τῶν ἀθανάτων ἀγγέλων ζωὴ καὶ ἀθανασία, καὶ τὸ ἀνώλεθρον αὐτὸ τῆς ἀγγελικῆς ἀειζωΐας, καὶ ἐξ αὐτῆς καὶ δι᾽ αὐτήν, καὶ ἔστιν καὶ ὑφέστηκεν· διὸ καὶ ζῶντες ἀεί, καὶ ἀθάνατοι λέγονται· καὶ οὐκ ἀθάνατοι πάλιν, ὅτι μὴ παρ᾽ ἑαυτῶν ἔχουσι τὸ ἀθάνατοι εἶναι καὶ αἰωνίως ζῆν· ἀλλ᾽ ἐκ τῆς ζωοποιοῦ καὶ πάσης ζωῆς ποιητικῆς καὶ συνοχικῆς αἰτίας καὶ ὡς ἐπὶ τοῦ ὄντος ἐλέγομεν, ὅτι καὶ τοῦ αὐτὸ εἶναι ἐστὶν αἰών· οὕτω καὶ ἐνθάδε πάλιν, ὅτι καὶ τῆς αὐτοζωῆς ἐστὶν ἡ ὑπὲρ

ζωὴν



ζωὴ ἡ θεία ζωή, ζωτικὴ καὶ ὑποστατική, καὶ πᾶσα ζωὴ καὶ ζωτικὴ κίνησις ἐκ τῆς ζωῆς τῆς ὑπὲρ πᾶσαν ζωὴν καὶ πᾶσαν ἀρχήν, πάσης ζωῆς ἐξ αὐτῆς καὶ αἱ ψυχαὶ τὸ ἀνώλεθρον ἔχουσι· καὶ ζῷα πάντα· καὶ φυτὰ κατὰ ἔσχατον ἀπήχημα τῆς ζωῆς ἔχουσι τὸ ζῆν· ἧς ἀναιρουμένης κατὰ τὸ λόγιον ἐκλείπει πᾶσα ζωή, καὶ πρὸς ἣν πάλιν ἐπιστρεφόμενα· καὶ τὰ ἐκλελοιπότα τῇ πρὸς τὸ μετέχειν αὐτῆς ἀσθενείᾳ, πάλιν ἐπιστρεφόμενα, πάλιν ζῷα γίγνεται· καὶ δωρεῖται μὲν πρώτως ἡ αὐτοζωὴ τὸ εἶναι ζωὴν καὶ πάσῃ ζωῇ· καὶ τῇ καθ᾽ ἕκαστα τὸ εἶναι οἰκείως ἑκάστην ὅ, εἶναι πέφυκεν.

Καὶ ταῖς μὲν ὑπερουρανίαις ζωαῖς τὴν ἄϋλον καὶ θεοειδῆ καὶ ἀναλλοίωτον ἀθανασίαν, καὶ τὴν ἀρρεπῆ καὶ ἀπαρέγκλιτον ἀεικινησίαν, ὑπερεκτεινομένη διὰ περιουσίαν ἀγαθότητος, καὶ εἰς τὴν δαιμονίαν ζωήν· οὐδὲ γὰρ ἐκείνη τὸ εἶναι παρ᾽ ἄλλης αἰτίας· ἀλλ᾽ ἐξ αὐτῆς καὶ τὸ εἶναι ζωή, καὶ τὴν διαμονὴν ἔχει.

Δωρουμένη δὲ καὶ ἀνθρώποις, τὴν ὡς συμμίκτοις, ἐνδεχομένην ἀγγελοειδῆ ζωήν, καὶ ὑπερβλύσει φιλανθρωπίας, καὶ ἀποφοιτῶντας ἡμᾶς εἰς ἑαυτὴν ἐπιστρέφουσα καὶ ἀνακαλουμένη.

Καὶ τὸ δὴ θειότερον ὅτι καὶ ὅλους ἡμᾶς, ψυχάς φημι καὶ συζυγῆ σώματα πρὸς παντελῆ ζωὴν καὶ ἀθανασίαν ἐπήγγελται μεταθήσειν· πρᾶγμα τῇ παλαιότητι μὲν ἴσως παρὰ φύσιν δοκοῦν· ἐμοὶ δὲ σοὶ καὶ τῇ ἀληθείᾳ, καὶ θεῖον καὶ ὑπὲρ φύσιν.

Υπὲρ φύσιν δὲ τὴν καθ' ἡμᾶς φημί, τὴν ὁρωμένην, οὐ τὴν παναγαθὴν τῆς θείας ζωῆς· αὐτὴ γὰρ ὡς πασῶν οὖσα τῶν ζωῶν φύσει, καὶ μάλιστα τῶν θειοτέρων οὐδεμία ζωὴ παρὰ φύσιν, ἢ ὑπὲρ φύσιν.

Ωστε οἱ περὶ τούτου τῆς παρανοίας Σίμωνος ἀντίρρητικοὶ λόγοι· πόρρω θείου χοροῦ καὶ τῆς σῆς ἱερᾶς ψυχῆς ἀπεληλάσθωσαν. ἔλαθεν γὰρ αὐτόν, ὡς οἶμαι καὶ ταῦτα σοφὸν οἰόμενον εἶναι, τὸ μὴ δεῖν τὸν εὖ φρονοῦντα τῷ προφανεῖ τῆς αἰσθήσεως λόγῳ συμμάχῳ χρῆσθαι, κατὰ τῆς πάντων ἀφανοῦς αἰτίας· καὶ τοῦτό ἐστι ῥητέον αὐτῷ τὸ παρὰ φύσιν εἰπεῖν· αὐτῇ γὰρ οὐδὲν ἐναντίον, ἐξ αὐτῆς ζωοῦται, καὶ περιβάλλεται· καὶ ζῶα πάντα καὶ φυτά, καὶ εἴτε νοερὰν εἴποι εἴτε λογικήν, εἴτε αἰσθητικήν, εἴτε θρεπτικήν, καὶ αὐξητικήν, εἴτε ὁποίαν ποτὲ ζωήν, ἢ ζωῆς ἀρχήν, ἢ ζωῆς, οὐσίαν, ἐξ αὐτῆς καὶ ζῇ καὶ ζωοῖ, τῆς ὑπὲρ πᾶσαν ζωήν· καὶ ἐν αὐτῇ κατ' αἰτίαν ἑνοειδῶς προϋφέστηκεν· ἡ γὰρ ὑπέρζωος καὶ ζωαρχικὴ ζωή, καὶ πάσης ζωῆς ἐστιν αἰτία· καὶ ζωογόνος, καὶ ἀποπληρωτική, καὶ διαιρετικὴ ζωῆς, καὶ ἐκ πάσης ζωῆς ὑμνητέα· κατὰ τὴν πολυγονίαν τῶν πασῶν ζωῶν, ὡς παντοδαπή. καὶ πᾶσα ζωὴ θεωρουμένη καὶ ὑμνουμένη· καὶ ὡς ἀνενδεής, μᾶλλον δὲ ὑπερπλήρης ζωῆς, αὐτόζως· καὶ ὡς ὑπὲρ πᾶσαν ζωὴν ζωοποιός, καὶ ὑπέρζως ἢ ὅπως ἄν τις τὴν ζωὴν τὴν ἄφθεγκτον ἀνθρωπικῶς ἀνυμνήσοι.



## ΚΕΦΑΛΑΙΟΝ Ζ.

### Περὶ σοφίας, νοῦ, λόγου, ἀληθείας, πίστεως.

Φ

Ερε δὲ εἰ δοκεῖ τὴν ἀληθῆ καὶ αἰωνίαν ζωήν, καὶ ὡς σοφὴν καὶ ὡς αὐτοσοφίαν ὑμνῶμεν· μᾶλλον δὲ ὡς πάσης σοφίας ὑποστατικήν, καὶ ὑπὲρ πᾶσαν σοφίαν καὶ σύνεσιν ὑπεροῦσαν. οὐ γὰρ μόνον ὁ θεὸς ὑπερπλήρης ἐστὶ σοφίας, καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός. ἀλλὰ παντὸς λόγου καὶ νοῦ καὶ σοφίας ὑπερίδρυται. καὶ τοῦτο ὑπερφυῶς ἐννοήσας ὁ θεῖος ὄντως ἀνήρ, ὁ κοινὸς ἡμῶν καὶ τοῦ καθηγεμόνος ἥλιος, τὸ μωρὸν τοῦ θεοῦ σοφώτερον τῶν ἀνθρώπων φησίν· οὐ μόνον ὅτι πᾶσα ἀνθρωπίνη διάνοια πλάνη τίς ἐστιν κρινομένη πρὸς τὸ σταθερὸν καὶ μόνιμον τῶν θείων καὶ τελειοτάτων νοήσεων. ἀλλ' ὅτι καὶ συνηθές ἐστι τοῖς θεολόγοις· ἀντιπεπονθότως ἐπὶ θεοῦ τὰ τῆς στερήσεως ἀποφάσκειν. οὕτω καὶ ἀόρατόν φασι τὰ λόγια τὸ παμφαὲς φῶς, καὶ τὸν πολυύμνητον, καὶ πολυώνυμον· ἄρρητον καὶ ἀνώνυμον, καὶ τὸν πᾶσι παρόντα· καὶ ἐκ πάντων εὑρισκόμενον· ἀκατάληπτον καὶ ἀνεξιχνίαστον· τοῦτον δὴ τὸν τρόπον καὶ νῦν ὁ θεῖος ἀπόστολος ὑμνῆσαι λέγεται μωρίαν θεοῦ, τὸ φαινόμενον ἐν αὐτῇ παράλογον καὶ ἄτοπον· εἰς τὴν ἄρρητον καὶ πρὸ λόγου παντὸς ἀναγαγὼν ἀλήθειαν.

Ἀλλ' ὅπερ ἐν ἄλλοις ἔφην, οἰκείως ἡμῖν τὰ ὑπὲρ ἡμᾶς παραλαμβάνοντες, καὶ τῷ συντρόφῳ τῶν αἰσθήσεων ἐνειλούμενοι, καὶ τοῖς καθ' ἡμᾶς τὰ θεῖα παραβάλλοντες ἀπατώμεθα, κατὰ τὸ φαινόμενον τὸν θεῖον καὶ ἀπόρρητον λόγον μετιόντες. δέον εἰδέναι τὸν καθ' ἡμᾶς νοῦν τὴν μὲν ἔχειν δύναμιν εἰς τὸ νοεῖν, δι' ἧς τὰ νοητὰ βλέπει· τὴν δὲ ἕνωσιν ὑπεραίρουσαν τὴν νοῦ φύσιν, δι' ἧς συνάπτεται πρὸς τὰ ἐπέκεινα ἑαυτοῦ.

Κατὰ ταύτην οὖν τὰ θεῖα νοητέον, οὐ καθ' ἡμᾶς· ἀλλ' ὅλους ἑαυτοὺς ὅλων ἑαυτῶν ἐξισταμένους, καὶ ὅλους θεοῦ γιγνομένους. κρεῖττον γὰρ εἶναι θεοῦ, καὶ μὴ ἑαυτῶν. οὕτω γὰρ ἔσται τὰ θεῖα δοτὰ τοῖς μετὰ θεοῦ γινομένοις.

Ταύτην οὖν τὴν ἄλογον καὶ ἄνουν καὶ μωρὰν σοφίαν, ὑπεροχικῶς ὑμνοῦντες εἴπωμεν. ὅτι παντός ἐστι νοῦ καὶ λόγου καὶ πάσης σοφίας καὶ συνέσεως αἰτία. καὶ αὐτῆς ἐστι πᾶσα βουλή. καὶ παρ' αὐτῆς πᾶσα γνῶσις καὶ σύνεσις. καὶ ἐν αὐτῇ πάντες οἱ θησαυροὶ τῆς γνώσεως καὶ τῆς σοφίας ἀπόκρυφοι. καὶ γὰρ ἑπομένως τοῖς ἤδη προειρημένοις ἡ ὑπέρσοφος αἰτία, καὶ τῆς αὐτοσοφίας καὶ τῆς ὅλης καὶ τῆς καθ' ἕκαστόν ἐστιν ὑποστάτις. ἐξ αὐτῆς αἱ νοηταὶ καὶ νοεραὶ τῶν ἀγγελικῶν νόων δυνάμεις, τὰς ἁπλᾶς καὶ μακαρίας ἔχουσιν νοήσεις. οὐκ ἐν μεριστοῖς ἢ ἀπὸ μεριστῶν, ἢ αἰσθήσεων, ἢ λόγων διεξοδικῶν συνάγουσαι τὴν θείαν γνῶσιν. οὐδὲ ὑπό τινος κοινοῦ πρὸς ταῦτα, συνεχόμεναι, παντὸς δὲ ὑλικοῦ καὶ πλήθους καθαρεύουσαι νοερῶς, ἀΰλως, ἑνοειδῶς τὰ νοητὰ τῶν θείων νοοῦσι. καὶ ἔστιν αὐταῖς ἡ νοερὰ δύναμις καὶ ἐνέργεια. τῇ ἀμιγεῖ καὶ ἀχράντῳ καθαρότητι καταγλαϊζομένη. καὶ συνοπτικὴ τῶν θείων νοήσεων, ἀμερείᾳ καὶ ἀϋλίᾳ καὶ τῷ θεοειδῶς ἑνιαίῳ πρὸς τὸν θεῖον καὶ ὑπέρσοφον καὶ νοῦν καὶ λόγον, ὡς ἐφικτὸν ἀποτυπουμένη διὰ τὴν θείαν σοφίαν. Καὶ ψυχαὶ τὸ λογικὸν ἔχουσι. διεξοδικῶς μὲν καὶ κύκλῳ περὶ τὴν τῶν ὄντων ἀλήθειαν περιφερόμεναι καὶ τῷ μεριστῷ καὶ παντοδαπῷ τῆς ποικιλίας ἀπολειπόμεναι τῶν ἑνιαίων νόων. τῇ δὲ τῶν πολλῶν εἰς τὸ ἓν συνελίξει, καὶ τῶν ἰσαγγέλων νοήσεων. ἐφ' ὅσον ψυχαῖς οἰκεῖον καὶ ἐφικτὸν ἀξιούμεναι. ἀλλὰ καὶ τὰς αἰσθήσεις αὐτὰς, οὐκ ἄν τις ἁμάρτοι σοφίας ἀπήχημα φήσας.

Καίτοι καὶ ὁ δαιμόνιος νοῦς, ᾗ νοῦς, ἐξ αὐτῆς ἐστι. καθ' ὅσον δὲ νοῦς ἐστιν ἠλογημένος τυχεῖν οὗ ἐφίεται, μὴ εἰδὼς μήτε βουλόμενος, ἔκπτωσιν σοφίας κυριώτερον αὐτὸν προσρητέον. ἀλλ' ὅτι μὲν σοφίας αὐτῆς καὶ πάσης, καὶ νοῦ παντὸς καὶ λόγου καὶ αἰσθήσεως πάσης ἡ θεία σοφία, καὶ ἀρχὴ καὶ αἰτία καὶ ὑποστάτις καὶ τελείωσις καὶ φρουρὰ καὶ πέρας εἴρηται. πῶς δὲ αὐτὸς ὁ θεὸς ὁ ὑπέρσοφος, σοφία καὶ νοῦς καὶ λόγος καὶ γνώστης ὑμνεῖται. πῶς γὰρ νοήσει τι τῶν νοητῶν οὐκ ἔχων νοερὰς ἐνεργείας. ἢ πῶς γνώσεται τὰ αἰσθητά, πάσης αἰσθ

θέως ὑπεριδρυμένως. καίτοι πάντα αὐτὸν εἰδέναι
φησὶ τὰ λόγια. καὶ οὐδὲν διαφεύγειν τὴν θείαν γνῶ-
σιν. ἀλλ' ὅπερ ἔφην πολλάκις τὰ θεῖα θεοπρεπῶς νοη-
τέον. τὸ γὰρ ἄνουν καὶ ἀναίσθητον. καθ' ὑπεροχὴν,
οὐ κατ' ἔλλειψιν ἐπὶ θεοῦ τακτέον. ὥσπερ καὶ τὸ ἄ-
λογον ἀνατίθεμεν τῷ ὑπὲρ λόγον, καὶ τὴν ἀτέλειαν
τῷ ὑπερτελεῖ καὶ προτελείῳ. καὶ τὸν ἀναφῆ καὶ ἀόρα-
τον γνόφον, τῷ φωτὶ τῷ ἀπροσίτῳ, καθ' ὑπεροχὴν
ὁρατοῦ φωτός. Ὥστε ὁ θεῖος νοῦς πάντα συνέ-
χει. τῇ πάντων ἐξῃρημένῃ γνώσει κατὰ τὴν πάντων
αἰτίαν ἐν ἑαυτῷ τὴν πάντων εἴδησιν προειληφὼς,
πρὶν ἀγγέλους γενέσθαι. εἰδὼς, καὶ παράγων ἀγγέ-
λους. καὶ πάντα τὰ ὄντα ἔνδοθεν καὶ ἀπ' αὐτῆς,
ἵν' οὕτως εἴπω τῆς ἀρχῆς εἰδὼς, καὶ εἰς οὐσίαν ἄγων.
καὶ τοῦτο οἶμαι παραδιδόναι τὸ λόγιον ὁπόταν
φησὶν ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν.
Οὐ γὰρ ἐκ τῶν ὄντων τὰ ὄντα μανθάνων οἶδεν ὁ θεῖος
νοῦς, ἀλλ' ἐξ αὐτοῦ καὶ ἐν ἑαυτῷ κατ' αἰτίαν τὴν πάν-
των εἴδησιν καὶ γνῶσιν καὶ οὐσίαν προέχει καὶ προ-
συνείληφεν. οὐ κατ' ἰδέαν ἑκάστοις ἐπιβάλλων. ἀλ-
λὰ κατὰ μίαν τῆς αἰτίας περιοχὴν, τὰ πάντα εἰ-
δὼς καὶ συνέχων ὥσπερ καὶ τὸ φῶς κατ' αἰτίαν
ἐν ἑαυτῷ τὴν εἴδησιν τοῦ σκότους προείληφε. οὐκ
ἄλλοθεν εἰδὼς τὸ σκότος ἢ ἀπὸ φωτός.
Ἑαυτὴν οὖν, ἡ θεία σοφία γινώσκουσα, γνώσεται
πάντα ἀΰλως τὰ ὑλικὰ, καὶ ἀμερίστως τὰ μερι-
στά. καὶ τὰ πολλὰ ἑνιαίως. αὐτῷ τῷ ἑνὶ τὰ πάντα.



καὶ γινώσκουσα καὶ παράγουσα. καὶ γὰρ εἰ κατὰ
μίαν αἰτίαν ὁ θεὸς πᾶσι τοῖς οὖσι τοῦ εἶναι μεταδί-
δωσι. κατὰ τὴν αὐτὴν ἑνικὴν αἰτίαν. εἴσεται πάντα
ὡς ἐξ αὐτοῦ ὄντα. καὶ ἐν ἑαυτῷ προϋφεστηκότα.
καὶ οὐκ ἐκ τῶν ὄντων λήψεται τὴν αὐτῶν γνῶσιν,
ἀλλὰ καὶ αὐτοῖς ἑκάστοις τῆς αὐτῶν. καὶ ἄλλοις
τῆς ἄλλων γνώσεως ἔσται χορηγός.
Οὐκ ἄρα ὁ θεὸς ἰδίαν ἔχει τὴν ἑαυτοῦ γνῶσιν ἑτέραν
δὲ τὴν κοινῇ τὰ ὄντα πάντα συλλαμβάνουσαν, αὐ-
τὴν γὰρ ἑαυτὴν ἡ πάντων αἰτία γινώσκουσα, σχολῇ
που τὰ ἀπ' αὐτῆς καὶ ὧν ἐστιν αἰτία ἀγνοήσει.
Ταύτῃ γοῦν ὁ θεὸς τὰ ὄντα γιγνώσκει. οὐ τῇ ἐπιστή-
μῃ τῶν ὄντων. ἀλλὰ τῇ ἑαυτοῦ. καὶ γὰρ καὶ τοὺς ἀγγέ-
λους εἰδέναι φησὶ τὰ λόγια τὰ ἐπὶ τῆς γῆς. οὐ κατ'
αἰσθήσεις αὐτὰ γιγνώσκοντας αἰσθητά γε ὄντα.
κατ' οἰκείαν δὲ τοῦ θεοειδοῦς νοῦ δύναμιν καὶ φύσιν.
Ἐπὶ δὲ τούτοις ζητῆσαι χρὴ πῶς ἡμεῖς θεὸν γινώσκο-
μεν, οὐδὲ νοητὸν οὐδὲ αἰσθητὸν, οὐδέ τι καθόλου τῶν
ὄντων ὄντα, μήποτε οὖν ἀληθὲς εἰπεῖν ὅτι θεὸν γι-
νώσκομεν. οὐκ ἐκ τῆς αὐτοῦ φύσεως. ἄγνωστον γὰρ
τοῦτο. καὶ πάντα λόγον καὶ νοῦν ὑπεραῖρον. ἀλλ' ἐκ
τῆς πάντων τῶν ὄντων διατάξεως, ὡς ἐξ αὐτοῦ προβε-
βλημένης, καὶ εἰκόνας τινὰς καὶ ὁμοιώματα τῶν θεί-
ων αὐτοῦ παραδειγμάτων ἐχούσης. εἰς τὸ ἐπέκεινα
πάντων ὁδῷ καὶ τάξει κατὰ δύναμιν ἄνιμεν
ἐν τῇ πάντων ἀφαιρέσει καὶ ὑπεροχῇ, καὶ ἐν τῇ πάν-
των αἰτίᾳ. διό, καὶ ἐν πᾶσιν ὁ θεὸς γινώσκεται.

καὶ χωρὶς πάντων· καὶ διὰ γνώσεως ὁ θεὸς γινώσκεται καὶ διὰ ἀγνωσίας. καὶ ἔστιν αὐτοῦ καὶ νόησις καὶ λόγος καὶ ἐπιστήμη. καὶ ἐπαφὴ καὶ αἴσθησις. καὶ δόξα καὶ φαντασία, καὶ ὄνομα, καὶ τὰ ἄλλα πάντα. καὶ οὔτε νοεῖται, οὔτε λέγεται, οὔτε ὀνομάζεται, καὶ οὐκ ἔστιν τί τῶν ὄντων, οὐδὲ ἔν τινι τῶν ὄντων γινώσκεται, καὶ ἐν πᾶσι πάντα ἐστίν. καὶ ἐν οὐδενὶ οὐδέν, καὶ ἐκ πάντων πᾶσι γινώσκεται καὶ ἐξ οὐδενὸς οὐδενί.

Καὶ γὰρ καὶ ταῦτα ὀρθῶς περὶ θεοῦ λέγομεν. καὶ ἐκ τῶν ὄντων ἁπάντων ὑμνεῖται κατὰ τὴν πάντων τῶν ἀναλογίαν ὧν ἐστιν αἴτιος. καὶ ἔστιν αὖθις ἡ θειοτάτη θεοῦ γνῶσις. ἡ διὰ ἀγνωσίας γινωσκομένη. κατὰ τὴν ὑπὲρ νοῦν ἕνωσιν. ὅταν ὁ νοῦς τῶν ὄντων πάντων ἀποστάς. ἔπειτα καὶ ἑαυτὸν ἀφεὶς ἑνωθῇ ταῖς ὑπερφαέσιν ἀκτῖσιν. ἐκεῖθεν καὶ ἐκεῖ τῷ ἀνεξερευνήτῳ βάθει τῆς σοφίας καταλαμπόμενος. καίτοι καὶ ἐκ πάντων ὅπερ ἔφην αὐτὴν γνωστέον. αὕτη γάρ ἐστι κατὰ τὸ λόγιον, ἡ πάντων ποιητικὴ καὶ ἀεὶ πάντα ἁρμόζουσα, καὶ τῆς ἀλύτου τῶν πάντων ἐφαρμογῆς, καὶ τάξεως αἰτία. καὶ ἀεὶ τὰ πέρατα τῶν προτέρων συνάπτουσα ταῖς ἀρχαῖς τῶν δευτέρων. καὶ τὴν μίαν τοῦ παντὸς σύμπνοιαν καὶ ἁρμονίαν καλλιεργοῦσα.

Λόγος δὲ ὁ θεὸς ὑμνεῖται πρὸς τῶν ἱερῶν λογίων. οὐ μόνον ὅτι καὶ λόγου καὶ νοῦ καὶ σοφίας ἐστὶ χορηγός. ἀλλ' ὅτι καὶ τὰς πάντων αἰτίας ἐν ἑαυτῷ μονοει-



δῶς προείληφεν. καὶ ὅτι διὰ πάντων χωρεῖ διικνούμενος ὡς τὰ λόγιά φησιν ἄχρι τοῦ πάντων τέλους. καὶ πρό γε τούτων ὅτι πάσης ἁπλότητος ὁ θεῖος ὑπεραπλοῦται λόγος. καὶ πάντων ἐστὶν ὑπὲρ πάντα κατὰ τὸ ὑπερούσιον ἀπολελυμένος.

Οὗτος ὁ λόγος ἐστὶν ἡ ἁπλῆ καὶ ὄντως οὖσα ἀλήθεια. περὶ ἣν ὡς καθαρὰν καὶ ἀπλανῆ τῶν ὅλων γνῶσιν ἡ θεία πίστις ἐστίν. ἡ μόνιμος τῶν πεπιστευμένων ἵδρυσις. ἡ τούτους ἐνιδρύουσα τῇ ἀληθείᾳ, καὶ αὐτοῖς τὴν ἀλήθειαν ἀμεταπτώτῳ ταὐτότητι, τὴν ἁπλῆν τῆς ἀληθείας γνῶσιν ἐχόντων τῶν πεπιστευμένων. εἰ γὰρ ἡ γνῶσις ἑνωτικὴ τῶν ἐγνωκότων καὶ ἐγνωσμένων. ἡ δὲ ἄγνοια μεταβολῆς ἀεὶ καὶ τῆς ἐξ ἑαυτοῦ τῷ ἀγνοοῦντι διαιρέσεως αἰτία. τὸν ἐν ἀληθείᾳ πιστεύσαντα κατὰ τὸν ἱερὸν λόγον οὐδὲν ἀποκινήσει τῆς κατὰ τὴν ἀληθῆ πίστιν ἑστίας. ἐφ' ἧς τὸ μόνιμον ἕξει τῆς ἀκινήτου καὶ ἀμεταβόλου ταὐτότητος. εὖ γὰρ οἶδεν. ὁ πρὸς τὴν ἀλήθειαν ἑνωθείς, ὅτι εὖ ἔχει κἂν οἱ πολλοί, νουθετῶσιν αὐτὸν ὡς ἐξεστηκότα. λανθάνει μὲν ὡς εἰκὸς αὐτοὺς ἐκ πλάνης τῇ ἀληθείᾳ διὰ τῆς ὄντως πίστεως ἐξεστηκώς. αὐτὸς δὲ ἀληθῶς οἶδεν ἑαυτόν, οὐχ ὥς φασιν ἐκεῖνοι μαινόμενον, ἀλλὰ τῆς ἀστάτου καὶ ἀλλοιωτῆς περὶ τὴν παντοδαπὴν τῆς πλάνης ποικιλίαν φορᾶς. διὰ τῆς ἁπλῆς καὶ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἐχούσης ἀληθείας ἠλευθερωμένον.

Οὕτως οὖν οἱ τῆς καθ' ἡμᾶς θεοσοφίας ἀρχηγικοὶ

καθηγεμόνες ὑπὲρ ἀληθείας ἀποθνήσκοντες πᾶσαν ἡμέραν, μαρτυροῦντες ὡς εἰκὸς καὶ λόγῳ παντὶ καὶ ἔργῳ τῇ ἑνιαίᾳ τῶν χριστιανῶν ἀληθογνωσίᾳ, τὸ πασῶν αὐτὴν εἶναι καὶ ἀπλουστέραν καὶ θειοτέραν· μᾶλλον δὲ ταύτην εἶναι τὴν μόνην ἀληθῆ καὶ μίαν ἁπλῆν θεογνωσίαν.

## ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ δυνάμεως· δικαιοσύνης· σωτηρίας· ἀπολυτρώσεως· ἐν ᾧ καὶ περὶ ἀνισότητος.

Ἀλλ' ἐπειδὴ τὴν θείαν ἀληθότητα καὶ ὑπέρσοφον σοφίαν, καὶ ὡς δύναμιν ὑμνοῦσιν, καὶ ὡς δικαιοσύνην οἱ θεολόγοι καὶ σωτηρίαν αὐτὴν ἀποκαλοῦσι καὶ ἀπολύτρωσιν· φέρε καὶ ταύτας ὡς ἐφικτὸν ἡμῖν τὰς θεωνυμίας ἀναπτύξωμεν. καὶ ὅτι μὲν ἡ θεαρχία πάσης ἐξῄρηται καὶ ὑπερέχει τῆς ὁπωσποτὲ καὶ οὔσης καὶ ἐπινοουμένης δυνάμεως, οὐχ οἶμαί τινα τὸν ἐν τοῖς θείοις λογίοις ἐντεθραμμένον ἀγνοεῖν· πολλαχοῦ γὰρ ἡ θεολογία καὶ τὴν κυρίαν αὐτῇ, καὶ αὐτῶν τῶν ὑπερουρανίων δυνάμεων ἀφορίζουσα παραδέδοται. πῶς οὖν αὐτὴν οἱ θεολόγοι καὶ ὡς δύναμιν ὑμνοῦσι· τὴν πάσης ἐξῃρημένην δυνάμεως· ἢ πῶς ἐπ' αὐτῇ τὴν δυναμωνυμίαν ἐκλαβώμεθα.

Λέγομεν τοίνυν ὅτι δύναμίς ἐστιν ὁ θεός, ὡς πᾶσαν δύ-



ναμιν ἐν ἑαυτῷ προέχων καὶ ὑπερέχων, καὶ ὡς πάσης δυνάμεως αἴτιος καὶ πάντα κατὰ δύναμιν ἄκλιτον καὶ ἀπεριόριστον παράγων, καὶ ὡς αὐτοῦ τοῦ εἶναι δύναμιν, ἢ τὴν ὅλην ἢ τὴν καθ' ἕκαστον αἴτιος ὤν, καὶ ὡς ἀπειροδύναμος· οὐ μόνον τῷ πᾶσαν δύναμιν παράγειν, ἀλλὰ καὶ τῷ ὑπὲρ πᾶσαν καὶ τὴν αὐτοδύναμιν εἶναι, καὶ τῷ ὑπερδύνασθαι· καὶ ἀπειράκις ἀπείρους τῶν οὐσῶν δυνάμεων ἑτέρας παραγαγεῖν· καὶ τῷ μὴ ἄν ποτε δυνηθῆναι τὰς ἀπείρους καὶ ἐπ' ἄπειρον παραγομένας δυνάμεις, τὴν ὑπεράπειρον αὐτοῦ τῆς δυναμοποιοῦ δυνάμεως ἀμβλῦναι ποίησιν, καὶ τῷ ἀφθέγκτῳ καὶ ἀγνώστῳ καὶ ἀνεπινοήτῳ τῆς πάντα ὑπερεχούσης αὐτοῦ δυνάμεως, ἣ διὰ περιουσίαν τοῦ δυνατοῦ· καὶ τὴν ἀσθένειαν δυναμοῖ, καὶ τὰ ἔσχατα τῶν ἀπηχημάτων αὐτῆς συνέχει καὶ διακρατεῖ· καθάπερ καὶ ἐπὶ τῶν κατ' αἴσθησιν δυνατῶν ὁρῶμεν· ὅτι τὰ ὑπέρλαμπρα φῶτα καὶ μέχρι τῶν ἀμβλειῶν ὁράσεων φθάνει· καὶ τοὺς μεγάλους φασὶ τῶν ψόφων καὶ εἰς τὰς μὴ λίαν εὐκόλως τῶν ἤχων ἀντιλαμβανομένας ἀκοὰς εἰσδύνασθαι· τὸ γὰρ πάντῃ ἀνήκοον, οὐδὲ ἀκοὴ, καὶ τὸ καθόλου μὴ βλέπον οὔτε ὅρασις.

Αὕτη δ' οὖν ἡ ἀπειροδύναμος τοῦ θεοῦ διάδοσις, εἰς πάντα τὰ ὄντα χωρεῖ, καὶ οὐδέν ἐστι τῶν ὄντων ὃ παντελῶς ἀφῄρηται τὸ ἔχειν τινὰ δύναμιν· ἀλλ' ἢ νοερὰν, ἢ λογικὴν, ἢ αἰσθητικὴν, ἢ ζωτικὴν,

ἡ οὐσιώδη δύναμιν ἔχει· καὶ αὐτὸ δὲ εἰ θέμις εἰπεῖν τὸ εἶναι δύναμιν· εἰς τὸ εἶναι ἔχει παρὰ τῆς ὑπερουσίου δυνάμεως. ἐξ αὐτῆς εἰσὶν αἱ θεοειδεῖς τῶν ἀγγελικῶν διακόσμων δυνάμεις, ἐξ αὐτῆς καὶ τὸ εἶναι ἀμεταπτώτως ἔχουσι· καὶ πάσας αὐτῶν τὰς νοερὰς καὶ ἀθανάτους ἀεικινησίας· καὶ τὸ ἀρρεπὲς αὐτό, καὶ τὴν ἀνελάττωτον ἔφεσιν τοῦ ἀγαθοῦ, πρὸς τῆς ὑπεραγάθου δυνάμεως εἰλήφασιν· αὐτῆς ἐφιείσης αὐταῖς τὸ δύνασθαι καὶ εἶναι τοιαῦτα καὶ ἐφίεσθαι ἀεὶ εἶναι· καὶ αὐτὸ τὸ δύνασθαι ἐφίεσθαι τοῦ ἀδύνασθαι.

Πρόεισι δὲ τὰ τῆς ἀνεκλείπτου δυνάμεως καὶ εἰς ἀνθρώπους· καὶ ζῶα καὶ φυτά· καὶ τὴν ὅλην τοῦ παντὸς φύσιν· καὶ δυναμοῖ τὰ ἡνωμένα πρὸς τὴν ἀλλήλων φιλίαν καὶ κοινωνίαν· καὶ τὰ διακεκριμένα πρὸς τὸ εἶναι κατὰ τὸν οἰκεῖον ἕκαστα λόγον καὶ ὅρον καὶ ἀσύγχυτα καὶ ἀσύμφυρτα· καὶ τὰς τοῦ παντὸς τάξεις καὶ εὐθημοσύνας εἰς τὸ οἰκεῖον ἀγαθὸν διασώζει.

Καὶ τὰς ἀθανάτους τῶν ἀγγελικῶν ἑνάδων ζωὰς ἀλωβήτους διαφυλάττει· καὶ τὰς οὐρανίας καὶ φωστηρικὰς καὶ ἀστερώους οὐσίας καὶ τάξεις ἀναλλοιώτους· καὶ τὸν αἰῶνα δύνασθαι εἶναι ποιεῖ· καὶ τὰς τοῦ χρόνου περιελίξεις· διακρίνει μὲν ταῖς προόδοις, συνάγει δὲ ταῖς ἀποκαταστάσεσιν· καὶ τὰς τοῦ πυρὸς δυνάμεις ἀσβέστους ποιεῖ· καὶ τὰς τοῦ ὕδατος ἀπορρόας ἀνεκλείπτους· καὶ τὴν ἀερίαν χύσιν ὁρίζει· καὶ



τὴν γῆν ἐπ' οὐδενὸς ἱδρύει· καὶ τὰς ζωογόνους αὐτῆς ὠδῖνας ἀδιαφθόρους φυλάττει· καὶ τὴν ἐν ἀλλήλοις τῶν στοιχείων ἁρμονίαν καὶ κρᾶσιν· ἀσύγχυτον καὶ ἀδιαίρετον ἀποσώζει.

Καὶ τὴν ψυχῆς καὶ σώματος σύνδεσιν συνέχει· καὶ τὰς τῶν φυτῶν θρεπτικὰς καὶ αὐξητικὰς δυνάμεις ἀνακινεῖ· καὶ διακρατεῖ τὰς οὐσιώδεις τῶν ὅλων δυνάμεις· καὶ τὴν τοῦ παντὸς ἀδιάλυτον μονὴν ἀσφαλίζεται· καὶ τὴν θέωσιν αὐτὴν δωρεῖται δύναμιν εἰς τοῦτο τοῖς ἐκθεουμένοις παρέχουσα· καὶ ὅλως οὐδέν ἐστι καθόλου τῶν ὄντων τὴν παντοκρατορικὴν ἀσφάλειαν, καὶ περιοχὴν τῆς θείας δυνάμεως ἀφῃρημένον· τὸ γὰρ καθόλου μηδεμίαν δύναμιν ἔχων, οὔτε ἐστίν· οὔτε τί ἐστιν· οὔτε ἐστί τις αὐτοῦ παντελῶς θέσις.

Καί τοι φησὶν ἐλύμας ὁ μάγος· εἰ παντοδύναμός ἐστιν ὁ θεὸς πῶς λέγεται τί μὴ δύνασθαι πρὸς τοῦ καθ' ἡμᾶς θεολόγου· λοιδορεῖται δὲ τῷ θείῳ παύλῳ φήσαντι, μὴ δύνασθαι τὸν θεὸν ἑαυτὸν ἀρνήσασθαι. προθεὶς δὲ τοῦτο λίαν ὀρρωδῶ μὴ καὶ ἀνοίας ὀφλήσω γέλωτα παίδων ἀθυρόντων οἰκοδομήματα, καὶ ἐπὶ ψάμμου καὶ ἀσθενῆ καταλύειν ἐπιχειρῶν· καὶ ὡς περί τινος ἀνεφίκτου σκοποῦ καταστοχάζεσθαι σπουδάζων τῆς περὶ τούτου θεολογικῆς διανοίας.

Ἡ γὰρ ἑαυτοῦ ἄρνησις· ἔκπτωσις ἀληθείας ἐστίν· ἡ δὲ ἀλήθεια ὄν ἐστι· καὶ ἡ τῆς ἀληθείας ἔκπτωσις, τοῦ ὄντος ἔκπτωσις· εἰ τοίνυν ἀλήθεια ὄν ἐστιν, ἡ δὲ ἄρνησις·

ἀληθείας τοῦ ὄντος ἔκπτωσις, τὸ ἐκ τοῦ ὄντος ἐκ-
πεσεῖν ὁ θεὸς οὐ δύναται· καὶ τὸ μὴ εἶναι οὐκ ἔστιν.
ὡς ἄν τις φαίη τὸ μὴ δύνασθαι οὐ δύναται· καὶ τὸ
μὴ εἰδέναι κατὰ στέρησιν οὐκ οἶδεν. ὅπερ ὁ σοφὸς
οὐκ ἐννοήσας· μιμεῖται τοὺς τῶν ἀθλητῶν ἀπειρο-
νίκας· οἳ πολλάκις ἀσθενεῖς εἶναι τοὺς ἀνταγωνι-
στὰς ὑποθέμενοι κατὰ τὸ δοκοῦν ἑαυτοῖς· καὶ πρὸς
ἀπόντας αὐτοὺς ἀνδρείως σκιαμαχοῦντες· καὶ
τὸν ἀέρα διακένοις πληγαῖς εὐθαρσῶς καταπαί-
οντες, οἴονται τῶν ἀντιπάλων ἑαυτῶν κεκρατηκέναι.
καὶ ἀνακηρύττουσιν ἑαυτούς, οὔπω εἰδότες τὴν ἐκεί-
νων δύναμιν. Ἡμεῖς δὲ τοῦ θεολόγου κατὰ τὸ ἐφι-
κτὸν στοχαζόμενοι, τὸν ὑπερδύναμον θεὸν ὑμνοῦ-
μεν, ὡς παντοδύναμον, ὡς μακάριον, καὶ μόνον δυ-
νάστην· ὡς δεσπόζοντα ἐν τῇ δυναστείᾳ αὐτοῦ τοῦ
αἰῶνος. ὡς κατ᾽ οὐδὲν τῶν ὄντων ἐκπεπτωκότα.
μᾶλλον δὲ καὶ ὑπερέχοντα, καὶ προέχοντα πάν-
τα τὰ ὄντα κατὰ δύναμιν ὑπερούσιον· καὶ πᾶσι
τοῖς οὖσι τὸ δύνασθαι εἶναι. καὶ τὸ δὲ εἶναι κατὰ
περιουσίαν ὑπερβαλλούσης δυνάμεως· ἀφθόνῳ
χύσει δεδωρημένον· δικαιοσύνη δὲ αὖθις ὁ θεός, ὡς
πᾶσι κατ᾽ ἀξίαν ἀπονέμων ὑμνεῖται· καὶ εὐμετρί-
αν καὶ κάλλος καὶ εὐταξίαν καὶ διακόσμησιν, καὶ
πάσας διανομὰς καὶ τάξεις ἀφορίζων ἑκάστῳ
κατὰ τὸν ὄντως ὄντα δικαιότατον ὅρον. καὶ πᾶσι
τῆς αὐτῶν ἑκάστων αὐτοπραγίας αἴτιος ὤν· πάν-
τα γὰρ ἡ θεία δικαιοσύνη τάττει καὶ ὁροθετεῖ· καὶ



πάντα ἀπὸ παντὸς ἀμιγῆ καὶ ἀσύμφυρτα διασώζου-
σα, τὰ ἑκάστῳ προσήκοντα πᾶσι τοῖς οὖσι δωρεῖται
κατὰ τὴν ἑκάστῳ τῶν ὄντων ἐπιβάλλουσαν ἀξίαν.
Καὶ ταῦτα ὀρθῶς φαμέν, ὅσοι τῇ θείᾳ διαλοιδο-
ροῦνται δικαιοσύνῃ. λανθάνουσιν ἑαυτῶν ἀδικίαν
ἐναργῆ καταψηφιζόμενοι· φασὶ γὰρ ὀφείλειν ἐνεῖναι
τοῖς θνητοῖς τὴν ἀθανασίαν· καὶ τοῖς ἀτελέσι τὸ
τέλειον· καὶ τοῖς αὐτοκινήτοις τὴν ἑτεροκίνητον ἀ-
νάγκην· καὶ τοῖς ἀλλοιωτοῖς τὴν ταυτότητα· καὶ
τὰ τελειοδύναμα τοῖς ἀσθενέσι· καὶ ἀΐδια εἶναι
τὰ ἔγχρονα· καὶ ἀμετάβολα τὰ φύσει κινούμενα:
καὶ τὰς ἐπικαίρους ἡδονὰς αἰωνίας· καὶ ὅλως τὰ ἄλ-
λων ἄλλοις ἀποδιδόασιν.

Δέον εἰδέναι τὴν θείαν δικαιοσύνην ἐν τούτῳ ὄντως οὖ-
σαν ἀληθῆ δικαιοσύνην· ὅτι πᾶσιν ἀπονέμει τὰ οἰ-
κεῖα κατὰ τὴν ἑκάστου τῶν ὄντων ἀξίαν καὶ τὴν
ἑκάστου φύσιν ἐπὶ τῆς οἰκείας διασώζει τάξεως καὶ
δυνάμεως.

Ἀλλ᾽ εἴποι ἄν τις, οὐκ ἔστιν δικαιοσύνης ἄνδρας ὁσί-
ους ἐᾶν, ἀβοηθήτους ὑπὸ τῶν φαύλων ἐκτρυχομέ-
νους· πρὸς ὃν ῥητέον· ὡς εἰ μὲν ἀγαπῶσιν οὓς φῂς
ὁσίους τὰ ἐπὶ γῆς ὑπὸ τῶν προσύλων ζηλούμε-
να, τοῦ θείου παντὸς ἐκπεπτώκασιν ἔρωτος· καὶ
οὐκ οἶδ᾽ ὅπως ὅσιοι κληθεῖεν, ἀδικοῦντές τὰ ὄν-
τως ἐραστὰ καὶ θεῖα τοῖς ζηλωτοῖς καὶ ἀνερα-
στοῖς ὑπ᾽ αὐτῶν οὐκ εὐαγῶς παρωθούμε-
να. εἰ δὲ τῶν ὄντως ὄντων ἐρῶσι, εὐφραίνεσθαι

καὶ τοὺς τινῶν ἐφιεμένους ἡνίκα τῶν ἐφετῶν τυγχάνουσι, ἢ οὐχὶ τότε μᾶλλον πηνιάζουσι ταῖς ἀγγελικαῖς ἀρεταῖς ὅταν ὡς δυνατὸν ἐφέσει τῶν θείων ἀναχωροῦσι τῆς τῶν ὑλικῶν προσπαθείας ἐγγυμναζόμενοι πρὸς τοῦτο λίαν ἀνδρικῶς· ἐν ταῖς ὑπὲρ τοῦ καλοῦ περιστάσεσιν· ὥστε ἀληθὲς εἰπεῖν, ὅτι τοῦτο μᾶλλόν ἐστι τῆς θείας δικαιοσύνης ἴδιον τὸ μὴ θέλγειν καὶ ἀπολλύειν τῶν ἀρίστων τὴν ἀρρενότητα ταῖς τῶν ὑλικῶν διαδόσεσιν· μὴ δὲ εἴ τις ἐπιχειροίη τοῦτο ποιεῖν ἐᾶν, ἀβοηθήτοις, ἀλλ' ἐνιδρύειν αὐτοὺς ἐν τῇ καλῇ καὶ ἀμεταλλάκτῳ στάσει· καὶ ἀπονέμειν αὐτοῖς τοιούτοις οὖσι τὰ κατ' ἀξίαν.

Α ὕτη γοῦν ἡ θεία δικαιοσύνη· καὶ σωτηρία τῶν ὅλων ὑμνεῖται· τὴν ἰδίαν ἑκάστου καὶ καθαρὰν, ἀπὸ τῶν ἄλλων οὐσίαν καὶ τάξιν ἀποσώζουσα καὶ φυλάττουσα, καὶ αἰτία καθαρῶς οὖσα τῆς ἐν τοῖς ὅλοις ἰδιοπραγίας.

Ε ἰ δέ τις τὴν σωτηρίαν ὑμνοίη, καὶ ὡς ἐκ τῶν χειρόνων τὰ ὅλα σωστικῶς ἀναρπάζουσαν, πάντως που καὶ τοῦτον ἡμεῖς τὸν ὑμνῳδὸν τῆς παντοδαπῆς σωτηρίας ἀποδεξώμεθα. καὶ ταύτην δὲ καὶ πρώτην σωτηρίαν τῶν ὅλων ἀξιώσομεν αὐτὸν ὁρίζεσθαι τὴν πάντα ἐφ' ἑαυτῶν ἀμετάβλητα καὶ ἀστασίαστα καὶ ἀρρεπῆ πρὸς τὰ χείρω διασώζουσαν, καὶ πάντα φρουροῦσαν, ἄμαχα καὶ ἀπολέμητα τοῖς ἑαυτῶν ἑκάστα λόγοις διακοσμούμενα· καὶ πᾶσαν ἀνισότητα καὶ ἀλλοτριοπραγίαν ἐκ τῶν ὅλων ὁρίζουσαν, καὶ

τὰς



τὰς ἀναλογίας ἑκάστου συνιστάνουσαν ἀμεταπτώτους εἰς τὰ ἐναντία· καὶ ἀμεταχωρήτοις.

Ε πεὶ καὶ ταύτην τὴν σωτηρίαν, οὐκ ἀπὸ σκοποῦ τις ὑμνείσοι τῆς ἱερᾶς θεολογίας· ὡς πάντα τὰ ὄντα τῇ σωστικῇ τῶν πάντων ἀγαθότητι· τῆς τῶν οἰκείων ἀγαθῶν ἀποπτώσεως ἀπολυτρουμένην· καθ' ὅσον ἡ ἑκάστου τῶν σωζομένων ἐπιδέχεται φύσις. διὸ καὶ ἀπολύτρωσιν αὐτὴν ὀνομάζουσιν οἱ θεολόγοι· καθ' ὅσον οὐκ ἐᾷ τὰ ὄντως ὄντα πρὸς τὸ μὴ εἶναι διαπεσεῖν· καὶ καθ' ὅσον εἴ καί τι πρὸς τὸ πλημμελὲς καὶ ἄτακτον ἀποσφαλείη· καὶ μείωσίν τινα πάθοι τῆς τῶν οἰκείων ἀγαθῶν τελειότητος· καὶ τοῦτο τοῦ πάθους καὶ τῆς ἀδρανείας καὶ τῆς στερήσεως ἀπολυτροῦται· πληροῦσα τὸ ἐνδεές· καὶ πατρικῶς τὴν ἀτονίαν ὑπερειδοῦσα, καὶ ἀνιστῶσα τοῦ κακοῦ· μᾶλλον δὲ ἑστῶσα ἐν τῷ καλῷ, καὶ τὸ ὑπεκρυὲν ἀγαθὸν ἀναπληροῦσα, καὶ τάττουσα, καὶ κοσμοῦσα τὴν ἀταξίαν αὐτοῦ καὶ ἀκοσμίαν, καὶ ὁλόκληρον ἀποτελοῦσα· καὶ πάντων ἀπολύουσα τῶν λελωβημένων.

Α λλὰ περὶ μὲν τούτων καὶ περὶ δικαιοσύνης εἴρηται· καθ' ἣν ἡ πάντων ἰσότης μετρεῖται καὶ ὁρίζεται· καὶ πᾶσα ἀνισότης· ἡ κατὰ στέρησιν τῆς ἐν αὐτοῖς ἑκάστοις ἰσότητος ἐξορίζεται· τὴν γὰρ ἀνισότητα εἴ τις ἐκλάβοι· τὰς ἐν τῷ ὅλῳ τῶν ὅλων πρὸς ὅλα διαφοράς· καὶ ταύτης ἡ δικαιοσύνη φρουρητικὴ μὴ συγχωροῦσα συμμιγῆ τὰ ὅλα ἐν ὅλοις γενόμενα

διαπαραχεῖναι· φυλάττουσα δὲ τὰ ὄντα πάντα κατ' εἶδος ἕκαστον ἐν ᾧ ἕκαστον εἶναι πέφυκεν.

## ΚΕΦΑΛΑΙΟΝ Θ'.

### Περὶ μεγάλου· μικροῦ· ταὐτοῦ· ἑτέρου· ὁμοίου· ἀνομοίου· στάσεως· κινήσεως· ἰσότητος.

Ἐπειδὴ δὲ καὶ τὸ μέγα καὶ τὸ μικρὸν ἀνατίθεται τῷ πάντων αἰτίῳ· καὶ τὸ ταὐτὸν, καὶ τὸ ἕτερον, καὶ τὸ ὅμοιον, καὶ τὸ ἀνόμοιον, καὶ ἡ στάσις, καὶ ἡ κίνησις· φέρε καὶ τούτων τῶν θεωνυμικῶν ἀγαλμάτων ὅσα ἡμῖν ἐμφανῆ, θεωρήσωμεν. μέγας μὲν οὖν ὁ θεὸς ἐν τοῖς λογίοις ὑμνεῖται καὶ ἐν μεγέθει· καὶ ἐν αὔρᾳ λεπτῇ τὴν θείαν ἐμφαινούσῃ σμικρότητα. καὶ ὁ αὐτὸς ὅταν φῇ τὰ λόγια· σὺ δὲ ὁ αὐτὸς εἶ. καὶ ἕτερος ἡνίκα ὡς πολύσχημος καὶ πολυειδὴς ὑπὸ τῶν αὐτῶν λογίων διαπλάττεται. καὶ ὅμοιος ὡς ὁμοίων καὶ ὁμοιότητος ὑποστάτης, καὶ ἀνόμοιος πᾶσιν, ὡς οὐκ ὄντος αὐτῷ τοῦ ὁμοίου. καὶ ἑστὼς καὶ ἀκίνητος καὶ καθήμενος εἰς τὸν αἰῶνα καὶ κινούμενος· ὡς ἐπὶ πάντα πορευόμενος· καὶ ὅσαι ἄλλαι ταύταις ὁμοδύναμοι θεωνυμίαι πρὸς τῶν λογίων ὑμνοῦνται.

Μέγας μὲν οὖν ὁ θεὸς ὀνομάζεται κατὰ τὸ ἰδίως αὐτοῦ μέγα· τὸ πᾶσι τοῖς μεγάλοις ἑαυτοῦ μεταδι-



δόναι· καὶ παντὸς μεγέθους ἔξωθεν ὑπερχεόμενον καὶ ὑπερεκτεινόμενον· πάντα τὸν τόπον περιέχον· πάντα ἀριθμὸν ὑπερβάλλον· πᾶσαν ἀπειρίαν διαβαίνον· καὶ κατὰ τὸ ὑπερπλῆρες αὐτοῦ καὶ μεγαλουργὸν· καὶ τὰς πηγαίας αὐτοῦ δωρεάς· καθόσον αὗται πρὸς πάντων μετεχόμεναι κατὰ ἀπερόριστον χύσιν ἀμείωτοι παντελῶς εἰσί· καὶ τὴν αὐτὴν ἔχουσιν ὑπερπληρότητα· καὶ οὐκ ἐλαττοῦνται ταῖς μετοχαῖς· ἀλλὰ καὶ μᾶλλον ὑπερβλύζουσι.

Τὸ μέγεθος τοῦτο καὶ ἄπειρόν ἐστι· καὶ ἄποσον· καὶ ἀνάριθμον· καὶ τοῦτό ἐστιν ἡ ὑπεροχὴ, κατὰ τὴν ἀπόλυτον καὶ ὑπερτεταμένην τῆς ἀπεριλήπτου μεγαλότητος φύσιν.

Σμικρὸν δὲ, ἤτοι λεπτὸν ἐπ' αὐτοῦ λέγεται· τὸ παντὸς ὄγκου καὶ διαστήματος ἀποβεβηκός· καὶ τὸ διὰ πάντων ἀκωλύτως χωροῦν· καίτοι καὶ πάντων στοιχειωτικὸν αἴτιόν ἐστι τὸ σμικρὸν· οὐδαμοῦ γὰρ εὑρήσεις τὴν τοῦ σμικροῦ ἰδέαν ἀμέθεκτον· οὕτως οὖν ἐπὶ θεοῦ τὸ σμικρὸν ἐκληπτέον· ὡς ἐπὶ πάντα καὶ διὰ πάντων ἀνεμποδίστως χωροῦν καὶ ἐνεργὲς καὶ διικνούμενον ἄχρι μερισμοῦ ψυχῆς τε καὶ σώματος ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸν ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας· μᾶλλον δὲ τῶν ὄντων ἁπάντων· οὐ γάρ ἐστι κτίσις ἀφανὴς, ἐνώπιον αὐτοῦ.

Τοῦτο τὸ σμικρὸν ἄποσόν ἐστι καὶ ἀπήλικον ἀκρατὲς, ἄπειρον, ἀόριστον· περιληπτικὸν πάντων· αὐτὸ δὲ ἀπερίληπτον.

Τὸ δὲ ταὐτὸν ὑπερουσίως ἀΐδιον, ἄτρεπτον, ἐφ' ἑαυτοῦ μένον ἀεὶ κατὰ ταὐτά, καὶ ὡσαύτως ἔχον πᾶσιν ὡσαύτως παρὸν καὶ αὐτὸ καθ' ἑαυτὸ ἐφ' ἑαυτοῦ. στεθερῶς καὶ ἀχράντως ἐν τοῖς καλλίστοις πέρασι τῆς ὑπερουσίου ταὐτότητος ἱδρυμένον· ἀμετάβλητον καὶ ἀμετάπτωτον· ἀρρεπές, ἀναλλοίωτον· ἀμιγές, ἄϋλον· ἁπλούστατον ἀπροσδεές, ἀναυξὲς ἀμείωτον, ἀγένητον· οὐχ ὡς μήπω γενόμενον, ἢ ἀτελείωτον, ἢ ὑπὸ τοῦδε, ἢ τόδε· μὴ γενόμενον· οὐδ' ὡς μηδαμῇ μηδαμῶς ὄν· ἀλλ' ὡς ὑπὲρ πᾶν ἀγένητον καὶ ἀπολύτως ἀγένητον, καὶ ἀεὶ ὂν καὶ αὐτοτελὲς ὂν καὶ ταὐτὸν ὂν καθ' αὑτὸ καὶ ὑφ' ἑαυτοῦ μονοειδῶς καὶ ταὐτοειδῶς ἀφοριζόμενον· καὶ τὸ ταὐτὸν ἐξ ἑαυτοῦ καὶ πᾶσι τοῖς μετέχειν ἐπιτηδείοις ἐπιλάμπον· καὶ ἕτερα τοῖς ἑτέροις συντάττον· περιουσία καὶ αἰτία ταὐτότητος· ἐν ἑαυτῷ καὶ τὰ ἐναντία ταὐτῶς προέχον, κατὰ τὴν μίαν καὶ ἑνικὴν τῆς ὅλης ταὐτότητος ὑπερέχουσαν αἰτίαν.

Τὸ δὲ ἕτερον, ἐπειδὴ πᾶσι προνοητικῶς ὁ θεὸς πάρεστι, καὶ πάντα ἐν πᾶσι διὰ τὴν πάντων σωτηρίαν γίγνεται μένον ἐφ' ἑαυτοῦ καὶ τῆς οἰκείας ταὐτότητος ἀνεκφοιτήτως κατ' ἐνέργειαν μίαν, καὶ ἄπαυστον ἑστηκὼς, καὶ ἑαυτὸν ἐπιδιδοὺς ἀκλίτῳ δυνάμει πρὸς ἐκθέωσιν τῶν ἐπεστραμμένων· καὶ τὴν ἑτερότητα τῶν ποικίλων τοῦ θεοῦ κατὰ τὰς πολυειδεῖς ὁράσεις σχημάτων· ἕτερά τινα τοῖς φαινομένοις παραφαίνονται σημαίνειν οἰητέον.



Ὡς γὰρ τὴν ψυχὴν αὐτὴν σωματοειδῶς ὁ λόγος διέπλασεν· καὶ μέρη σωματικὰ τῇ ἀμερεῖ περιέπλασεν· ἑτέρως ἐννοοῦμεν ἐπ' αὐτῇ τὰ περιτιθέμενα μέρη τῇ ἀμερείᾳ τῇ κατὰ ψυχὴν οἰκείως.

Καὶ κεφαλὴν μὲν τὸν νοῦν, αὐχένα δὲ τὴν δόξαν ὡς ἐν μέσῳ λόγου καὶ ἀλογίας· στῆθος δὲ θυμόν· γαστέρα δὲ τὴν ἐπιθυμίαν· σκέλη δὲ καὶ πόδας τὴν φύσιν ἐλέγομεν τοῖς τῶν μερῶν ὀνόμασι τῶν δυνάμεων συμβόλοις χρώμενοι· πολλῷ γε μᾶλλον ἐπὶ τοῦ πάντων ἐπέκεινα τὴν ἑτερότητα τῶν μορφῶν καὶ τῶν σχημάτων· ἱεραῖς καὶ θεοπρεπέσι καὶ ταῖς μυστικαῖς ἀναπτύξεσιν ἀνακαθαίρεσθαι χρή.

Καὶ εἰ βούλει τὰ τριπλᾶ τῶν σωμάτων σχήματα τῷ ἀναφεῖ καὶ ἀσχηματίστῳ θεῷ περιάψαι.

Πλάτος μὲν οὖν θεῖον ῥητέον τὴν ὑπερευρεῖαν πάντα τοῦ θεοῦ πρόοδον· μῆκος δὲ τὴν ὑπὲρ ἐκτεινομένην τὰ ὅλα δύναμιν· βάθος δὲ τὴν πᾶσι τοῖς οὖσιν ἀπερίληπτον κρυφιότητα καὶ ἀγνωσίαν.

Ἀλλ' ὅπως μὴ λάθωμεν ἑαυτοὺς ἐκ τῆς τῶν ἑτεροίων σχημάτων καὶ μορφῶν ἀναπτύξεως τὰς ἀσωμάτους θεωνυμίας ταῖς διὰ συμβόλων αἰσθητῶν συμφύροντες.

Διὸ περὶ μὲν τούτων ἐν τῇ συμβολικῇ θεολογίᾳ εἴρηται. νῦν δὲ αὐτὸ τὴν θείαν ἑτερότητα μὴ ἀλλοίωσίν τινα τῆς ὑπερατρέπτου ταὐτότητος ὑποπτεύσωμεν· ἀλλὰ τὸν ἑνιαῖον αὐτοῦ πολυπλασιασμόν· καὶ τὰς μονοειδεῖς τῆς ἐπὶ πάντα πολυγονίας προό-

αὖθις ὅμοιον δὲ τὸν θεόν, ἃ μὲν ὡς ταὐτὸν εἴποι τις, ὡς ὅλον δι' ὅλου ἑαυτῷ μονίμως καὶ ἀμερίστως ὄντα ὅμοιον οὐκ ἀτιμαστέον ἡμῖν τὴν τοῦ ὁμοίου θεωνυμίαν.

Οἱ δὲ θεολόγοι τὸν ὑπὲρ πάντα θεὸν ᾗ αὐτός, οὐδενὶ φασὶν εἶναι ὅμοιον· αὐτὸν δὲ ὁμοιότητα θείαν δωρεῖσθαι τοῖς ἐπ' αὐτὸν ἐπιστρεφομένοις τῇ κατὰ δύναμιν μιμήσει τὸν ὑπὲρ πάντα καὶ ὅρον καὶ λόγον. καὶ ἔστιν ἡ τῆς θείας ὁμοιότητος δύναμις, ἡ τὰ παραγενόμενα πάντα πρὸς τὸ αἴτιον ἐπιστρέφουσα. Ταῦτα γοῦν ῥητέον ὅμοια θεῷ, καὶ κατὰ θείαν εἰκόνα καὶ ὁμοίωσιν. οὐδὲ γὰρ αὐτοῖς τὸν θεὸν ὅμοιον, ὅτι μηδὲ ἄνθρωπος τῇ ἰδίᾳ εἰκόνι ὅμοιος. ἐπὶ μὲν γὰρ τῶν ὁμοταγῶν δυνατὸν καὶ ὅμοια αὐτὰ ἀλλήλοις εἶναι καὶ ἀντιστρέφειν ἐφ' ἑκάτερα τὴν ὁμοιότητα. καὶ εἶναι ἄμφω ἀλλήλοις ὅμοια κατὰ προηγούμενον ὁμοίου εἶδος. ἐπὶ δὲ τοῦ αἰτίου καὶ τῶν αἰτιατῶν οὐκ ἀποδεξόμεθα τὴν ἀντιστροφήν. οὐ γὰρ μόνοις τοῖσδε, ἢ τοῖσδε, τὸ ὁμοίοις εἶναι δωρεῖται. πᾶσι δὲ τοῖς ὁμοιότητος μετέχουσι τοῦ εἶναι ὁμοίοις. ὁ θεὸς αἴτιος γίγνεται καὶ ἔστι καὶ αὐτῆς τῆς αὐτοομοιότητος ὑποστάτης, καὶ τὸ ἐν πᾶσιν ὅμοιον ἴχνει τινὶ τῆς θείας ὁμοιότητος ὅμοιόν ἐστι καὶ τὴν ἕνωσιν αὐτῶν συμπληροῖ. Καὶ τί δεῖ περὶ τούτου λέγειν. αὐτὴ γὰρ ἡ θεολογία τὸ ἀνόμοιον αὐτὸν εἶναι πρεσβεύει. καὶ τοῖς πᾶσιν ἀσύντακτον. ὡς πᾶσιν ἕτερον. καὶ τὸ δὴ παραδοξότερον, ὅτι μηδὲ εἶναί τι ὅμοιον αὐτῷ



φησί. καίτοι οὐκ ἐναντίος ὁ λόγος τῇ πρὸς αὐτὸν ὁμοιότητι. τὰ γὰρ αὐτὰ καὶ ὅμοια θεῷ καὶ ἀνόμοια. τὸ μὲν κατὰ τὴν ἐνδεχομένην τοῦ ἀμεθέκτου μέθεξιν. τὸ δὲ κατὰ τὸ ἀποδέον, τῶν αἰτιατῶν τοῦ αἰτίου καὶ μέτροις ἀπείροις, καὶ ἀσυγκρίτοις ἀπολιμπανόμενον.

Τί δὲ καὶ περὶ τῆς θείας στάσεως ἤτοι καθέδρας φαμέν. τί δὲ ἄλλο γε παρὰ τὸ μένειν αὐτὸν ἐν ἑαυτῷ τὸν θεόν. καὶ ἐν ἀκινήτῳ ταυτότητι μονίμως πεπηγέναι καὶ ἀφαρότως ὑπεριδρῦσθαι, καὶ τὸ κατὰ τὰ αὐτὰ καὶ περὶ τὸ αὐτὸ καὶ ὡσαύτως ἐνεργεῖν. καὶ κατὰ τὸ ἀμετάστατον αὐτὸν ἐξ ἑαυτοῦ πάντως ὑπάρχειν. καὶ κατὰ τὸ ἀμετακίνητον αὐτὸ καὶ ὁλικῶς ἀκίνητον. καὶ ταῦτα ὑπερουσίως. αὐτὸς γάρ ἐστιν ὁ τῆς πάντων στάσεως καὶ ἕδρας αἴτιος. ὁ ὑπὲρ πᾶσαν ἕδραν καὶ στάσιν, καὶ ἐν ἑαυτῷ πάντα συνέστηκεν. ἐκ τῆς τῶν οἰκείων ἀγαθῶν στάσεως ἀσάλευτα διαφυλαττόμενα. Τί δὲ καὶ ὅταν αὖθις οἱ θεολόγοι καὶ ἐπὶ πάντα προϊόντα καὶ κινούμενόν φασι τὸν ἀκίνητον. οὐ θεοπρεπῶς καὶ τοῦτο νοητέον. κινεῖσθαι γὰρ αὐτὸν εὐσεβῶς οἰητέον. οὐ κατὰ φορὰν ἢ ἀλλοίωσιν, ἢ ἑτεροίωσιν, ἢ τροπὴν ἢ τοπικὴν κίνησιν. οὐ τὴν εὐθεῖαν, οὐ τὴν κυκλοφορικήν, οὐ τὴν ἐξ ἀμφοῖν, οὐ τὴν νοητήν, οὐ τὴν ψυχικήν, οὐ τὴν φυσικὴν ἀλλὰ τὸ εἰς οὐσίαν ἄγειν τὸν θεὸν καὶ συνέχειν τὰ πάντα καὶ παντοίως πάντων προνοεῖν, καὶ τὸ παρεῖναι πᾶσι τῇ πάντων ἀσχέτῳ περιοχῇ.

καὶ ταῖς ἐπὶ τὰ ὄντα πάντα προνοητικαῖς προόδοις καὶ ἐνεργείαις. ἀλλὰ καὶ κινήσεις θεοῦ τοῦ ἀκινήτου θεοπρεπῶς τῷ λόγῳ, συγχωρητέον ὑμνῆσαι. καὶ τὸ μὲν εὐθὺ, τὸ ἀκλινὲς νοητέον. καὶ τὴν ἀπαρέγκλιτον πρόοδον τῶν ἐνεργειῶν, καὶ τὴν ἐξ αὐτοῦ τῶν ὅλων γένεσιν.

Τὸ δὲ ἑλικοειδὲς, τὴν σταθερὰν πρόοδον, καὶ τὴν γόνιμον στάσιν. τὸ δὲ κατὰ κύκλον, τὸ ταυτὸν, καὶ τὸ τὰ μέσα καὶ ἄκρα περιέχοντα καὶ περιεχόμενα, συνέχειν, καὶ τὴν εἰς αὐτὸν τῶν ἀπ' αὐτοῦ προεληλυθότων ἐπιστροφήν.

Εἰ δέ τις τὴν τοῦ αὐτοῦ τῶν λογίων, ἢ τὴν τῆς δικαιοσύνης θεωνυμίαν ἐπὶ τοῦ ἴσου λαμβάνοι. ῥητέον ἴσον τὸν θεὸν. οὐ μόνον ὡς ἀμερῆ καὶ ἀπαρέγκλιτον. ἀλλὰ καὶ ὡς ἐπὶ πάντα καὶ διὰ πάντων ἐπ' ἴσης διαφοιτῶντα. καὶ ὡς τῆς αὐτοϊσότητος ὑποστάτην, καθ' ἣν ἰσουργεῖ τὴν δι' ἀλλήλων ἁπάντων ὁμοίαν χώρησιν. καὶ τὴν τῶν μεταλαμβανόντων ἐπ' ἴσης μετοχὴν, κατὰ τὴν ἑκάστων ἐπιτηδειότητα. καὶ τὴν ἴσην κατ' ἀξίαν ἐπὶ πάντα θεονοουμένην δόσιν. καὶ κατὰ τὸ πᾶσαν ἰσότητα. νοητὴν, νοερὰν λογικὴν, αἰσθητικὴν, οὐσιώδη, φυσικὴν, θελητὴν ἐξῃρημένως καὶ ἑνιαίως ἐν ἑαυτῷ προειληφέναι. κατὰ τὴν ὑπὲρ πάντα πάσης ἰσότητος ποιητικὴν δύναμιν.



## ΚΕΦΑΛΑΙΟΝ Ι'.

### Περὶ παντοκράτορος. παλαιοῦ ἡμερῶν ἐν ᾧ καὶ περὶ αἰῶνος καὶ χρόνου.

Ὥρα δὴ τῷ λόγῳ τὸν πολυώνυμον θεὸν ὡς παντοκράτορα, καὶ ὡς παλαιὸν ἡμερῶν ὑμνῆσαι. τὸ μὲν γὰρ λέγεται διὰ τὸ πάντων αὐτὸν εἶναι παντοκρατορικὴν ἕδραν. συνέχουσαν καὶ περιέχουσαν τὰ ὅλα καὶ ἐνιδρύουσαν. καὶ θεμελιοῦσαν καὶ περισφίγγουσαν, καὶ ἀρραγὲς ἐν ἑαυτῇ τὸ πᾶν ἀποτελοῦσαν. καὶ ἐξ ἑαυτῆς τὰ ὅλα, καθάπερ ἐκ ῥίζης παντοκρατορικῆς προάγουσαν καὶ εἰς ἑαυτὴν τὰ πάντα καθάπερ εἰς πυθμένα παντοκρατορικὸν ἐπιστρέφουσαν καὶ συνέχουσαν αὐτὰ ὡς πάντων ἕδραν παγκρατῆ τὰ συνεχόμενα πάντα, κατὰ μίαν ὑπερέχουσαν πάντα συνοχήν. ἀσφαλιζομένην καὶ οὐκ ἐῶσαν αὐτὰ διεκπεσόντα ἑαυτῆς ὡς ἐκ παντελοῦς αἰτίας κινούμενα παραπολέσθαι.

Λέγεται δὲ παντοκράτωρ ἡ θεαρχία. καὶ ὡς πάντων κρατοῦσα. καὶ ἀμιγῶς τῶν διοικουμένων ἐπάρχουσα. καὶ ὡς πᾶσιν ἐφετὴ καὶ ἐράσμιος οὖσα, καὶ περιβάλλουσαν πᾶσι τοὺς ἐθελουσίους ζυγοὺς, καὶ τὰς γλυκείας ὠδῖνας τοῦ θείου καὶ παντοκρατορικοῦ καὶ ἀλύπου τῆς ἀγαθότητος αὐτῆς ἔρωτος.

Ἡμερῶν δὲ παλαιὸς ὁ θεὸς ὑμνεῖται, διὰ τὸ πάντων αὐτὸν εἶναι καὶ αἰῶνα καὶ χρόνον καὶ πρὸ ἡμερῶν καὶ πρὸ αἰῶνος καὶ χρόνου. καίτοι καὶ χρόνον καὶ ἡμέραν καὶ καιρὸν καὶ αἰῶνα θεοπρεπῶς αὐτὸν προσρητέον ὡς ὄντα κατὰ πᾶσαν κίνησιν ἀμετάβλητον καὶ ἀκίνητον, καὶ ἐν τῷ ἀεὶ κινεῖσθαι μένοντα ἐφ' ἑαυτοῦ, καὶ ὡς αἰῶνος καὶ χρόνου καὶ ἡμερῶν αἴτιον.

Διὸ καὶ ἐν ταῖς ἱεραῖς τῶν μυστικῶν ὁράσεων θεοφανείαις· παλαιὸς καὶ νέος πλάττεται τοῦ μὲν προτέρου τὸν ἀρχαῖον καὶ ὄντα ἀπ' ἀρχῆς· τοῦ νεοτέρου δὲ, τὸν ἀγήρω, σημαίνοντος, ἢ ἀμφοῖν τὸ ἐξ ἀρχῆς διὰ πάντων ἄχρι τέλους αὐτὸν προϊέναι διδασκόντων, ἢ ὡς ὁ θεῖος ἡμῶν ἱεροτελεστής φησι τῆς ἑκατέρου τὴν ἀρχαιότητα τὴν θείαν ὑποδηλούντος· τοῦ μὲν πρεσβυτέρου, τὸ πρῶτον ἐν χρόνῳ· τοῦ νεωτέρου δὲ, τὸ κατὰ ἀριθμὸν ἀρχαιότερον ἔχοντος ἐπεὶ περὶ ἡ μονὰς καὶ τὰ περὶ μονάδα· τῶν ἐπὶ πολὺ προεληλυθότων ἀριθμῶν ἀρχηγικώτερα.

Χρὴ δὲ ὡς οἶμαι καὶ χρόνου καὶ αἰῶνος φύσιν, ἐκ τῶν λογίων εἰδέναι καὶ γὰρ οὐ τὰ πάντη καὶ ἀπολύτως ἀγένητα καὶ ὄντας ἀΐδια, πανταχοῦ φησιν· αἰώνια· καὶ τὰ ἄφθαρτα δὲ καὶ ἀθάνατα καὶ ἀναλλοίωτα καὶ ὄντα ὡσαύτως ὡς ὅταν λέγῃ τὸ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ τὰ ὅμοια· πολλάκις δὲ καὶ τὰ ἀρχαιότατα τῇ τοῦ αἰῶνος ἐπωνυμίᾳ χαρακτηρίζει· καὶ τὴν ὅλην δὲ αὖθις, ἔσθ' ὅτε τοῦ καθ' ἡμᾶς χρό-



νου παράτασιν, αἰῶνα προσαγορεύει· καθ' ὅσον καὶ ἴδιόν τῆς αἰῶνός ἐστι, τὸ ἀρχαῖον καὶ ἀναλλοίωτον· καὶ τὸ καθόλου τὸ εἶναι μετρεῖν· χρόνον δὲ καλεῖ, τὸν ἐν γενέσει καὶ φθορᾷ καὶ ἀλλοιώσει· καὶ ἄλλοτε ἄλλως ἔχοντα· διὸ καὶ ἡμᾶς ἐνθάδε κατὰ χρόνον ὁριζομένους αἰῶνος μεθέξειν ἡ θεολογία φησίν· ἡνίκα τοῦ ἀφθάρτου καὶ ἀεὶ ὡσαύτως ἔχοντος αἰῶνος ἐφικώμεθα· τοῖς λογίοις δὲ ἔσθ' ὅτε καὶ ἔγχρονος αἰὼν δοξάζεται καὶ αἰώνιος χρόνος· εἰ καὶ μᾶλλον ἴσμεν αὐτοῖς, καὶ κυριώτερον τὰ ὄντα τῷ αἰῶνι· καὶ τὰ ἐν γενέσει τῷ χρόνῳ καὶ λεγόμενα καὶ δηλούμενα.

Χρὴ τοιγαροῦν οὐχ ἁπλῶς συναΐδια θεῷ τῷ πρὸ αἰῶνος οἴεσθαι τὰ αἰώνια λεγόμενα· τοῖς σεπτοτάτοις δὲ λογίοις ἀπαρατρέπτως συνεπομένους· αἰώνια μὲν καὶ ἔγχρονα κατὰ τοὺς συνεγνωσμένους αὐτοῖς προσυπακούειν τρόπους· μέσα δὲ ὄντων καὶ γιγνομένων· ὅσα τῇ μὲν αἰῶνος, τῇ δὲ χρόνου μετέχει· τὸν δὲ θεὸν, καὶ ὡς αἰῶνα καὶ ὡς χρόνον ὑμνεῖν, ὡς χρόνου παντὸς καὶ αἰῶνος αἴτιον, καὶ παλαιὸν ἡμερῶν, ὡς πρὸ χρόνου καὶ ὑπὲρ χρόνον, καὶ ἀλλοιοῦντα καιροὺς καὶ χρόνους· καὶ αὖθις πρὸ αἰώνων ὑπάρχοντα καθ' ὅσον καὶ πρὸ αἰῶνός ἐστι καὶ ὑπὲρ αἰῶνα, καὶ ἡ βασιλεία αὐτοῦ βασιλεία πάντων τῶν αἰώνων ἀμήν.

## ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ εἰρήνης καὶ τί βούλεται αὐτῷ τὸ αὐτὸ εἶναι· τίς ἡ αὐτοζωή· τίς ἡ αὐτοδύναμις καὶ τὰ οὕτω λεγόμενα.

Γε δὴ τὴν θείαν καὶ ἀρχισυναγωγὸν
α' εἰρήνην ὕμνοις εἰρηναίοις εὐφημήσωμεν. αὕτη γάρ ἐστιν ἡ πάντων ἑνωτικὴ καὶ τῆς ἁπάντων ὁμονοίας τε καὶ συμφυΐας γεννητικὴ καὶ ἀπεργαστική. διὸ καὶ πάντα αὐτῆς ἐφίεται τὸ μεριστὸν αὐτῶν πλῆθος ἐπιστρεφούσης εἰς τὴν ὅλην ἑνότητα. καὶ ἐμφύλιον τοῦ παντὸς πόλεμον ἑνούσης εἰς ὁμοειδῆ συνοικείαν τῇ μετοχῇ τῆς θείας εἰρήνης αἱ πρεσβύτεραι τῶν συναγωγῶν δυνάμεων. αὗται πρὸς ἑαυτὰς καὶ πρὸς ἀλλήλας ἑνοῦνται, καὶ πρὸς τὴν μίαν τῶν ὅλων εἰρηναρχίαν, καὶ τὰ ὑφ' ἑαυτὰς ἑνοῦσιν αὐτά τε πρὸς ἑαυτὰ καὶ πρὸς ἄλληλα, καὶ πρὸς τὴν μίαν καὶ παντελῆ τῆς πάντων εἰρήνης ἀρχὴν καὶ αἰτίαν. ἥτις ἀμερῶς ἐπιβεβηκυῖα τοῖς ὅλοις, ὥσπερ τισὶ κλείθροις τῶν διηρημένων συμπλεκτικοῖς τὰ πάντα ὁρίζει, καὶ περατοῖ καὶ ἀσφαλίζεται. καὶ οὐκ ἐᾷ διαιρεθέντα χυθῆναι πρὸς τὸ ἄπειρον καὶ ἀόριστον ἄτακτα καὶ ἀνίδρυτα καὶ ἔρημα θεοῦ γιγνόμενα, καὶ τῆς ἑαυτῶν ἑνώσεως ἐξιόντα, καὶ ἐν



ἀλλήλοις παμμιγῶς συμφυρόμενα. περὶ μὲν οὖν αὐτῆς ὅτι ποτέ ἐστιν τῆς θείας εἰρήνης καὶ ἡσυχίας, ἣν ὁ ἱερὸς Ἰοῦστος ἀφθεγξίαν καλεῖ. καὶ ἐπὶ πᾶσαν γιγνωσκομένην πρόοδον, ἀκινησίαν. ὅπως τε ἠρεμεῖ καὶ ἡσυχίαν ἄγει. καὶ ὅπως ἐν ἑαυτῇ καὶ εἴσω αὐτῆς ἐστι, καὶ πρὸς αὐτὴν ὅλην ὅλη ὑπερήνωται, καὶ οὔτε εἰς ἑαυτὴν εἰσιοῦσα, καὶ πολλαπλασιάζουσα ἑαυτὴν ἀπολείπει τὴν ἑαυτῆς ἕνωσιν. ἀλλὰ καὶ προϊοῦσα ἐπὶ πάντα ἔνδον ὅλη μένουσα δι' ὑπερβολὴν τῆς πάντα ὑπερεχούσης ἑνώσεως. οὔτε εἰπεῖν, οὔτε ἐννοῆσαί τινι τῶν ὄντων, οὔτε θέμιτόν, οὔτε ἐφικτόν. ἀλλ' ὡς ἄφθεγκτον καὶ τοῦτο καὶ ἄγνωστον ἐπ' αὐτὴν ἀναθέντες ὡς πάντων οὖσαν ἐπέκεινα τὰς νοητὰς αὐτῆς καὶ ῥητὰς μετουσίας, καὶ τοῦτο ὡς δυνατὸν ἀνδράσι. καὶ ἡμῖν πολλῶν ἀνδρῶν ἀγαθῶν ἀπολειπομένοις ἐπισκοπήσωμεν.

Καὶ πρῶτόν γε τοῦτο ῥητέον, ὅτι τῆς αὐτοειρήνης καὶ τῆς ὅλης καὶ τῆς καθ' ἕκαστον ἐστιν ὑποστάτις καὶ ὅτι πάντα πρὸς ἄλληλα συγκεραννῦσα κατὰ τὴν ἀσύγχυτον αὐτῶν ἕνωσιν, καθ' ἣν ἀδιαιρέτως ἡνωμένα, καὶ ἀδιαστάτως ὅμως ἀκραιφνῆ κατὰ τὸ οἰκεῖον ἕκαστα εἶδος ἕστηκεν. οὐκ ἐπιθολούμενα διὰ τῆς πρὸς τὰ ἀντικείμενα κράσεως οὔτε ἀπαμβλύνοντά τι τῆς ἑνωτικῆς ἀκριβείας καὶ καθαρότητος. μίαν οὖν τινα καὶ ἁπλῆν τῆς εἰρηνικῆς ἑνώσεως θεωρήσωμεν φύσιν. ἑνοῦσαν ἅπαντα ἑαυτῇ καὶ ἑαυτοῖς καὶ ἀλλήλοις καὶ διασώζουσαν πάν-

τὸ ἓν ἀσυγχύτῳ τῶν πάντων συνοχῇ. καὶ ἀμιγὴ καὶ συγκεκραμένα δι' ἣν οἱ θεῖοι νόες ἑνούμενοι ταῖς νοήσεσιν ἑαυτῶν ἑνοῦνται καὶ τοῖς νοουμένοις· καὶ αὖθις ἐπὶ τὴν ἄγνωστον ἀναβαίνουσι τῶν ὑπὲρ νοῦν ἱδρυμένων συναφήν· δι' ἣν αἱ ψυχαὶ τοὺς παντοδαποὺς αὐτῶν λόγους ἑνοῦσαι καὶ πρὸς μίαν νοερὰν συνάγουσαι καθαρότητα. προβαίνουσιν οἰκείως ἑαυταῖς ὁδῷ καὶ τάξει διὰ τῆς ἀΰλου καὶ ἀμεροῦς νοήσεως ἐπὶ τὴν ὑπὲρ νόησιν ἕνωσιν· δι' ἣν ἡ μία καὶ ἀδιάλυτος τῶν πάντων συμπλοκὴ κατὰ τὴν θείαν αὐτῆς ἁρμονίαν ὑφίσταται καὶ ἐναρμόζεται συμφωνίᾳ παντελεῖ καὶ ὁμονοίᾳ καὶ συμφυΐᾳ. συναγομένη τε ἀσυγχύτως ἀδιαιρέτως τε συνεχομένη. διήκει γὰρ ἡ τῆς παντελοῦς εἰρήνης ὁλότης. ἐπὶ πάντα τὰ ὄντα. κατὰ τὴν ἁπλουστάτην αὐτῆς. καὶ ἀμιγῆ τῆς ἑνοποιοῦ δυνάμεως παρουσίαν, ἑνοῦσα πάντα, καὶ συνδέουσα τὰ ἄκρα διὰ τῶν μέσων τοῖς ἄκροις· κατὰ μίαν ὁμοφυῆ· συνεζευγμένα φιλίαν καὶ τὸ ἀπολαύειν αὐτῆς δωρουμένη· καὶ ταῖς ἐσχάταις τοῦ παντὸς ἀποπερατώσεσι· καὶ πάντα ὁμόγνια ποιοῦσα. ταῖς ἑνότησι· ταῖς ταυτότησι· ταῖς ἑνώσεσι· ταῖς συναγωγαῖς, ἀδιαιρέτως δηλαδὴ τῆς θείας εἰρήνης ἑστώσης· καὶ ἐν ἑνὶ πάντα δεικνυούσης καὶ διὰ πάντων φοιτώσης· καὶ τῆς οἰκείας ταυτότητος οὐκ ἐξισταμένης. πρόεισι γὰρ ἐπὶ πάντα καὶ μεταδίδωσι πᾶσιν οἰκείως αὐτοῖς ἑαυτῆς· καὶ ὑπερβλύζει περιουσίᾳ τῆς εἰρηνικῆς γονι-



μότητος καὶ μένει δι' ὑπεροχὴν ἑνώσεως ὅλη πρὸς ὅλην καὶ καθ' ὅλην ἑαυτῇ ὑπερηνωμένη. πῶς δὲ φαίη τις, ἐφίεται πάντα εἰρήνης. πολλὰ γὰρ ἑτερότητι καὶ διακρίσει χαίρει. καὶ οὐκ ἄν ποτε ἑκόντα ἠρεμεῖν ἐθελήσοι. εἰ μὲν ἑτερότητα καὶ διάκρισιν ὁ ταῦτα λέγων φησὶ τὴν ἑκάστου τῶν ὄντων ἰδιότητα. καὶ ὅτι ταύτην οὐδὲν τῶν ὄντων ὅσον ὄν, ὅπερ ἐστὶν ἐθέλει ποτὲ ἀπολλύειν· οὐκ ἂν οὐδὲ ἡμεῖς πρὸς τοῦτο ἀντιφήσομεν ἀλλὰ καὶ ταύτην εἰρήνης ἔφεσιν ἀποφανούμεθα. πάντα γὰρ ἀγαπᾷ πρὸς ἑαυτὰ εἰρηνεύειν τε καὶ ἡνῶσθαι καὶ ἑαυτῶν καὶ τῶν ἑαυτῶν· ἀκίνητα καὶ ἄπτωτα εἶναι. καὶ ἔστιν καὶ τῆς καθ' ἕκαστον ἀμιγοῦς ἰδιότητος· ἡ παντελὴς εἰρήνη φυλακτική, ταῖς εἰρηνοδώροις αὐτῆς προνοίαις τὰ πάντα ἀστασίαστα καὶ ἀσύμφυρτα πρός τε ἑαυτὰ καὶ πρὸς ἄλληλα διασῴζουσα, καὶ πάντα ἐν σταθερᾷ καὶ ἀκλίτῳ δυνάμει πρὸς τὴν ἑαυτῶν εἰρήνην καὶ ἀκινησίαν ἱστῶσα.

Καὶ εἰ τὰ κινούμενα πάντα μὴ ἠρεμεῖν. ἀλλὰ κινεῖσθαι ἀεὶ τὴν ἑαυτῶν κίνησιν ἐθέλοι καὶ τοῦτο ἔφεσίς ἐστι τῆς θείας τῶν ὅλων εἰρήνης, τῆς πάντα ἐφ' ἑαυτῶν ἀδιάπτωτα διασῳζούσης. καὶ τὴν πάντων τῶν κινουμένων ἰδιότητα καὶ κινητικὴν ζωὴν ἀκίνητον καὶ ἄπτωτον φυλαττούσης ἐν τῷ τὰ κινούμενα πρὸς ἑαυτὰ εἰρηνεύοντα καὶ ὡσαύτως ἔχοντα δρᾶν τὰ ἑαυτῶν.

Εἰ δὲ τὴν κατ' ἔκπτωσιν εἰρήνης ἑτερότητα λέγων, ἰ-
σχυρίζεται μὴ εἶναι πᾶσιν ἐραστὴν εἰρήνην, μάλιστα
μὲν οὐδέν ἐστι τῶν ὄντων, ὃ πάσης παντελῶς ἑνώ-
σεως ἀποπέπτωκε· τὸ γὰρ πάντη ἄστατον καὶ ἄπει-
ρον καὶ ἀνίδρυτον καὶ ἀόριστον, οὔτε ὄν ἐστιν, οὔτε
ἐν τοῖς οὖσιν.

Εἰ δὲ τούτους φησὶν εἰρήνην, καὶ εἰρήνης ἀγαθοῖς ἀπε-
χθάνεσθαι, τοὺς ἔρισι καὶ θυμοῖς καὶ ἀλλοιώσεσι
καὶ ἀστασίαις χαίροντας· καὶ οὗτοι ἀμαυροῖς εἰδώ-
λοις εἰρηνικοῖς ἐφέσεως διακρατοῦνται· πρὸς πα-
θῶν ἐνοχλούμενοι πολυκινήτων· καὶ ταῦτα ἱστᾶν ἀνε-
πιστημόνως ἐφιέμενοι καὶ οἰόμενοι τῇ ἀποπληρώ-
σει τῶν ἀεὶ ἀπορρεόντων εἰρηνεύειν ἑαυτοὺς τῇ ἀπου-
σία τῶν κρατησάντων ἡδονῶν ἐκταρασσομένους.

Τί ἄν τις εἴποι περὶ τῆς κατὰ Χριστὸν εἰρηνοχύτου φι-
λανθρωπίας, καθ' ἣν οὐ μὴ μαθῶμεν ἔτι πολεμεῖν·
οὔτε ἑαυτοῖς, οὔτε ἀλλήλοις, οὔτε ἀγγέλοις· ἀλλὰ
καὶ αὐτοῖς τὰ θεῖα κατὰ δύναμιν συνεργήσομεν·
κατὰ πρόνοιαν Ἰησοῦ τοῦ πάντα ἐν πᾶσιν ἐνερ-
γοῦντος καὶ ποιοῦντος εἰρήνην ἄρρητον καὶ ἐξ αἰῶ-
νος προωρισμένην, καὶ ἀποκαταλλάσσοντος ἡμᾶς
ἑαυτῷ ἐν πνεύματι· καὶ δι' ἑαυτοῦ καὶ ἐν ἑαυτῷ τῷ
πατρί. περὶ ὧν ὑπερφυῶν δώρων, ἐν ταῖς θεολογι-
καῖς ὑποτυπώσεσιν ἱκανῶς εἴρηται· προσμαρ-
τυρούντων ἡμῖν καὶ τῆς ἱερᾶς τῶν λογίων θεοπνοίας.

Ἀλλ' ἐπειδὴ καὶ ἄλλοτέ μου δι' ἐπιστολῆς ἐπύθου·
τί ποτε ἄρα φημὶ τὸ αὐτὸ εἶναι, τὴν αὐτοζωήν· τὴν αὐ-
τοσοφίαν·



τοσοφίαν· καὶ πρὸς ἑαυτὸν ἔφης ἀπορρῆσαι· πῶς
τὸν θεόν, ποτὲ μὲν αὐτοζωὴν φημί, ποτὲ δὲ τῆς αὐ-
τοζωῆς ὑποστάτην, ἀναγκαῖον ᾠήθην, ἱερὲ τοῦ θεοῦ
ἄνθρωπε, καὶ ταύτης σε τῆς ἐφ' ἡμῖν ἀπορίας ἀπο-
λῦσαι. Καὶ πρῶτον μὲν ἵνα τὰ μυριόλεκτα καὶ
νῦν ἀναλάβωμεν, οὐκ ἔστιν ἐναντίον, αὐτοδύναμιν
ἢ αὐτοζωὴν εἰπεῖν τὸν θεόν, καὶ τῆς αὐτοζωῆς, ἢ εἰ-
ρήνης ἢ δυνάμεως ὑποστάτην· τὰ μὲν γὰρ ἐκ τῶν ὄν-
των καὶ μάλιστα ἐκ τῶν πρώτως ὄντων, ὡς αἴτιος πάν-
των τῶν ὄντων λέγεται· τὰ δὲ ὡς ὑπὲρ πάντα καὶ τὰ
πρώτως ὄντα ὑπὲρ ὤν, ὑπερουσίως. τί δὲ ὅλως φῄς
τὸ αὐτὸ εἶναι λέγομεν, ἢ τὴν αὐτοζωήν, ἢ ὅσα ἄλ-
λα ἀπολύτως καὶ ἀρχικῶς εἶναι, καὶ ἐκ τοῦ θεοῦ
πρώτως ὑφεστηκέναι τιθέμεθα.

Τοῦτο δὲ φαμέν, οὐκ ἔστι ἀγκύλον, ἀλλ' εὐθὺ καὶ ἁπλῆν
τὴν διασάφησιν ἔχον· οὐ γὰρ οὐσίαν τινὰ θείαν, ἢ ἀγ-
γελικὴν εἶναι φαμὲν τὸ αὐτὸ εἶναι τοῦ εἶναι τὰ ὄν-
τα πάντα αἰτίαν· μόνον γὰρ τοῦ εἶναι πάντα τὰ ὄν-
τα, καὶ αὐτὸ τὸ εἶναι τὸ ὑπερούσιον ἀρχὴ καὶ οὐσία
καὶ αἴτιον· οὐδὲ ζωογόνον ἄλλην θεότητα παρὰ τὴν
ὑπέρθεον πάντων ὅσα ζῇ καὶ τῆς αὐτοζωῆς αἰτίαν
ζωήν· οὔτε συνελόντα εἰπεῖν· ἀρχικὰς τῶν ὄντων
καὶ δημιουργικὰς οὐσίας καὶ ὑποστάσεις, ἅς τινες
καὶ θεοὺς τῶν ὄντων καὶ δημιουργοὺς αὐτοσχεδιά-
σαντες ἀπεσομάτιαν, οὓς ἀληθῶς καὶ κυρίως εἰ-
πεῖν· οὔτε αὐτοὶ ᾔδεσαν οὐκ ὄντας, οὔτε οἱ πατέ-
ρες αὐτῶν· ἀλλ' αὐτοεῖναι καὶ αὐτοζωὴν καὶ αὐτο-

θεότητά φαμεν. ἀρχικῶς μὲν οὖν καὶ θεϊκῶς καὶ αἰτιατικῶς, τὴν μίαν πάντων ὑπεράρχιον καὶ ὑπερούσιον ἀρχὴν καὶ αἰτίαν. μεθεκτῶς δὲ τὰς ἐκδιδομένας ἐκ θεοῦ τοῦ ἀμεθέκτου προνοητικὰς δυνάμεις, τὴν αὐτοουσίωσιν, αὐτοζώωσιν, αὐτοθέωσιν. ὧν τὰ ὄντα οἰκείως ἑαυτοῖς μετέχοντα καὶ ὄντα καὶ ζῶντα, καὶ ἔνθεα καὶ ἔστιν καὶ λέγεται. καὶ τὰ ἄλλα ὡσαύτως. διὸ καὶ πρώτων αὐτῶν ὁ ἀγαθὸς ὑποστάτης λέγεται εἶναι.

Ε ἶτα τῶν ὅλων αὐτῶν, εἶτα τῶν μερικῶν αὐτῶν, εἶτα τῶν ὅλως αὐτῶν μετεχόντων. εἶτα τῶν μερικῶς αὐτῶν μετεχόντων. καὶ τί δεῖ περὶ τούτων λέγειν ὅπου γέ τινες τῶν θείων ἡμῶν ἱεροδιδασκάλων, καὶ τῆς αὐταγαθότητος καὶ θεότητος ὑποστάτην φασὶ τὸν ὑπεράγαθον καὶ ὑπέρθεον αὐταγαθότητα καὶ θεότητα λέγοντες εἶναι τὴν ἀγαθοποιὸν καὶ θεοποιὸν ἐκ θεοῦ προεληλυθυῖαν δωρεάν. καὶ αὐτὸ κάλλος, τὴν αὐτοκαλλοποιὸν χύσιν. καὶ ὅλον κάλλος, καὶ μερικὸν κάλλος καὶ ὅλως καλά. καὶ ἐν μέρει καλά. καὶ ὅσα ἄλλα κατὰ τὸν αὐτὸν εἴρηται καὶ ῥηθήσεται τρόπον. δηλοῦντα προνοίας καὶ ἀγαθότητας μετεχομένας ὑπὸ τῶν ὄντων, ἐκ θεοῦ ἀμεθέκτου προϊούσας ἀφθόνῳ χύσει καὶ ὑπερβλυζούσας. ἵνα ἀκριβῶς ὁ πάντων αἴτιος ἐπέκεινα ᾖ, πάντων καὶ τὸ ὑπερούσιον καὶ ὑπερφυὲς πάντη ὑπερέχοι τῶν καθ᾽ ὁποίαν ποτὲ οὐσίαν καὶ φύσιν.



## ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

### Περὶ ἁγίου ἁγίων βασιλέως βασιλέων. κυρίου κυρίων. θεοῦ θεῶν.

α' λλ᾽ ἐπειδὴ καὶ περὶ τούτων ὅσα εἰπεῖν ἔδει τὸ προσῆκον ἀπείληφεν ὡς οἶμαι τέλος ὑμνητέον ἡμῖν τὸν ἀπειρώνυμον. καὶ ὡς ἅγιον ἁγίων καὶ βασιλέα τῶν βασιλευόντων, καὶ βασιλεύοντα τὸν αἰῶνα καὶ ἐπ᾽ αἰῶνα καὶ ἔτι. καὶ ὡς κύριον τῶν κυρίων καὶ θεὸν τῶν θεῶν.

Κ αὶ πρῶτόν γε ῥητέον. τί μὲν αὐταγιότητα εἶναι οἰόμεθα. τί δὲ βασιλείαν. τί δὲ κυριότητα. τί δὲ θεότητα. καὶ τί βούλεται δηλοῦν τὰ λόγια. τῷ διπλασιασμῷ τῶν ὀνομάτων.

Α γιότης μὲν οὖν ἔστιν ὡς καθ᾽ ἡμᾶς εἰπεῖν ἡ παντὸς ἄγους ἐλευθέρα καὶ παντελὴς καὶ πάντη ἄχραντος καθαρότης. βασιλεία δὲ ἡ παντὸς ὅρου καὶ κόσμου καὶ θεσμοῦ, καὶ τάξεως διανέμησις. κυριότης δὲ οὐχ ἡ τῶν χειρόνων ὑπεροχὴ μόνον. ἀλλὰ πάντα τῶν καλῶν τε καὶ ἀγαθῶν ἡ παντελὴς παγκτησία καὶ ἀληθὴς καὶ ἀμετάπτωτος βεβαιότης. διὸ καὶ κυριότης παρὰ τὸ κῦρος καὶ τὸ κύριον καὶ τὸ κυριεῦον. Θεότης δὲ ἡ πάντα θεωμένη πρόνοια καὶ ἀγαθότητι παντελεῖ καὶ πάντα περιθέουσα καὶ συνέχουσα καὶ ἑαυτῆς ἀποπληροῦσα καὶ ὑπερέχουσα πάντα τὰ τῆς προνοίας αὐτῆς ἀπολαύοντα.

Ταῦτα μὲν οὖν ἐπὶ τῆς πάντα ὑπερβαλλούσης αἰτίας ἀπολύτως ὑμνητέον καὶ προσρητέον αὐτήν, ὑπερέχουσαν ἁγιότητα, καὶ κυριότητα καὶ βασιλείαν ὑπερκειμένην καὶ ἁπλουστάτην θεότητα. καὶ γὰρ ἐξ αὐτῆς ἐν ἑνὶ καὶ ἀθρόως ἐκπέφυκε καὶ διανενέμηται, πᾶσα ἀμιγὴς ἀκρίβεια. πάσης εἰλικρινοῦς καθαρότητος, πᾶσα ἡ τῶν ὄντων διάταξίς τε καὶ διακόσμησις. ἀναρμοστίαν καὶ ἀνισότητα καὶ ἀσυμμετρίαν ἐξορίζουσα. καὶ εἰς τὴν εὔτακτον ταυτότητα καὶ ὀρθότητα γανυμένη. καὶ περιέχουσα τὰ μετέχειν αὐτῆς ἠξιωμένα. πᾶσα ἡ παντελὴς καὶ πάντων τῶν καλῶν παγκτησία. πᾶσα θεϊκὴ πρόνοια θεωρὸς καὶ συνοχικὴ τῶν προνοουμένων ἑαυτὴν ἀγαθοπρεπῶς ἐπιδιδοῦσα. πρὸς ἐκθέωσιν τῶν ὑπεστραμμένων.

Ἐπειδὴ δὲ ὑπερηπλωμένος πάντων ἐστὶν ὁ πάντων αἴτιος κατὰ μίαν τὴν ὑπὲρ αὐτῶν ὑπερέχουσαν ὑπερβολήν. ἅγιος ἁγίων ὑμνεῖται καὶ τὰ λοιπά. κατὰ ὑπερβλύζουσαν αἰτίαν, καὶ ἐξῃρημένην ὑπεροχήν. ὡς ἄν τις φαίη. καθ' ὅσον ὑπερέχουσι τῶν οὐκ ὄντων τὰ ὄντα, ἅγια, ἢ θεῖα, ἢ κύρια, ἢ βασιλικά. καὶ αὐτῶν μετεχόντων αἱ αὐτομετοχαί. κατὰ τοσοῦτον ὑπερίδρυται πάντων τῶν ὄντων ὁ ὑπὲρ πάντα τὰ ὄντα, καὶ πάντων τῶν μετεχόντων ὁ ἀμέθεκτος αἴτιος.

Ἁγίους δὲ καὶ βασιλεῖς καὶ κυρίους καὶ θεοὺς καλεῖ τὰ λόγια, τὰ ἐν ἑκάστοις ἀρχικωτέρας διακοσμή-



σεις, δι' ὧν αἱ δεύτεραι τῶν ἐκ θεοῦ δωρεῶν μεταλαμβάνουσαι τὴν τῆς ἐκείνων διαδόσεως ἁπλότητα περὶ τὰς ἑαυτῶν διαφορὰς πληθύνουσιν ὧν αἱ πρώτισται τὴν ποικιλίαν προνοητικῶς καὶ θεοειδῶς πρὸς τὴν ἑνότητα τὴν ἑαυτῶν συνάγουσιν.

## ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

### Περὶ τελείου καὶ ἑνός.

Τοσαῦτα καὶ περὶ τούτων, ἐπ' αὐτῷ δὲ λοιπὸν εἰ δοκεῖ τῷ λόγῳ τῷ καρτερικώτατον χωρῶμεν. καὶ γὰρ ἡ θεολογία τοῦ πάντων αἰτίου καὶ πάντα καὶ ἅμα πάντα κατηγορεῖ. καὶ ὡς τέλειον αὐτὸ καὶ ὡς ἓν ἀνυμνεῖ.

Τέλειον μὲν οὖν ἐστιν, οὐ μόνον ὡς αὐτοτελές, καὶ καθ' ἑαυτὸ ὑφ' ἑαυτοῦ μονοειδῶς ἀφοριζόμενον, καὶ ὅλον δι' ὅλου τελειότατον. ἀλλὰ καὶ ὡς ὑπερτελὲς κατὰ πάντων ὑπερέχον. καὶ πᾶσαν μὲν ἀπειρίαν ὁρίζον. παντὸς δὲ πέρατος ὑπερτεινόμενον, καὶ ὑπὸ μηδενὸς χωρούμενον, ἢ καταλαμβανόμενον. ἀλλὰ καὶ διατεῖνον ἐπὶ πάντα ἅμα καὶ ὑπὲρ πάντα ταῖς ἀνεκλείπτοις ἐπιδόσεσι καὶ ἀτελευτήτοις ἐνεργείαις.

Τέλειον δὲ αὖ λέγεται καὶ ὡς ἀναυξὲς καὶ ἀεὶ τέλειον, καὶ ὡς ἀμείωτον. ὡς πάντα ἐν ἑαυτῷ προέ-

χον καὶ ὑπερβλύζον· κατὰ μίαν τὴν ἄπαυστον καὶ ταὐτὴν καὶ ὑπερπλήρη καὶ ἀνελάττωτον χορηγίαν καθ' ἣν τὰ τέλεια πάντα τελεσιουργεῖ, καὶ τῆς οἰκείας ἀποπληροῖ τελειότητος.

Ἓν δὲ ὅτι πάντα ἑνιαίως ἐστὶ κατὰ μιᾶς ἑνότητος ὑπεροχὴν καὶ πάντων ἐστὶ τοῦ ἑνὸς ἀνεκφοιτήτως αἴτιον. οὐδὲν γάρ ἐστι τῶν ὄντων ἀμέτοχον τοῦ ἑνός· ἀλλ' ὥσπερ ἅπας ἀριθμὸς μονάδος μετέχει, καὶ μία δυάς, καὶ δεκὰς λέγεται, καὶ ἥμισυ ἕν, καὶ τρίτον καὶ δέκατον ἕν, οὕτω πάντα καὶ πάντων μόριον τοῦ ἑνὸς μετέχει, καὶ τῷ εἶναι τὸ ἓν πάντα ἐστὶ τὰ ὄντα, καὶ οὐκ ἔστι τὸ πάντων αἴτιον ἓν τῶν πολλῶν ἕν. ἀλλὰ πρὸ παντὸς ἑνὸς καὶ πλήθους ὁριστικὸν οὐδὲ γάρ ἐστι πλῆθος ἀμέτοχον τοῦ ἑνός. ἀλλὰ τὸ μὲν πολλὰ τοῖς μέρεσιν ἓν τῷ ὑποκειμένῳ, καὶ τὸ πολλὰ τῷ ἀριθμῷ, ἢ ταῖς δυνάμεσιν ἓν τῷ ὅλῳ· καὶ τὸ πολλὰ τοῖς συμβεβηκόσιν ἓν τῷ εἴδει καὶ τὸ πολλὰ τοῖς εἴδεσιν ἓν τῷ γένει, καὶ τὸ πολλὰ ταῖς προόδοις ἓν τῇ ἀρχῇ.

Καὶ οὐδέν ἐστι τῶν ὄντων ὃ μὴ μετέχει πῃ τοῦ ἑνός, ὃ ἐν τῷ κατὰ πάντα ἑνικοῦ, πάντα καὶ ὅλα, πάντα καὶ τὰ ἀντικείμενα καὶ ἑνιαίως προειληφότως. καὶ ἄνευ μὲν τοῦ ἑνός, οὐκ ἔσται πλῆθος· ἄνευ δὲ τοῦ πλήθους ἔσται τὸ ἕν, ὡς καὶ μονὰς πρὸ παντὸς ἀριθμοῦ πεπληθυσμένου. καὶ εἰ πᾶσιν τὰ πάντα ἡνωμένα τις ὑπόθοιτο. τὰ πάντα ἔσται τῷ ὅλῳ ἕν.

Ἄλλως τε καὶ τοῦτο ἰστέον ὅτι κατὰ ἑνὸς ἑκάστου προεπινοούμενον εἶδος ἡνῶσθαι λέγεται τὰ ἡνωμένα



καὶ πάντων ἐστὶ τὸ ἕν, στοιχειωτικόν. καὶ εἰ ἀνέλῃς τὸ ἕν, οὔτε ὅλον τις, οὔτε μόριον, οὔτε ἄλλο οὐδὲν τῶν ὄντων ἔσται· πάντα γὰρ ἐν ἑαυτῷ τὸ ἓν ἑνοειδῶς προείληφέν τε καὶ περιείληφεν.

Ταύτῃ τοι ἡ θεολογία τὴν ὅλην θεαρχίαν, ὡς πάντων αἰτίαν ὑμνεῖ τῇ τοῦ ἑνὸς ἐπωνυμίᾳ, καὶ εἷς ὁ θεὸς καὶ πατήρ, καὶ εἷς κύριος Ἰησοῦς χριστός, καὶ ἕν, καὶ τὸ αὐτὸ πνεῦμα διὰ τὴν ὑπερβάλλουσαν τῆς ὅλης θεϊκῆς ἑνότητος ἀμέρειαν· ἐν ᾗ πάντα ἑνικῶς συνῆκται καὶ ὑπερήνωται, καὶ προέστιν ὑπερουσίως. διό, καὶ πάντα ἐπ' αὐτὴν ἐνδίκως ἀναπέμπεται καὶ ἀνατίθεται ὑφ' ἧς καὶ ἐξ ἧς καὶ δι' ἧς, καὶ ἐν ᾗ, καὶ εἰς ἥν, πάντα ἐστὶν καὶ συντέτακται καὶ μένει καὶ συνέχεται καὶ ἀποπληροῦται. καὶ ἐπιστρέφεται. καὶ οὐκ ἂν εὕροις τί τῶν ὄντων ὃ, μὴ τῷ ἑνὶ καθ' ὃ πᾶσα ἡ θεότης ὑπερουσίως ὀνομάζεται. καὶ ἔστιν τοῦθ' ὅπερ ἐστὶν καὶ τελειοῦται καὶ διασώζεται. καὶ χρὴ καὶ ἡμᾶς ἀπὸ τῶν πολλῶν ἐπὶ τὸ ἕν, τῇ δυνάμει τῆς θεϊκῆς ἑνότητος ἐπιστρεφομένους, ἑνιαίως ὑμνεῖν τὴν ὅλην καὶ μίαν θεότητα. τὸ πάντων αἴτιον ἕν, τὸ πρὸ παντὸς ἑνὸς καὶ πλήθους καὶ μέρους καὶ ὅλου, καὶ ὅρου καὶ ἀοριστίας καὶ πέρατος, καὶ ἀπειρίας. τὸ πάντα τὰ ὄντα καὶ αὐτὸ τὸ εἶναι ὁρίζον, καὶ πάντων καὶ ὅλων. πάντων καὶ ἅμα, καὶ πρὸ πάντων, καὶ ὑπὲρ πάντα, καὶ ἑνικῶς αἴτιον, καὶ ὑπὲρ αὐτὸ τὸ ἓν ὄν. καὶ αὐτὸ τὸ ἓν ὂν ὁρίζον, ἐπείπερ τὸ ὂν ἕν, τὸ ἐν τοῖς οὖσιν. ἐναρίθμιόν ἐστιν.

ἀριθμὸς δὲ οὐδαμῶς μετέχει· τὸ δὲ ὑπερούσιον ἕν, καὶ τὸ ὂν ἕν, καὶ πάντα ἀριθμὸν ὁρίζει· καὶ αὐτό ἐστι· καὶ ἑνὸς ἀριθμοῦ· καὶ παντὸς ὄντος ἀρχὴ καὶ αἰτία καὶ ἀριθμὸς καὶ τάξις. Διὸ καὶ μονὰς ὑμνουμένη· καὶ τριάς, καὶ ὑπὲρ πάντα θεότης· οὐκ ἔστιν δὲ οὐδὲ μονὰς οὐδὲ τριάς, ἡ πρὸς ἡμῶν, ἢ ἄλλου τινὸς τῶν ὄντων διεγνωσμένη· ἀλλ' ἵνα καὶ τὸ ὑπερηνωμένον αὐτῆς καὶ τὸ θεογόνον ἀληθῶς ὑμνήσωμεν τῇ τριαδικῇ καὶ ἑνιαίᾳ θεωνυμίᾳ· τὴν ὑπερώνυμον ὀνομάζομεν τοῖς οὖσι τὴν ὑπερούσιον· οὐδεμία δὲ μονάς, ἢ τριὰς οὐδὲ ἀριθμός, οὔτε ἑνότης, ἢ γονιμότης· οὐδὲ ἄλλο τι τῶν ὄντων ἢ συνεγνωσμένων· ἐξάγει τὴν ὑπὲρ πάντα καὶ λόγον καὶ νοῦν κρυφιότητα τῆς ὑπὲρ πάντα ὑπερουσίως ὑπερούσης· ὑπερθεότητος· οὐδὲ ὄνομα αὐτῆς ἐστὶν οὐδὲ λόγος· ἀλλ' ἐν ἀβάτοις ἐξῄρηται καὶ οὐδὲ αὐτὸ τὸ τῆς ἀγαθότητος ἐφαρμόζοντες αὐτῇ προσφέρομεν ἀλλὰ πόθῳ τοῦ ἐννοεῖν τι καὶ λέγειν περὶ τῆς ἀρρήτου φύσεως ἐκείνης· τὸ τῶν ὀνομάτων σεπτότατον αὐτῇ πρώτως ἀφιεροῦμεν· καὶ συμφωνήσοιμεν ἂν κἂν τούτῳ τοῖς θεολόγοις· τῆς δὲ τῶν πραγμάτων ἀληθείας ἀπολειφθησόμεθα· διό, καὶ αὐτοὶ τὴν διὰ τῶν ἀποφάσεων ἄνοδον· προτετιμήκασιν ὡς ἐξιστῶσαν τὴν ψυχὴν τῶν ἑαυτῆς συμφύλων· καὶ διὰ πασῶν τῶν θείων νοήσεων ὁδεύουσαν· ὧν ἐξῄρηται τὸ ὑπὲρ πᾶν ὄνομα καὶ πάντα λόγον καὶ γνῶσιν· ἐπ' ἐσχάτων δὲ



τῶν ὅλων αὐτῷ, συνάπτουσαν καθ' ὅσον καὶ ἡμῖν ἐκείνῳ συνάπτεσθαι δυνατόν.

Ταύτας ἡμεῖς τὰς νοητὰς θεωνυμίας συνηρικότες, ὡς ἐφικτὸν ἀνεπτύξαμεν οὐ μόνον αὐτῶν τῆς ἀκριβείας ἀπολειπόμενοι· τοῦτο γὰρ ἀληθῶς καὶ ἄγγελοι φαῖεν· οὐδὲ τῆς κατὰ ἀγγέλους αὐτῶν ὑμνῳδίας καὶ τῶν ἐσχάτων γὰρ ἀποδέουσιν οἱ κράτιστοι τῶν παρ' ἡμῖν θεολόγων· οὔτε μὴν αὐτῶν τῶν θεολόγων οὐδὲ τῶν αὐτῶν ἀσκητῶν, ἢ συνοπαδῶν· ἀλλὰ καὶ τῶν ἡμῖν ὁμοταγῶν· ἐσχάτως καὶ ὑφειμένως· ὥστε εἰ μὲν ὀρθῶς ἔχοι τὰ εἰρημένα· καὶ ὡς καθ' ἡμᾶς ὄντως ἐφηψάμεθα τῇ διανοίᾳ τῆς θεωνυμικῆς ἀναπτύξεως ἐπὶ τὸν πάντων ἀγαθῶν αἴτιον τὸ πρᾶγμα ἀναθετέον· τὸν δωρούμενον πρῶτον αὐτὸ τὸ εἰπεῖν· ἔπειτα τὸ εὖ εἰπεῖν· καὶ εἴ τι τῶν ὁμοδυνάμων παραλέλειπται κἀκεῖνο ἡμᾶς κατὰ τὰς αὐτὰς μεθόδους προσυπακούειν δεήσει.

Εἰ δὲ ταῦτα, ἢ οὐκ ὀρθῶς, ἢ ἁπλῶς ἔχει· καὶ τῆς ἀληθείας, ἢ ὁλικῶς, ἢ μερικῶς ἀποπεπλανήμεθα· τῆς σῆς ἂν εἴη φιλανθρωπίας ἐπανορθώσασθαι τὸν ἀκουσίως ἀγνοοῦντα καὶ μεταδοῦναι λόγου τῷ μαθεῖν δεομένῳ καὶ ἐπαμῦναι τῷ μὴ αὐτάρκη δύναμιν ἔχοντι· καὶ ἰάσασθαι τὸν οὐκ ἐθέλοντα ἀρρωστεῖν· καὶ τὰ μὲν παρ' ἑαυτοῦ· τὰ δὲ παρ' ἑτέρων ἐξευρίσκοντα· πάντα δὲ ἐκ τἀγαθοῦ· λαμβάνοντα, καὶ εἰς ἡμᾶς διαβιβάσαι· μὴ δὲ ἀποκάμῃς φίλον ἄνδρα εὐεργετῶν.

Ὁρᾶς γὰρ ὅτι καὶ ἡμεῖς οὐδένα τῶν παραδοθέντων ἡμῖν ἱεραρχικῶν λόγων εἰς ἑαυτοὺς συνεστείλαμεν. ἀλλὰ ἀνοθεύτους αὐτοὺς καὶ ὑμῖν καὶ ἑτέροις ἱεροῖς ἀνδράσι μεταδεδώκαμέν τε καὶ μεταδώσομεν. ὡς ἄν, ἡμεῖς τε εἰπεῖν ἱκανοί, καὶ οἷς λέγεται ἀκούειν, κατ' οὐδὲν τὴν παράδοσιν ἀδικοῦντες. εἰ μὴ ἄρα πρὸς τὴν νόησιν, ἢ τὴν ἔκφρασιν αὐτῶν ἀσθενήσωμεν.

Ἀλλὰ ταῦτα μὲν ὅπῃ τῷ θεῷ φίλον, ταύτῃ ἐχέτω τε καὶ λεγέσθω, καὶ ἔστω δὴ τοῦτο ταῖς νοηταῖς θεωνυμίαις τὸ καθ' ἡμᾶς πέρας. ἐπὶ δὲ τὴν συμβολικὴν θεολογίαν ἡγουμένου θεοῦ μεταβήσομαι.

# ΤΑΔΕ ΚΕΦΑΛΑΙΑ ΠΕΡΙΕΧΕΙ Ο ΠΕΡΙ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΙΕΡΑΡΧΙΑΣ ΛΟΓΟΣ.

Περὶ τῆς ἐκκλησιαστικῆς ἱεραρχίας.
Μυστήριον φωτίσματος.
Μυστήριον συνάξεως εἴτουν κοινωνίας.
Μυστήριον τελετῆς μύρου.
Μυστήριον ἱεραρχικῶν τελειώσεων.
Μυστήριον μοναχικῆς τελειώσεως.
Μυστήριον ἐπὶ τῶν ἱερῶς κεκοιμημένων.

## ΕΠΙΓΡΑΜΜΑ ΕΙΣ ΤΟΝ ΜΑΚΑΡΙΟΝ ΔΙΟΝΥΣΙΟΝ

Οὐρανοῦ ἀστερόεντος ἔφυ σέλας ὃς μετὰ πότμον.
Ζωοτόκων λογίων προλιπὼν θεοφαίτορας ὕμνοις
Ἀνθρώπους ἐδίδαξεν ἰδεῖν θεὸν αἰὲν ἐόντα.

ἕτερον.

Σύμβολα θεσπεσίων ἱερῶν ἑνοειδεῖ μύθῳ
εἰς ἑνικὴν ἀνέλυσας ἑνὸς φάεος μίαν αἴγλην.

## ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ ΕΠΙΣΚΟΠΟΝ ΠΕΡΙ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΙΕΡΑΡΧΙΑΣ.

Ὅτι μὲν ἡ καθ' ἡμᾶς ἱεραρχία, παίδων ἱερῶν ἱερώτατε, τῆς ἐνθέου καὶ θείας ἐστὶ, καὶ θεουργικῆς ἐπιστήμης, καὶ ἐνεργείας καὶ τελειώσεως. ἐκ τῶν ὑπερκοσμίων καὶ ἱερωτάτων ἡμᾶς ἀποδεῖξαι λογίων χρὴ, τοῖς τῆς ἱερᾶς μυσταγωγίας τὴν τελετὴν, ἐξ ἱεραρχικῶν μυστηρίων καὶ παραδόσεων τετελεσμένοις.

Ἀλλ' ὅρα ὅπως οὐκ ἐξορχήσῃ τὰ ἅγια τῶν ἁγίων. εὐλαβηθήσῃ δὲ καὶ τὰ τοῦ κρυφίου θεοῦ ταῖς νοεραῖς καὶ ἀοράτοις γνώσεσι τιμήσεις. ἀμέθεκτα μὲν αὐτὰ καὶ ἄχραντα τοῖς ἀτελέσιν διατηρῶν. ἱεροῖς



δὲ μόνοις τῶν ἱερῶν μεθ' ἱερᾶς ἐλλάμψεως ἱεροπρεπῶς κοινωνῶν. οὕτω γὰρ ὡς ἡ θεολογία τοῖς θιασώταις ἡμῖν παραδέδωκεν. καὶ αὐτὸς Ἰησοῦς ὁ θεαρχικώτατος νοῦς καὶ ὑπερούσιος. ἡ πάσης ἱεραρχίας ἁγιαστείας τε καὶ θεουργίας ἀρχὴ καὶ οὐσία καὶ θεαρχικωτάτη δύναμις. ταῖς τε μακαρίαις καὶ ἡμῶν κρείττοσιν οὐσίαις ἐμφανέστερον ἅμα καὶ νοερώτερον ἐλλάμπει. καὶ πρὸς τὸ οἰκεῖον αὐτὰς ἀφομοιοῖ κατὰ δύναμιν φῶς. ἡμῶν τε τῷ πρὸς αὐτὸν ἀνατεινομένῳ καὶ ἡμᾶς ἀνατείνοντι τῶν καλῶν ἔρωτι, συμπτύσσει τὰς πολλὰς ἑτερότητας, καὶ εἰς ἑνοειδῆ καὶ θείαν ἀποτελειώσας ζωὴν, ἕξιν τε καὶ ἐνέργειαν ἱεροπρεπῆ δωρεῖται τὴν τῆς θείας ἱερωσύνης τὴν δύναμιν. ἐξ ἧς, ἐπὶ τὴν ἁγίαν ἐρχόμενοι τῆς ἱερατείας ἐνέργειαν. ἐγγύτεροι μὲν αὐτοὶ γενόμεθα τῶν ὑπὲρ ἡμᾶς οὐσιῶν τῇ κατὰ δύναμιν ἀφομοιώσει τοῦ μονίμου τε καὶ ἀνεξαλλάκτου τῆς αὐτῶν ἱερᾶς ἱδρύσεως, καὶ ταύτῃ πρὸς τὴν μακαρίαν Ἰησοῦ καὶ θεαρχικὴν αὐτὴν ἀναβλέψαντες, ὅσα τε ἰδεῖν ἐφικτὸν ἐποπτεύσαντες ἱερῶς. καὶ τῆς τῶν θεαμάτων γνώσεως ἐλλαμφθέντες τὴν μυστικὴν ἐπιστήμην ἀφιερωμένοι. καὶ ἀφιερωταὶ φωτοειδεῖς καὶ θεουργικοὶ. τετελεσμένοι, καὶ τελεσιουργοὶ γενέσθαι δυνησόμεθα.

Τίς μὲν οὖν ἡ τῶν ἀγγέλων ἐστὶ καὶ ἀρχαγγέλων ἱεραρχία. καὶ τῶν ὑπερκοσμίων ἀρχῶν τε καὶ ἐξουσιῶν καὶ δυνάμεων καὶ κυριοτήτων τε καὶ θείων

θρόνων, ἢ τῶν ὁμοταγῶν τοῖς θρόνοις οὐσιῶν; ἃς ἡ θεολογία προσεχῶς καὶ ἀεὶ περὶ θεόν τε εἶναι καὶ μετὰ θεοῦ παραδίδωσιν· χερουβὶμ αὐτὰς ἑβραίων φωνῇ καὶ σεραφὶμ ὀνομάζουσα· ταῖς τῶν διακόσμων αὐτῶν καὶ ἱεραρχιῶν ἁγίαις τάξεσι καὶ διαιρέσεσι περιτυγχάνων εὑρήσεις· ἐν τούτοις ἡμῶν οὐκ ἐπαξίως μέν, ὡς ἐφικτὸν δὲ καὶ ὡς ἡ θεολογία τῶν ἱερωτάτων γραφῶν ὑφηγήσατο· τὴν κατ' αὐτοὺς ἱεραρχίαν ἀνυμνηκότων· τοσοῦτον δὲ ὅμως εἰπεῖν ἀναγκαῖον· ὡς ἐκείνη τε καὶ πᾶσα καὶ ἡ νῦν ὑμνουμένη παρ' ἡμῶν ἱεραρχία· μίαν ἔχει καὶ τὴν αὐτὴν διὰ πάσης τῆς ἱεραρχικῆς πραγματείας τὴν δύναμιν· αὐτόν τε τὸν ἱεράρχην· ὡς ἡ κατ' αὐτὸν οὐσία καὶ ἀναλογία καὶ τάξις ἔχει τελεσθῆναι κατὰ τὰ θεῖα καὶ θεωθῆναι· καὶ τοῖς ὑποβεβηκόσι μεταδοῦναι κατ' ἀξίαν ἑκάστῳ τῆς ἐγγινομένης αὐτῷ θεόθεν ἱερᾶς θεώσεως· τούς τε ὑποβεβηκότας ἕπεσθαι μὲν τοῖς κρείττοσιν ἀνατείνειν δὲ τοὺς ἥττους ἐπὶ τὰ πρόσω· τοὺς δὲ καὶ προϊέναι, καὶ ὡς δυνατὸν ἑτέροις ἡγεῖσθαι· καὶ διὰ ταύτης τῆς ἐνθέου καὶ ἱεραρχικῆς ἁρμονίας, τοῦ ὄντως ὄντος καλοῦ καὶ σοφοῦ καὶ ἀγαθοῦ μετέχειν ἕκαστον ὅση δύναμις.

Ἀλλ' αἱ μὲν ὑπὲρ ἡμᾶς οὐσίαι καὶ τάξεις, ὧν ἤδη μνήμην ἱερὰν ἐποιησάμην, ἀσώματοί τε εἰσὶν καὶ νοητὴ καὶ ὑπερκόσμιός ἐστιν ἡ κατ' αὐτὰς ἱεραρχία· τὴν καθ' ἡμᾶς δὲ ὁρῶμεν ἀναλόγως ἡμῖν αὐτοῖς τῇ τῶν αἰσθη-



τῶν συμβόλων ποικιλίᾳ πληθυνομένην· ὑφ' ὧν, ἱεραρχικῶς ἐπὶ τὴν ἑνοειδῆ θέωσιν ἐν συμμετρίᾳ τῇ καθ' ἡμᾶς ἀναγόμεθα, θεόν τε καὶ θείαν ἀρετήν· αἱ μὲν ὡς νόες νοοῦσι κατὰ τὸ αὐταῖς θεμιτόν· ἡμεῖς δὲ αἰσθηταῖς εἰκόσιν ἐπὶ τὰς θείας ὡς δυνατὸν ἀναγόμεθα θεωρίας.

Ἀληθῶς τε εἰπεῖν ἓν μέν ἐστιν, οὗ πάντες οἱ θεοειδεῖς ἐφίενται μέν· μετέχουσι δὲ οὐχ ἑνιαίως ταὐτοῦ τε καὶ ἑνὸς ὄντος· ἀλλ' ὡς ἑκάστῳ τὰ θεῖα ζυγὰ διανέμει κατ' ἀξίαν τὴν ἀποκλήρωσιν.

Ἀλλὰ ταῦτα μὲν ἡμῖν ἐν τῇ περὶ νοητῶν τε καὶ αἰσθητῶν πραγματείᾳ διεξοδικώτερον εἴρηται· νῦν δὲ τὴν καθ' ἡμᾶς ἱεραρχίαν, ἀρχῆς τε αὐτῆς καὶ οὐσίαν ὡς οἷόν τε εἰπεῖν πειράσομαι· τὴν πασῶν ἱεραρχιῶν ἀρχήν τε καὶ τελείωσιν· Ἰησοῦν ἐπικαλεσάμενος.

Ἔστι μὲν ἱεραρχία πᾶσα κατὰ τὸ σεπτὸν, τῆς ἡμῶν παραδόσεως· ὁ πᾶς τῶν ὑποκειμένων ἱερῶν λόγος· καθολικωτάτη τῶν τῆσδε τυχὸν ἱεραρχίας, ἢ τῆσδε ἱερῶν συγκεφαλαίωσις.

Ἡ καθ' ἡμᾶς οὖν ἱεραρχία λέγεται καὶ ἔστιν ἡ περιεκτικὴ τῶν κατ' αὐτὴν ἁπάντων ἱερῶν πραγματεία. καθ' ἣν ὁ θεῖος ἱεράρχης τελούμενος· ἁπάντων ἕξει τῶν κατ' αὐτὸν ἱερωτάτων τὴν μέθεξιν· ὡς ἱεραρχίας ἐπώνυμος.

Ὡς γὰρ ἱεραρχίαν ὁ φήσας ἁπάντων ὁμοῦ συλλήβδην ἔφη τὴν τῶν ἱερῶν διακόσμησιν· οὕτως ἱεράρ-

χην ὁ λέγων δηλοῖ τὸν ἔνθεόν τε καὶ θεῖον ἄνδρα, τὸν πάσης ἱερᾶς ἐπιστήμονα γνώσεως, ἐν ᾧ καθαρῶς ἡ κατ᾽ αὐτὸν ἱεραρχία πᾶσα τελεῖται καὶ γινώσκεται. Ταύτης ἀρχὴ τῆς ἱεραρχίας ἡ πηγὴ τῆς ζωῆς, ἡ οὐσία τῆς ἀγαθότητος, ἡ μία τῶν ὄντων αἰτία τριάς· ἐξ ἧς, καὶ τὸ εἶναι καὶ τὸ εὖ εἶναι τοῖς οὖσι δι᾽ ἀγαθότητα.

Ταύτῃ δὲ τῇ πάντων ἐπέκεινα θεαρχικωτάτῃ μακαριότητι, τῇ τρισσῇ, τῇ μονάδι· τῇ ὄντως οὔσῃ κατὰ τὸ ἡμῖν μὲν ἀνέφικτον αὐτῇ δὲ ἐπιστητὸν, θέλημα μέν ἐστιν, ἡ λογικὴ σωτηρία καθ᾽ ἡμᾶς τε καὶ τῶν ὑπὲρ ἡμᾶς οὐσιῶν· ἡ δὲ οὐχ ἑτέρως γενέσθαι δύναται μὴ θεουμένων τῶν σωζομένων· ἡ δὲ θέωσίς ἐστιν ἡ πρὸς θεὸν ὡς ἐφικτὸν ἀφομοίωσίς τε καὶ ἕνωσις, ἁπάσης δὲ τοῦτο κοινὸν ἱεραρχίας τὸ πέρας, ἡ πρὸς θεόν τε καὶ τὰ θεῖα προσεχὴς ἀγάπησις, ἐνθέως τε καὶ ἑνιαίως ἱερουργουμένη, καὶ πρό γε τούτου τῶν ἐναντίων ἡ παντελὴς καὶ ἀνεπίστροφος ἀποφοίτησις· ἡ γνῶσις τῶν ὄντων ᾗ ὄντα ἐστίν, ἡ τῆς ἱερᾶς ἀληθείας ὅρασίς τε καὶ ἐπιστήμη, ἡ τῆς ἑνοειδοῦς τελειώσεως ἔνθεος μέθεξις· αὐτοῦ τοῦ ἑνὸς ὡς ἐφικτὸν· ἡ τῆς ἐποψίας ἑστίασις τρέφουσα νοητῶς καὶ θεοῦσα πάντα τὸν εἰς αὐτὴν ἀνατεινόμενον.

Λέγωμεν τοίνυν ὡς ἡ θεαρχικὴ μακαριότης, ἡ φύσει θεότης· ἡ ἀρχὴ τῆς θεώσεως· ἐξ ἧς τὸ θεοῦσθαι τοῖς θεουμένοις ἀγαθότητι θείᾳ τὴν ἱεραρχίαν ἐπὶ σωτηρίᾳ καὶ θεώσει πάντων τῶν λογικῶν τε καὶ νο

ερῶν



ερῶν οὐσιῶν ἐδωρήσατο.

Καὶ ταῖς μὲν ὑπερκοσμίοις καὶ μακαρίαις λήξεσιν· ἀυλότερόν τε καὶ νοερώτερον· οὐ γὰρ ἔξωθεν αὐτὰς ὁ θεὸς ἐπὶ τὰ θεῖα κινεῖ· νοητῶς δὲ καὶ ἔνδοθεν ἐλλαμπομένων αὐτῶν, ἐναυγῇ καθαρᾷ καὶ ἀΰλῳ τὴν θεοτάτην βούλησιν· ἡμῖν δὲ τὸ ἐκείναις ἑνιαίως τε καὶ συνεπτυγμένως δωρηθὲν ἐκ τῶν θεοπαραδότων λογίων ὡς ἡμῖν ἐφικτὸν ἐν ποικιλίᾳ καὶ πλήθει τῶν διαιρετῶν συμβόλων δεδώρηται.

Οὐσία γὰρ τῆς καθ᾽ ἡμᾶς ἱεραρχίας ἐστὶ, τὰ θεοπαράδοτα λόγια· σεπτότατα δὲ λόγια ταῦτα φαμὲν, ὅσα πρὸς τῶν ἐνθέων ἡμῶν ἱεροτελεστῶν ἐν ἁγιογράφοις ἡμῖν καὶ θεολογικαῖς δεδώρηται δέλτοις. καὶ μὴν ὅσα πρὸς τῶν αὐτῶν ἱερῶν ἀνδρῶν ἀυλοτέρᾳ μυήσει, καὶ γειτονί πως ἤδη τῆς οὐρανίας ἱεραρχίας, ἐκ νοὸς εἰς νοῦν διὰ μέσου λόγου· σωματικοῦ μὲν, ἀυλοτέρου δὲ ὅμως γραφῆς ἐκτὸς οἱ καθηγεμόνες ἡμῶν ἐμυήθησαν. οὐδὲ ταῦτα τῶν ἐνθέων ἱεραρχῶν εἰς τὸ τῆς ἱερουργίας κοινὸν ἀπαρακαλύπτοις νοήσεσιν· ἀλλ᾽ ἐν συμβόλοις ἱεροῖς παραδεδωκότων. ἔστι γὰρ οὐ πᾶς ἱερός. οὐδὲ πάντων ὡς τὰ λόγιά φησιν ἡ γνῶσις. ἀναγκαίως οὖν, οἱ πρῶτοι τῆς καθ᾽ ἡμᾶς ἱεραρχίας καθηγεμόνες. ἐκ τῆς ὑπερουσίου θεαρχίας, αὐτοί τε ἀναπλησθέντες τοῦ ἱεροῦ δώρου· καὶ εἰς τὸ ἑξῆς αὐτὸ προαγαγεῖν ὑπὸ τῆς θεαρχικῆς ἀγαθότητος ἀπεσταλμένοι, καὶ αὐτοί τε ἀφθόνως ἐρῶντες ὡς θεῖοι τῆς τῶν μετὰ τοὺς

ἀναγωγῆς καὶ θεώσεως, ἔθηκε ταῖς εἰκόσι τὰ ὑπερουράνια, καὶ ποικιλίᾳ καὶ πλήθει τῶν συνεπτυγμένων καὶ ἐν ἀνθρωπίνοις τε τὰ θεῖα, καὶ ἐν ὑλαίοις τὰ ἄϋλα, καὶ τοῖς καθ' ἡμᾶς τὰ ὑπερούσια, ταῖς ἐγγράφοις τε αὐτῶν καὶ ἀγράφοις μυήσεσι κατὰ τοὺς ἱεροὺς ἡμῖν ἐξέδοσαν θεσμούς. οὐ τῶν ἀνιέρων ἕνεκα μόνον οἷς δὲ τῶν συμβόλων ἅπτεσθαι θεμιτόν. ἀλλ' ὅτι καὶ συμβολική τίς ἐστιν. ὅπερ ἔφην ἀναλόγως ἡμῖν αὐτοῖς ἡ καθ' ἡμᾶς ἱεραρχία δεομένη τῶν αἰσθητῶν εἰς τὴν ἐξ αὐτῶν ἐπὶ τὰ νοητὰ θειοτέραν ἡμῶν ἀναγωγήν. ἀνακεκαλυμμένοι δὲ ὅμως εἰσὶν οἱ τῶν συμβόλων λόγοι. τοῖς θείοις ἱεροτελεσταῖς. οὓς οὐ θεμιτὸν ἐξάγειν εἰς τοὺς ἔτι τελουμένους. εἰδότας ὡς οἱ τῶν ἱερῶν θεοπαράδοτοι νομοθέται. ταῖς τῶν διακόσμων εὐσταθέσι καὶ ἀσυμφύτοις τάξεσι καὶ ταῖς τῷ ἑκάστῳ κατ' ἀξίαν προσηκούσαις ἀναλόγοις καὶ ἱεραῖς ἀπονεμήσεσι τὴν ἱεραρχίαν διετάξαντο. δι' ὃ καὶ ταῖς σαῖς ἱεραῖς ὁμολογίαις πεισθείς, ἀναμνῆσαι γὰρ αὐτῶν ἐναγές, ὡς ἁπάσης μὲν ὑπερκειμένης ἱεραρχικῆς ἱερολογίας, οὐ μεταδώσεις ἑτέρῳ παρὰ τοὺς ὁμοταγεῖς σοι θεοειδεῖς ἱεροτελεστάς. αὐτούς τε πείσεις ὁμοταγῆσαι κατὰ θεσμὸν ἱεραρχικόν. καθαρῶν μὲν καὶ καθαρῶς ἐφάπτεσθαι. κοινωνεῖν δὲ μόνοις τῶν θεουργικῶν τοῖς θείοις καὶ τῶν τελειωτικῶν τοῖς τελειωτικοῖς. ἁγίοις τε τῶν παναγεστάτων. ἄλλων τε ἱεραρχικῶν σοι καὶ τοῦτο μεταδέδωκα τῶν ἐνθέου δώρου. Εἴρηται τοίνυν ἡμῖν ἱερῶς, ὡς οὗ-



τος ἐστι τῆς καθ' ἡμᾶς ἱεραρχίας σκοπός, ἡ πρὸς θεὸν ἡμῶν ὡς ἐφικτὸν ἀφομοίωσίς τε καὶ ἕνωσις. Ταύτης δὲ ὡς τὰ θεῖα διδάσκει λόγια, ταῖς τῶν σεβασμιωτάτων ἐντολῶν ἀγαπήσεσι καὶ ἱερουργίαις μόνως τευξόμεθα. τηρήσει γάρ φησιν ὁ ἀγαπῶν με τὸν λόγον μου, καὶ ὁ πατήρ μου ἀγαπήσει αὐτόν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν. Τίς οὖν ἐστιν ἀρχὴ τῆς τῶν σεπτοτάτων ἐντολῶν ἱερουργίας, ἡ πρὸς τὴν τῶν ἄλλων ἱερολογιῶν καὶ ἱερουργιῶν ὑποδοχὴν ἐπιτηδειότατα μορφοῦσα τὰς ψυχικὰς ἡμῶν ἕξεις, ἡ πρὸς τὴν τῆς ὑπερουρανίου λήξεως ἀναγωγὴν ἡμῶν ὁδοποίησις. ἡ τῆς ἱερᾶς καὶ θειοτάτης ἡμῶν ἀναγεννήσεως παράδοσις. ὡς γὰρ ὁ κλεινὸς ἡμῶν ἔφη καθηγεμών, ἡ κατὰ νοῦν μὲν ἐπὶ τὰ θεῖα πρωτίστη κίνησις. ἡ ἀγάπησίς ἐστι τοῦ θεοῦ. τῆς δὲ ἱερᾶς ἀγαπήσεως ἡ πρὸς τὴν ἱερουργίαν τῶν θείων ἐντολῶν ἀρχικωτάτη πρόοδος, ἡ τοῦ εἶναι θείως ἡμᾶς ἀρρητοτάτη δημιουργία.

Εἰ γὰρ τὸ εἶναι θείως ἐστὶν ἡ θεία γένεσις. οὐ μήποτε τι γνοίη τῶν θεοπαραδότων, οὔτε μὴν ἐνεργήσειεν ὁ μηδὲ τὸ ὑπάρχειν ἐνθέως ἐσχηκώς. ἢ οὐχὶ καὶ ἡμῖν ἀνθρωπίνως φαμὲν ὑπάρξαι δεῖ πρότερον. εἶτα ἐνεργῆσαι τὰ καθ' ἡμᾶς. ὡς τοῦ μηδαμῶς ὄντος. οὐδὲ κίνησιν. ἀλλ' οὐδὲ ὕπαρξιν ἔχοντος, τοῦ δὲ πως ὄντος ἐκεῖνα μόνον ἐνεργοῦντος ἢ πάσχοντος ἐν οἷς εἶναι πέφυκεν. ἀλλὰ τοῦτο μὲν ὡς οἶμαι σαφές. ἑξῆς δὲ τὰ θεῖα τῆς θεογενεσίας ἐποπτεύσομεν

σύμβολα. καί μοι μηδεὶς ἀτέλεστος ἐπὶ τὴν θέαν
ἴτω. καὶ γὰρ οὐδὲ ταῖς ἡλιοτεύκτοις αὐγαῖς ἐν ἀ-
σθενέσι κόραις αὐτοπτεῖν ἀκίνδυνον οὐδὲ τοῖς ὑπὲρ
ἡμᾶς ἐγχειρεῖν ἀβλαβές, εἴπερ ἀληθὴς ἡ κατὰ νό-
μον ἱεραρχία τὸν μὲν Ὀζίαν, ὅτι τοῖς ἱεροῖς ἐνεχεί-
ρησεν ἀποστρεφομένη τὸν Κορὲ δὲ ὅτι τοῖς ὑπὲρ αὐ-
τὸν ἱεροῖς. τὸν δὲ Ναδὰβ καὶ Ἀβιοὺδ ὅτι τοῖς οἰκείοις
ἀνιέρως ἀπεχρήσαντο.

## Μυστήριον φωτίσματος.

Ο μὲν ἱεράρχης ἑκάστοτε τῇ πρὸς θεὸν
ἀφομοιώσει πάντας ἀνθρώπους θέ-
λων σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθεί-
ας ἐλθεῖν. ἀνακηρύττει πᾶσι τὰ ὄν-
τως εὐαγγέλια. θεὸν ἵλεω τοῖς ἐπὶ γῆς. ἐξ οἰκείας
ὄντα, καὶ φυσικῆς ἀγαθότητος, αὐτὸν ὡς ἡμᾶς εὐ-
τόνως ἀφικέσθαι διὰ φιλανθρωπίαν ἀξιώσαντα,
καὶ τῇ πρὸς αὐτὸν ἑνώσει δίκην πυρὸς ἀφομοιῶ-
σαι τὰ ἑνωθέντα. κατὰ τὴν αὐτῶν πρὸς θέωσιν ἐπι-
τηδειότητα. ὅσοι γὰρ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς
ἐξουσίαν τέκνα θεοῦ γενέσθαι τοῖς πιστεύουσιν εἰς
τὸ ὄνομα αὐτοῦ. οἵ, οὐκ ἐξ αἱμάτων. οὐδὲ ἐκ θελή-
ματος σαρκὸς ἀλλ' ἐκ θεοῦ ἐγεννήθησαν.

Ο τούτων ἀγαπήσας, τῶν ὄντως ὑπερκοσμίων
τὴν ἱερὰν μετουσίαν. ἐλθὼν ἐπί τινα τῶν μεμυη-
μένων. πείθει μὲν αὐτὸν ἡγήσασθαι τῆς ἐπὶ τὸν ἱε-
ράρχην ὁδοῦ. αὐτὸς δὲ ὁλικῶς ἐπακολουθήσειν



ἐπαγγέλεται τοῖς παραδοθησομένης. καὶ ἀξιοῖ
τῆς τε προσαγωγῆς αὐτοῦ. καὶ συμπάσης τῆς
ἐπὶ τὸ ἑξῆς ζωῆς. τὴν ἐπιστασίαν ἀναδέξασθαι.
τὸν δὲ τῆς μὲν ἐκείνου σωτηρίας ἱερῶς ἐρῶντα.
πρὸς δὲ τὸ τοῦ πράγματος ὕψος ἀντιμετροῦντα
τὸ ἀνθρώπινον. φρίκη μὲν ἄφνω καὶ ἀμηχανία πε-
ριΐσταται. τελευταῖον δὲ ὅμως ποιήσειν τὸ αἰτηθὲν
ἀγαθοειδῶς ὁμολογήσειν. καὶ παραλαβὼν αὐτὸν
ἄγει πρὸς τὸν τῆς ἱεραρχίας ἐπώνυμον.

Ο δὲ μετ' εὐφροσύνης, ὡς τὸ ἐπ' ὤμων πρόβατον εἰσ-
δεξάμενος. τοῖν ἀνδροῖν ἐσέφθη μὲν πρῶτα διὰ νο-
ερᾶς εὐχαριστίας, καὶ σωματοειδοῦς προσκυνήσε-
ως, τὴν μίαν ἀγαθοεργέτην ἀρχήν. ὑφ' ἧς τὰ κα-
λούμενα καλεῖται. καὶ τὰ σωζόμενα σώζεται.

Ε ἶτα πᾶσαν ἱερὰν διακόσμησιν ἐπὶ συνεργίᾳ μὲν, καὶ
συνεορτάσει τῆς τἀνδρὸς σωτηρίας. εὐχαριστίᾳ δὲ
τῆς θείας ἀγαθότητος εἰς τὸν ἱερὸν χῶρον συναγα-
γών, ἐν ἀρχῇ μὲν, ὕμνον τινὰ τοῖς λογίοις ἐγκείμε-
νον ἅμα πᾶσι τοῖς τῆς ἐκκλησίας πληρώμασιν ἱε-
ρολογεῖν. καὶ μετὰ τοῦτο τὴν ἱερὰν ἀσπασάμενος
τράπεζαν, πρὸς τὸν ἄνδρα παρόντα πρόεισι καὶ
πυνθάνεται παρ' αὐτοῦ τί βουλόμενος ἥκοι.

Τ οῦ δὲ θεοφιλῶς αἰτιασαμένου κατὰ τὴν τοῦ ἀναδό-
χου παράδοσιν. τὴν ἀθεότητα. τὴν ἀγνωσίαν τοῦ
ὄντως καλοῦ τὴν τῆς ἐνθέου ζωῆς ἀνενεργησίαν.
ἀξιοῦντος δὲ διὰ τῆς ἱερᾶς αὐτοῦ μεσιτείας θεοῦ
καὶ τῶν θείων τυχεῖν. μαρτύρεται μὲν αὐτῷ τὴν

ὀφειλομένην ὁλικὴν γενέσθαι προσέλευσιν ὡς παντελείῳ καὶ ἀμώμῳ ὄντι θεῷ καὶ τὴν ἔνθεον αὐτῷ πολιτείαν ὑφηγησάμενος, καὶ προσερωτήσας εἰ οὕτω πολιτεύσαιτο, μετὰ τὴν ὁμολογίαν, ἐπιτίθησιν αὐτοῦ τῇ κεφαλῇ τὴν χεῖρα, καὶ σφραγισάμενος ἀπογράψασθαι κελεύει τοῖς ἱερεῦσι τὸν ἄνδρα καὶ τὸν ἀνάδοχον.

Τῶν δὲ ἀπογραψαμένων, εὐχὴν ἱερὰν ποιεῖται· καὶ ταύτην ἁπάσης αὐτῷ τῆς ἐκκλησίας συμπληρωσάσης, ὑπολύει μὲν αὐτὸν καὶ ἀπαμφιέννυσι διὰ τῶν λειτουργῶν· εἶτα στήσας ἐπὶ δυσμαῖς προσέχοντα καὶ τὰς χεῖρας ἀπωθοῦντα, πρὸς τὴν αὐτὴν ἀπεστραμμένας χώραν· ἐμφυσῆσαι μὲν αὐτῷ τρὶς διακελεύεται τῷ σατανᾷ, καὶ προσέτι, τὰ τῆς ἀποταγῆς ὁμολογῆσαι· καὶ τρὶς αὐτῷ τὴν ἀποταγὴν μαρτυρούμενος· ὁμολογήσαντα τρὶς αὐτὸν· μετάγει πρὸς ἕω, καὶ πρὸς οὐρανὸν ἀναβλέψαντα καὶ τὰς χεῖρας ἀνατείναντα κελεύει συντάξασθαι τῷ χριστῷ, καὶ πάσαις ταῖς θεοπαραδότοις ἱερολογίαις.

Τοῦ δὲ καὶ τοῦτο πεποιηκότος, μαρτύρεται πάλιν αὐτῷ τρὶς τὴν ὁμολογίαν· καὶ πάλιν αὐτοῦ τρὶς ὁμολογήσαντος· ἐπευξάμενος εὐλογεῖ καὶ χειροθετεῖ· καὶ τελείως ἀπαμφιασάντων αὐτὸν τῶν λειτουργῶν, κομίζουσι μὲν οἱ ἱερεῖς τὸ τῆς χρίσεως ἅγιον ἔλαιον· ὁ δὲ τῆς χρίσεως διὰ τοῦ σφραγίσαι τρὶς ἀρξάμενος· τὸ λοιπὸν τοῖς ἱερεῦσι τὸν ἄνδρα



χρῖσαι πανσώμως παραδοὺς αὐτὸς ἐπὶ τὴν μητέρα τῆς υἱοθεσίας ἔρχεται καὶ τὸ ταύτης ὕδωρ ἱεραῖς ἐπικλήσεσι καθαγιάσας, καὶ τρισὶ τοῦ παναγεστάτου μύρου σταυροειδέσι χύσεσι τελειώσας αὐτὸ, καὶ ταῖς τοῦ μύρου πανιέροις ἐπιβολαῖς ἰσαρίθμως τὸ ἱερὸν τῆς τῶν θεολήπτων προφητῶν ἐπιπνοίας μελῴδημα, συνεπιφθεγξάμενος· κελεύει τὸν ἄνδρα προσκομισθῆναι· καί τινος ἱερέως ἐκ τῆς ἀπογραφῆς αὐτόν τε καὶ τὸν ἀνάδοχον ἀνακηρύξαντος· ὁ μὲν ὑπὸ τῶν ἱερέων, ἐπὶ τοῦ ὕδατος ἄγεται, πρὸς τὴν τοῦ ἱεράρχου χεῖρα, πρὸς αὐτὸν χειραγωγούμενος· ὁ δὲ ἱεράρχης ἄνωθεν ἑστηκὼς, ἀναβοησάντων πάλιν ἐπὶ τοῦ ἱεράρχου κατὰ τὸ ὕδωρ τὸ ὄνομα τοῦ τελουμένου τῶν ἱερέων, τρὶς μὲν αὐτὸν ὁ ἱεράρχης βαπτίζει ταῖς τρισὶ τοῦ τελουμένου καταδύσεσι καὶ ἀναδύσεσι τὴν τρισσὴν τῆς θείας μακαριότητος ἐπιβοήσας ὑπόστασιν.

Καὶ παραλαβόντες αὐτὸν οἱ ἱερεῖς ἐγχειρίζουσι τῷ τῆς προσαγωγῆς ἀναδόχῳ τε καὶ ἡγεμόνι· καὶ σὺν αὐτῷ περιβαλόντες ἐσθῆτα τῷ τελουμένῳ κατάλληλον ἐπὶ τὸν ἱεράρχην αὖθις ἄγουσιν.

Ὁ δὲ τῷ θεουργικωτάτῳ μύρῳ τὸν ἄνδρα σφραγισάμενος· μέτοχον ἀποφαίνει τῆς ἱεροτελεστικωτάτης εὐχαριστίας.

Ταῦτα δὲ τελέσας ἀπὸ τῆς ἐπὶ τὰ δεύτερα προόδου, πάλιν ἐπὶ τὴν τῶν πρώτων ἀνατείνεται θεωρίαν,

ὡς κατὰ μηδένα καιρὸν ἢ τρόπον, ἐπ' ἀλλοτρίῳ τι-
νὶ παρὰ τὰ οἰκεῖα τρεπόμενος. ἀλλ' ἀπὸ θείων εἰς
θεῖα προσεχῶς, καὶ ἀεὶ τῷ θεαρχικῷ πνεύματι
μεθεπόμενος.

Α ὕτη μὲν οὖν, ὡς ἐν συμβόλοις, ἡ τῆς ἱερᾶς τελετῆς
θεογενεσίας οὐδὲν ἀπρεπὲς ἢ ἀνίερον, οὐδὲ τῶν αἰσθη-
τῶν ἔχουσα εἰκόνων. ἀλλ' ἀξιοθέου θεωρίας αἰνίγματα
τὰ φυσικοῖς καὶ ἀνθρωποπρεπέσιν ἐσόπτροις ἐνεικονι-
ζόμενα. Τί γὰρ ἂν φανείη διαμαρτάνουσα, καὶ
τοῦ θειοτέρου λόγου τῶν τελουμένων σεσιγημένου.
πειθοῖ καὶ θεορημοσύνῃ τὴν τοῦ προσιόντος εὐζωΐ-
αν ἱερῶς διαπραγματευομένη, καὶ τὴν ἀπὸ τῆς
ὁμοῦ κακίας, δι' ἐναρέτου καὶ θείας ζωῆς ἀποκά-
θαρσιν. τῇ δι' ὕδατος φυσικῇ καθάρσει. σωματικώ-
τερον αὐτῷ διαγγέλλουσα.

Τ αὐτὴ δ' οὖν, εἰ καὶ μηδέν τι θειότερον εἶχεν ἡ τῶν τε-
λουμένων συμβολικὴ παράδοσις οὐκ ἀνίερος ἦν,
ὡς οἶμαι. διδασκαλίαν μὲν εὐθέτου ζωῆς εἰσηγου-
μένη. τὴν παντελῆ δὲ τῆς ἐν κακίᾳ πολιτείας ἀπο-
κάθαρσιν, ὁλικῶς τῷ σώματι καθαιρομένῳ φυσι-
κῶς δι' ὕδατος αἰνιττομένη.

Α λλ' ἔστω μὲν αὕτη τοῖς ἀτελέσιν εἰσαγωγικὴ ψυχα-
γωγία. τά τε ἱεραρχικὰ καὶ ἑνοειδῆ τῆς πληθύος.
ὡς θέμις ἀποδιαστέλλουσα, καὶ συμμετροῦσα ταῖς
κατὰ μέρος τάξεσιν. τὴν ἐναρμόνιον ἀναγωγήν.

Η μεῖς δὲ ἀναβάσεσιν ἱεραῖς. ἐπὶ τὰς τῶν τελουμέ-
νων ἀρχὰς ἀναβλέψαντες καὶ ταύτας ἱερῶς μυη-



θέντες, ἐπιγνωσόμεθα τῶν χαρακτήρων τὰ ἐκτυ-
πώματα καὶ τίνων ἀφανῶν αἱ εἰκόνες.

Ε στὶ γὰρ ὡς ἐν τῇ περὶ νοητῶν τε καὶ αἰσθητῶν πραγ-
ματείᾳ σαφῶς διηγόρευται. τὰ μὲν αἰσθητῶς ἱερά.
τῶν νοητῶν ἀπεικονίσματα, καὶ ἐπ' αὐτὰ χειρα-
γωγία καὶ ὁδός. τὰ δὲ νοητὰ τῶν κατ' αἴσθησιν ἱεραρ-
χικῶν ἀρχὴ καὶ ἐπιστήμη.

Λ έγωμεν τοίνυν ὡς ἔστιν ἡ τῆς θείας μακαριότητος
ἀγαθότης, ἀεὶ κατὰ ταὐτὰ καὶ ὡσαύτως ἔχουσα
τὰς τοῦ οἰκείου φωτὸς ἀγαθοεργέτιδας ἀκτῖνας,
ἐπὶ πάσας ἀφθόνως ἁπλοῦσα τὰς νοερὰς ὄψεις εἰ-
τ' οὖν ἀποσταίη τοῦ νοητοῦ φωτὸς ἡ τῶν νοερῶν αὐθαι-
ρέτως αὐτεξουσιότης. κακίας ἔρωτι συμμύσασα
τὰς φυσικῶς ἐνεσπαρμένας αὐτῇ πρὸς τὸ φωτίζε-
σθαι δυνάμεις ἀπῄρηται τοῦ παρόντος αὐτῇ φω-
τὸς οὐκ ἀποσταντος, ἀλλ' ἐπιλάμποντος αὐτῇ μυω-
παζούσῃ, καὶ ἀποστρεφομένῃ προστρέχοντος ἀγα-
θοειδῶς, εἴτε τῶν μετρίως αὐτῇ δοθέντος ὅρων τοῖς
ὅροις ὑπερπηδήσει. καὶ πρὸς τὰς ὑπὲρ τὴν κατ' αὐ-
τὴν ὄψιν αὐγὰς αὐτῷ πεῖσαι τολμηρῶς ἐπιχειρή-
σοι. τὸ μὲν φῶς ἐνεργήσει παρὰ τὰ φωτὸς οὐδέν.

Α ὕτη δὲ τοῖς τελείοις ἀτελῶς ἐπιβάλλουσα. τῶν
μὲν ἀνοικείων οὐκ ἂν ἐφίκοιτο. τοῦ μετρίου δὲ ἀκό-
σμως ὑπερφρονοῦσα, δι' ἑαυτὴν ἀποπταίσεται. τὴν
ὅπερ ἔφην ἀγαθουργικῶς ἀεὶ ταῖς νοεραῖς ὄψεσι
τὸ θεῖον ἥπλωται φῶς. ἔνεστί τε αὐταῖς ἀντιλαβέ-
σθαι παρόντος αὐτοῦ. καὶ ἀεὶ πρὸς θεοπρεπῆ τῶν

οἰκείων μεταδόσιν ὄντος ἑτοιμοτάτου· πρὸς ταύτην ὁ θεῖος ἱεράρχης ἀποτυποῦται τὴν μίμησιν, τὰς φωτοειδεῖς αὐτοῦ τῆς ἐνθέου διδασκαλίας αὐγὰς ἀφθόνως ἐπὶ πάντας ἁπλῶν, καὶ τὸν προσιόντα φωτίσαι θεομιμήτως ἑτοιμότατος ὤν· οὐ φθόνῳ οὐδὲ ἀνιέρῳ τῆς προτέρας ἀποστασίας, ἢ ἀμετρίας μήνιδι χρώμενος, ἀλλ' ἐνθέως ἀεὶ τοῖς προσιοῦσι ταῖς αὐτοῦ φωταγωγίαις ἱεραρχικῶς ἐλλάμπων ἐν εὐκοσμίᾳ καὶ τάξει καὶ ἀναλογίᾳ τῆς ἑκάστου πρὸς τὰ ἱερὰ συμμετρίας.

Ἀλλ' ἐπείπερ εὐταξίας ἐστὶν ἀρχὴ τὸ θεῖον ἱερᾶς καθ' ἥν, ἑαυτῶν ἐπιγνώμονες οἱ ἱεροὶ νόες, ὁ πρὸς τὸ οἰκεῖον τῆς φύσεως ὁρατὸν ἀνατρέχων· ἐν ἀρχῇ μὲν ὅστις ποτέ ἐστιν αὐτὸς ὄψεται· καὶ τοῦτο λήψεται πρῶτον ἐκ τῆς πρὸς τὸ φῶς ἀνανεύσεως ἱερὸν δῶρον· ὁ δὲ τὰ οἰκεῖα καλῶς ἀπροσπαθέσιν ὀφθαλμοῖς ἐπισκοπήσας τῶν ἀναλαμπόντων μὲν ἀποφοιτήσει τῆς ἀγνωσίας μυχῶν· τῆς θεοῦ δὲ τελεωτάτης ἑνώσεως καὶ μεθέξεως ἀτελὴς ὤν, αὐτὸς οὐκ αὐτόθεν ἐπιθυμήσει· κατὰ βραχὺ δὲ διὰ τῶν αὐτοῦ πρώτων ἐπὶ τὰ ἔτι πρότερα, καὶ δι' ἐκείνων ἐπὶ τὰ πρώτιστα καὶ τελειωθεὶς ἐπὶ τὴν ἀκρότητα τὴν θεαρχικήν, ἐντάξει καὶ ἱερῶς ἀναχθήσεται.

Ταύτης ἐστὶ τῆς εὐκόσμου καὶ ἱερᾶς τάξεως εἰκών· ἡ τοῦ προσιόντος αἰδὼς καὶ ἡ καθ' ἑαυτὸν ἐπιγνωμοσύνη τῆς ἐπὶ τὸν ἱεράρχην ὁδοῦ, τὸν ἀνάδοχον ἔχουσα καθηγεμόνα.



Τὸν οὕτως ἀναγόμενον ἡ θεία μακαριότης εἰς τὴν αὐτῆς μετουσίαν εἰσδέχεται, καὶ τοῦ οἰκείου φωτὸς, ὥσπερ τινὸς αὐτῷ σημείου μεταδίδωσιν· ἔνθεον αὐτὸν ἀποπλοῦσα καὶ κοινωνὸν τῆς τῶν ἐνθέων ἀποκληρώσεως καὶ ἱερᾶς τάξεως· ὧν ἐστι σύμβολον ἱερόν, ἡ τοῦ ἱεράρχου τῷ προσιόντι δωρουμένη σφραγίς· καὶ τῶν ἱερέων ἡ σωτηριώδης ἀπογραφή· τοῖς σωζομένοις αὐτὸν ἐγκαταλέγουσα· καὶ μνημοσύνοις ἱεροῖς ἀνατιθεῖσα· πρὸς αὐτῷ καὶ τὸν ἀνάδοχον, ὡς τῆς ζωοποιοῦ πρὸς ἀλήθειαν πορείας τὸν μὲν ἐραστὴν ἀληθῆ καὶ συνοπαδὸν ἡγεμόνος ἐνθέου· τὸν δὲ ἀπλανῆ τοῖς θεοπαραδότοις ὑφηγήσεσι τοῦ ἑπομένου χειραγωγόν· ἀλλ' οὐκ ἔνεστι τῶν ἄκρως ἐναντίων ἅμα μετασχεῖν· οὐδὲ τὸν κοινωνίαν τινὰ πρὸς τὸ ἓν ἐσχηκότα, μεριστὰς ἔχειν ζωάς, εἴ τις τῆς τοῦ ἑνὸς ἀντέχεται βεβαίας μεθέξεως· ἀλλ' ἄσχετον εἶναι καὶ ἀκατάσπαστον ἐν πάσαις ταῖς τοῦ ἑνοειδοῦς διαιρέσεσιν, ὅπερ ἡ τῶν συμβόλων παράδοσις ἱερῶς αἰνιττομένη· τὸν προσιόντα τὴν οἷον προτέραν ζωὴν ἀπεκδύσασα· καὶ μέχρι τῶν κατ' ἐκείνην ἐσχάτων σχέσεων ἀπολύσασα· γυμνὸν καὶ ἀνυπόδετον ἵστησι πρὸς δυσμὰς ἀφορῶντα, καὶ τῇ τῶν χειρῶν ἀπώσει τὰς τῆς ἀλαμποῦς κακίας ἀναινόμενον κοινωνίας, καὶ τὴν ἐγγενομένην αὐτῷ τῆς ἀνομοιότητος ἕξιν, ὥσπερ ἐκπνέοντα· καὶ τὰς ὁλικὰς ὁμολογήσαντα πρὸς τὸ τοῦ θεοειδοῦς ἐναντίον ἀποταγάς.

Οὐ τῷ παντελῶς αὐτὸν ἄσχετον καὶ ἀκοινώνητον γενόμενα, πρὸς ἕω μετάγει τὴν ἐν τῷ θείῳ φωτὶ στάσιν τε καὶ ἀνάδυσιν ἔσεσθαι καθαρῶς ἐν τῇ παντελεῖ τῆς κακίας ἀποφοιτήσει διαγγέλλουσα καὶ τὰς ἱερὰς αὐτοῦ τῆς πρὸς τὸ ἓν ὁλικῆς συννεύσεως ὁμολογίας ἑνοειδοῦς γενομένου φιλαλήθως ἀποδεχομένη. Ἀλλ᾽ ἔστι που δῆλον ὡς οἶμαι τοῖς τῶν ἱεραρχικῶν ἐπιστήμοσιν ὅτι ταῖς διηνεκέσιν συντονίαις πρὸς τὸ ἓν ἀνατάσεσιν καὶ ταῖς τῶν ἐναντίων ὁλικαῖς νεκρώσεσι καὶ ἀνυπαρξίαις τὸ ἀναλλοίωτον ἴσχει τὰ νοερὰ τῆς θεοειδοῦς ἕξεως.

Οὐ γὰρ ἀναχωρῆσαι χρὴ μόνον ἀπὸ κακίας ἁπάσης ἀνδρικὰ καὶ ἀρρενωπῶς τὸ ἀμάλθακτον εἶναι καὶ ἀφόβητον ἀεὶ πρὸς τὴν ἐπ᾽ αὐτὴν ὀλέθριον ὕφεσιν· οὐδὲ τοῦ ἱεροῦ τῆς ἀληθείας ἔρωτος ἐγκαταλήγειν ποτὲ γενέσθαι, προσεχῶς δὲ καὶ ἀγωνίως ἐπ᾽ αὐτὴν ὅση δύναμις ἀνατείνεσθαι τὴν ἐπὶ τὰ τελειότερα τῆς θεαρχίας ἀναγωγὴν ἱερῶς ἀεὶ διαπραγματευόμενον.

Ὁρᾷς δὲ τὰς τούτων ἀκριβεῖς εἰκόνας ἐν τοῖς ἱεραρχικῶς τελουμένοις. ὁ μὲν γὰρ θεοειδὴς ἱεράρχης ἀπάρχεται τῆς ἱερᾶς ἀλοιφῆς· οἱ δὲ ἱερεῖς ἐπ᾽ αὐτῷ τελοῦσι τὴν τῆς χρίσεως ἱερουργίαν, ἐπὶ τοὺς ἱεροὺς ἐν τύπῳ τὸν τελούμενον ἀγῶνας ἐκκαλούμενοι· καθ᾽ οὓς ὑπ᾽ ἀθλοθέτῃ Χριστῷ γιγνόμενος, ἐπειδὴ ὡς θεὸς ἐστὶ τῆς ἀθλοθεσίας δημιουργός· ὡς σοφὸς δὲ τοὺς νόμους αὐτῆς τέθεικεν, ἐργάσατο δὲ



ὡς καλὸς δὲ εὐπρεπῆ τοῖς νικῶσι τὰ ἔπαθλα.

Καὶ τὸ ἔτι θειότερον ἐπείπερ ὡς ἀγαθὸς ἐν τοῖς ἀθληταῖς ἐγεγόνει μετ᾽ αὐτῶν ἱερῶς· ὑπὲρ τῆς αὐτῶν ἐλευθερίας καὶ νίκης· πρὸς τὸ τοῦ θανάτου καὶ τῆς φθορᾶς ἀγωνιζόμενος κράτος· τοῖς μὲν ἀγῶσιν ὡς θείοις ὁ τελούμενος ἐπιβήσεται χαίρων· ἐμμένει δὲ ταῖς τοῦ σοφοῦ νομοθεσίαις, καὶ κατ᾽ αὐτὰς ἀπαραβάτως ἀγωνιεῖται πρὸς τὴν τῶν καλῶν ἐπάθλων ἐλπίδα βεβαίως ἔχων ὑπ᾽ ἀγαθῷ τῆς ἀθλοθεσίας κυρίῳ, καὶ ἡγεμόνι ταττόμενος· ἐπιβὰς δὲ τοῖς θείοις ἴχνεσι τοῦ ἀθλητῶν πρώτου δι᾽ ἀγαθότητα ταῖς θεομιμήτοις ἀθλήσεσιν, τὰς πρὸς θέωσιν ἐναντίας αὐτῷ καταπαλαίσας ἐνεργείας τε καὶ ὑπάρξεις συναποθνήσκει Χριστῷ· μυστικῶς εἰπεῖν τῇ ἁμαρτίᾳ κατὰ τὸ βάπτισμα. καί μοι καὶ συνετῶς ἐννόει τὰ ἱερὰ μεθ᾽ ὅσης οἰκειότητος ἔχει τὰ σύμβολα. καὶ γὰρ ἐπειδὴ θάνατός ἐστιν ἐφ᾽ ἡμῶν οὐ τῆς οὐσίας ἀνυπαρξία κατὰ τὸ δόξαν ἑτέροις, ἀλλ᾽ ἡ τῶν ἡνωμένων διάκρισις εἰς τὸ ἡμῖν ἀφανὲς ἄγουσα τὴν ψυχὴν μὲν ὡς ἐν στερήσει σώματος ἀειδῆ γιγνομένην, τὸ σῶμα δὲ ὡς ἐν γῇ καλυπτόμενον, καθ᾽ ἑτέραν τινὰ τῶν σωματοειδῶν ἀλλοιώσεων, ἐκ τῆς κατὰ ἄνθρωπον ἰδέας ἀφανιζόμενον· οἰκείως ἡ δι᾽ ὕδατος ὁλικὴ κάλυψις εἰς τὴν τοῦ θανάτου καὶ τοῦ τῆς ταφῆς ἀειδοῦς εἰκόνα παρείληπται. τὸν οὖν ἱερῶς βαπτιζόμενον, ἡ συμβολικὴ διδασκαλία μυσταγωγεῖ ταῖς ἐν τῷ ὕδατι τρισὶ καταδύ-

σει ἐπὶ τὸν θεαρχικὸν τῆς τριημερονύκτου ταφῆς Ἰησοῦ
τοῦ ζωοδότου μιμεῖσθαι θάνατον· ὡς ἐφικτὸν ἀν-
δράσι τὸ θεομίμητον, ἐν ᾧ, κατὰ τὴν τοῦ λογίου μυ-
στηριώδη καὶ κρυφίαν παράδοσιν, οὐδὲν εὕρηκεν ὁ
τοῦ κόσμου ἄρχων. ἑξῆς δὲ φωτοειδεῖς ἐσθῆτας
ἐπιβάλλουσι τῷ τελουμένῳ. τῇ γὰρ ἀνδρικῇ καὶ
θεοειδεῖ τῶν ἐναντίων ἀπαθείᾳ, καὶ τῇ πρὸς τὸ ἓν
ἐν συντονίᾳ συννεύσει τὸ ἄκοσμον κοσμεῖται, καὶ
τὸ ἀνείδεον εἰδοποιεῖται τῇ φωτοειδεῖ καθόλου
ζωῇ λαμπρυνόμενον.

Η δὲ τοῦ μύρου τελειωτικὴ χρῖσις, εὐώδη ποιεῖ τὸν τε-
τελεσμένον· ἡ γὰρ ἱερὰ τῆς θεογενεσίας τελείωσις,
ἑνοῖ τοὺς τελεσθέντας τῷ θεαρχικῷ πνεύματι. τὴν
δὲ νοητῶς εὐωδοποιὸν καὶ τελεσιουργὸν ἐπιφοίτησιν
ἀρρητοτάτην οὖσαν, ἐπιγνῶναι νοερῶς παρίημι
τοῖς ἠξιωμένοις, τῆς κατὰ τὸν νοῦν τοῦ θείου πνεύ-
ματος ἱερᾶς καὶ θεουργοῦ κοινωνίας. Ἐν τέλει δὲ
πάντων ὁ ἱεράρχης ἐπὶ τὴν ἱερωτάτην εὐχαριστί-
αν καλεῖ τὸν τετελεσμένον, καὶ τῆς τῶν τελεστι-
κῶν μυστηρίων αὐτῷ μεταδίδωσι κοινωνίας.

Α λλ᾿ οὖν ἐπειδὴ ταύτης ἐμνήσθημεν, ἣν οὐ θεμιτὸν ἐμοὶ
παραδραμόντι, τῶν ἱεραρχικῶν τι πρὸ ταύτης ἕτε-
ρον ὑμνῆσαι· καὶ γάρ ἐστι κατὰ τὸν κλεινὸν ἡμῶν
καθηγεμόνα τελετῶν τελετή· καὶ χρὴ πρὸ τῶν ἄλλων
αὐτῇ τὴν ἱερογραφικῶς ἐκθέμενον ἐκ τῆς ἐνθέου
κατὰ τὰ λόγια καὶ ἱεραρχικῆς ἐπιστήμης· ἐπὶ τὴν
ἱερὰν αὐτῆς ἀναχθῆναι τῷ θεαρχικῷ πνεύματι θεωρίαν.



Καὶ πρῶτόν γε τοῦτο ἱερῶς ἐποπτεύσωμεν, ὅτου δὴ ἕνε-
κα τὸ κοινὸν, καὶ ταῖς ἄλλαις ἱεραρχικαῖς τελε-
ταῖς ἐκκρίτως αὐτῇ παρὰ τὰς λοιπὰς ἀνατέθει-
ται καὶ ἑνιαίως αὐτὴ ἠγόρευται, κοινωνία τε καὶ σύνα-
ξις ἑκάστης ἱεροτελεστικῆς πραγματείας, καὶ τὰς
μεριστὰς ἡμῶν ζωὰς, ἐς ἑνοειδῆ θέωσιν συναγού-
σης, καὶ τῇ τῶν διαιρετῶν θεοειδεῖ συμπτύξει τὴν
πρὸς τὸ ἓν, κοινωνίαν καὶ ἕνωσιν δωρουμένης.

Φ αμὲν δὲ ὅτι ταῖς τῶν ἄλλων ἱεραρχικῶν συμβόλων
μεθέξεσιν ἡ τελείωσις ἐκ τῶν ταύτης θεαρχικῶν καὶ
τελειωτικῶν ἐστι δωρεῶν.

Ο ὐ γὰρ ἔνεστιν, σχεδὸν τινα τελεσθῆναι τελετὴν ἱεραρ-
χικὴν, μὴ τῆς θειοτάτης εὐχαριστίας ἐν κεφα-
λαίῳ τῶν καθ᾿ ἕκαστα τελουμένων τὴν ἐπὶ τὸ ἓν, τοῦ
τελεσθέντος ἱερουργούσης συναγωγήν· καὶ τῇ θεο-
παραδότῳ δωρεᾷ τῶν τελειωτικῶν μυστηρίων τελε-
σιουργούσης αὐτοῦ τὴν πρὸς θεὸν κοινωνίαν.

Ε ἰ τοίνυν ἑκάστη τῶν ἱεραρχικῶν τελετῶν ἀτελὴς μὲν οὖ-
σα, τὴν πρὸς τὸ ἓν, ἡμῶν κοινωνίαν καὶ σύναξιν οὐ
τελεσιουργήσει, καὶ τὸ εἶναι τελετὴ διὰ τὸ ἀτελέ-
στον ἀφῃρημένη· τὸ δὲ τέλος ἁπάσης καὶ τὸ κεφάλαι-
ον, ἡ τῶν θεαρχικῶν μυστηρίων τῷ τελουμένῳ μετάδο-
σις, εἰκότως ἡ ἱεραρχικὴ σύνεσις ἐπωνυμίαν αὐτῇ
κυρίαν ἐκ τῆς τῶν πραγμάτων ἀληθείας ἐφεῦρεν· οὕτω
δὴ καὶ τὴν ἱερὰν τῆς θεογενεσίας τελετὴν, ἐπειδὴ
πρὸ τοῦ φωτὸς μεταδίδωσιν· καὶ πᾶσιν ἀρχὴ τῶν θείων
φωταγωγιῶν, ἐκ τοῦ τελουμένου τὴν ἀληθῆ τῶν φω-

πίσματος ἐπωνυμίαν ὑμνοῦμεν. ἣ γὰρ καὶ πᾶσι τοῖς ἄλλοις κοινὸν ἱεραρχικοῖς, τὸ φωτὸς ἱεροῦ μεταδιδόναι τοῖς τελουμένοις, ἀλλ' αὕτη τὸ πρώτως ἰδεῖν ἐδωρήσατό μοι, καὶ διὰ τῆς ταύτης ἀρχικωτάτου φωτὸς, πρὸς τὴν τῶν ἄλλων ἱερῶν ἐποπτείαν φωταγωγοῦμαι. ταῦτα δὲ εἰπόντες ἀνασκεψώμεθα καὶ κατίδωμεν ἱεραρχικῶς τὴν καθ' ἕκαστον ἀκριβῆ τῆς ἁγιοτάτης τελετῆς ἱερουργίαν καὶ θεωρίαν.

## Μυστήριον συντάξεως εἴτουν κοινωνίας.

Ὁ μὲν ἱεράρχης εὐχὴν ἱερὰν ἐπὶ τοῦ θείου θυσιαστηρίου τελέσας. ἐξ αὐτοῦ τοῦ θυμιᾶν ἀρξάμενος, ἐπὶ πᾶσαν ἔρχεται τὴν τοῦ ἱεροῦ χώρου περιοχήν. ἀναλύσας δὲ πάλιν ἐπὶ τὸ θεῖον θυσιαστήριον, ἀπάρχεται τῆς ἱερᾶς τῶν ψαλμῶν μελῳδίας. συναδούσης αὐτῷ τὴν ψαλμῳδικὴν ἱερολογίαν, πάσης τῆς ἐκκλησιαστικῆς διακοσμήσεως. ἑξῆς δὲ διὰ τῶν λειτουργῶν ἡ τῶν ἁγιογράφων δέλτων ἀνάγνωσις. ἀκολούθως γίγνεται.

Καὶ μετὰ ταύτας, ἔξω γίγνονται τῆς ἱερᾶς περιοχῆς οἱ κατηχούμενοι, καὶ πρὸς αὐτοῖς οἱ ἐνεργούμενοι, καὶ οἱ ἐν μετανοίᾳ ὄντες. μένουσι δὲ οἱ τῆς τῶν θείων ἐποψίας καὶ κοινωνίας ἄξιοι.

Τῶν λειτουργῶν δὲ οἱ μὲν ἑστᾶσι παρὰ τὰς τοῦ ἱεροῦ πύλας συγκεκλεισμένας. οἱ δὲ ἄλλο τι τῶν τῆς οἰκείας

οἰκείας τάξεως ἐνεργοῦσιν.

Οἱ δὲ τῆς λειτουργικῆς διακοσμήσεως ἔκκριτοι σὺν τοῖς ἱερεῦσιν, ἐπὶ τοῦ θείου θυσιαστηρίου προτιθέασι τὸν ἱερὸν ἄρτον καὶ τὸ τῆς εὐλογίας ποτήριον. προομολογηθείσης ὑπὸ παντὸς τοῦ τῆς ἐκκλησίας πληρώματος τῆς καθολικῆς ὑμνολογίας. πρὸς οἷς ὁ θεῖος ἱεράρχης εὐχὴν ἱερὰν τελεῖ. καὶ τὴν ἁγίαν εἰρήνην ἅπασι διαγγέλλει. καὶ ἀσπασαμένων ἀλλήλους ἁπάντων, ἡ μυστικὴ τῶν ἱερῶν πτυχῶν ἀνάρρησις ἐπιτελεῖται. καὶ νιψαμένων τὰς χεῖρας ὕδατι τοῦ ἱεράρχου καὶ τῶν ἱερέων, ὁ μὲν ἱεράρχης ἐν μέσῳ τοῦ θείου θυσιαστηρίου καθίσταται. περιΐστανται δὲ μόνοι μετὰ τῶν ἱερέων οἱ τῶν λειτουργῶν ἔκκριτοι. καὶ τὰς ἱερὰς θεουργίας ὁ ἱεράρχης ὑμνήσας ἱερουργεῖ τὰ θειότατα, καὶ ὑπ' ὄψιν ἄγει τὰ ὑμνημένα διὰ τῶν ἱερῶς προκειμένων συμβόλων. καὶ τὰς δωρεὰς τῶν θεουργιῶν ὑποδείξας, εἰς κοινωνίαν αὐτῶν ἱερὰν, αὐτός τε ἔρχεται καὶ τοὺς ἄλλους προτρέπεται. μεταχὼν δὲ καὶ μεταδοὺς τῆς θεαρχικῆς κοινωνίας. εἰς εὐχαριστίαν ἱερὰν καταλήγει.

Τῶν πολλῶν μὲν, εἰς μόνα τὰ θεῖα σύμβολα παρακυψάντων αὐτοῦ δὲ ἀεὶ τῷ θεαρχικῷ πνεύματι πρὸς τὰς ἁγίας τῶν τελουμένων ἀρχὰς, ἐν μακαρίοις καὶ νοητοῖς θεάμασιν ἱεραρχικῶς, ἐν καθαρότητι τῆς θεοειδοῦς ἕξεως ἀναγομένου.

Δεῦρο δὴ οὖν ὦ παῖ καλὲ μετὰ τὰς εἰκόνας ἐν τάξει καὶ ἱερῶς ἐπὶ τὴν θεοειδῆ τῶν ἀρχετύπων ἀληθεί-

αι, ἐκεῖνο τοῖς ἐπιτελουμένοις, εἰς ἐναρμόνιον αὐτῶν ψυχαγωγίαν ἔπεστιν ὡς οὐδὲ τῶν συμβόλων ἡ ποικίλη καὶ ἱερὰ σύνθεσις, ἀνόητος αὐτοῖς ὑπάρχει, μέχρι τῶν ἐκτὸς φαινομένη μόνον.

Αἱ μὲν γὰρ ἱερώταται τῶν λογίων ᾠδαὶ καὶ ἀναγνώσεις, διδασκαλίαν αὐτοῖς ἐναρέτου ζωῆς ὑφηγοῦνται· καὶ πρό γε τούτου, τὴν παντελῆ τῆς φθοροποιοῦ κακίας ἀποκάθαρσιν. ἡ δὲ θειοτάτη τοῦ ἑνὸς καὶ ταυτοῦ καὶ ἄρτου καὶ ποτηρίου κοινὴ καὶ εἰρηναία μετάδοσις ὁμοτροπίαν αὐτοῖς ἔνθεον ὡς ὁμοτρόποις νομοθετεῖ. καὶ τοῦ θειοτάτου δείπνου καὶ ἀρχισυμβόλου τῶν τελουμένων εἰς μνήμην ἱερὰν ἄγει. καθ' ὃ καὶ αὐτὸς ὁ τῶν συμβόλων δημιουργὸς ἀποστερεῖ δικαιότατα τῶν οὐχ ὁσίως αὐτῷ καὶ ὁμοτρόπως τὰ ἱερὰ συνδειπνήσαντα διδάσκων ἁγνῶς τε ἅμα καὶ θεοπρεπῶς· ὡς ἡ κατ' ἕξιν ἀληθὴς ἐπὶ τὰ θεῖα προσέλευσις τὴν πρὸς τὸ ὅμοιον αὐτῶν κοινωνίαν τοῖς προσιοῦσι χαρίζεται.

Ταῦτα μὲν οὖν ὡς ἔφην ἐπὶ τὰ τῶν ἀδύτων προπύλαια καλῶς διαγεγραμμένα τοῖς ἀτελέσιν ἔτι πρὸς θεωρίαν αὐτάρκη καταλείποντες. εἰσέλθωμεν ἀπὸ τῶν αἰτιατῶν εἰς τὰ αἴτια, καὶ τὴν ἱερὰν ἡμῶν σύναξιν καὶ τὴν εὐπρεπῆ τῶν νοητῶν Ἰησοῦ φωταγωγοῦντος ὀψώμεθα θεωρίαν. τὸ μακάριον ἀποστίλβουσαν, ἐμφανῶς τῶν ἀρχετύπων κάλλος.

Ἀλλ' ὦ θειοτάτη καὶ ἱερὰ τελετή, τὰ περικείμενά σοι, συμβολικῶς ἀμφιέσματα τῶν αἰνιγμάτων



ἀποκαλυψαμένη τηλαυγῶς ἡμῖν ἀναδείχθητι. καὶ τὰς νοερὰς ἡμῶν ὄψεις ἑνιαίου καὶ ἀπερικαλύπτου φωτὸς ἀποπλήρωσον.

Δεῖ δὴ οὖν ἡμᾶς ἐντὸς παρεῖναι τῶν πανιέρων οἴομαι, τὸ νοητὸν τοῦ πρώτου τῶν ἀγαλμάτων ἀπογυμνώσαντας, εἰς τὸ θεοειδὲς αὐτοῦ κάλλος ἐνατενίσαι καὶ τὸν ἱεράρχην ἐνθέως ἐνιδεῖν. ἀπὸ τοῦ θείου θυσιαστηρίου μέχρι τῶν ἐσχάτων τοῦ ἱεροῦ, μετ' εὐοσμίας ἰόντα, καὶ πάλιν ἐπ' αὐτῷ τελειωτικῶς ἀποκαθιστάμενον. ἥ τε γὰρ ὑπὲρ πάντα θεαρχικὴ μακαριότης, εἰ καὶ ἀγαθότητι θεία πρόεισιν εἰς τὴν τῶν μετεχόντων αὐτῆς ἱερῶν κοινωνίαν, ἀλλ' οὐκ ἔξω τῆς κατ' οὐσίαν ἀκινήτου, στάσεως καὶ ἱδρύσεως γίγνεται. πᾶσι δὲ τοῖς θεοειδέσιν ἀναλόγως ἐλλάμπει περὶ ἑαυτὴν ὄντως οὖσα. καὶ τῆς οἰκείας ὅλως οὐ παρακινουμένη ταυτότητος. ὡσαύτως ἡ θεία τῆς συνάξεως τελετὴ καίτοι, ἑνιαίαν καὶ ἁπλῆν ἔχουσα καὶ συνεπτυγμένην ἀρχήν, εἰς τὴν ἱερὰν ποικιλίαν τῶν συμβόλων φιλανθρώπως πληθύνεται καὶ μέχρι πάσης χωρεῖ τῆς θεαρχικῆς εἰκονογραφίας, ἀλλ' ἑνοειδῶς ἐκ τούτων αὖθις, εἰς τὴν οἰκείαν μονάδα συνάγεται καὶ ἑνοποιεῖ τοὺς ἐπ' αὐτὴν ἱερῶς ἀναγομένους.

Κατὰ τὸν αὐτὸν δὴ θεοειδῆ τρόπον, ὁ θεῖος ἱεράρχης. εἰ καὶ τὴν ἑνιαίαν αὐτοῦ τῆς θεαρχίας ἐπιστήμην ἀγαθοειδῶς εἰς τοὺς ὑποβεβηκότας κατάγει τοῖς τῶν ἱερῶν αἰνιγμάτων πλήθεσι χρώμενος.

ἀνῄει αὖθις, ὡς ἀπόλυτος καὶ τοῖς ἥττοσιν ἀκατάσχετος, εἰς τὴν οἰκείαν ἀρχὴν ἀμειώτως ἀποκαθίσταται· καὶ τὴν εἰς τὸ ἓν ἑαυτοῦ νοερὰν ποιησάμενος εἴσοδον, ὁρᾷ καθαρῶς τοὺς τῶν τελουμένων ἑνοειδεῖς λόγους, τῆς ἐπὶ τὰ δεύτερα φιλανθρώπου προόδου τὸ πέρας, τὴν εἰς τὰ πρῶτα θειοτέραν ἐπιστροφὴν, ποιούμενος. ἡ δὲ τῶν ψαλμῶν ἱερολογία συνουσιωμένη πᾶσι, σχεδὸν τοῖς ἱεραρχικοῖς μυστηρίοις, οὐκ ἤμελλεν ἀπεστερῆσθαι τοῦ πάντων ἱεραρχικωτάτου. πᾶσα μὲν γὰρ ἱερὰ καὶ ἁγιόγραφος δέλτος. ἢ τὴν ἐκ θεοῦ τῶν ὄντων γενητὴν ὕπαρξίν τε καὶ διακόσμησιν, ἢ τὴν νομικὴν ἱεραρχίαν καὶ πολιτείαν, ἢ τῶν τοῦ θείου λαοῦ κληροδοσιῶν διανεμήσεις καὶ κατασχέσεις, ἢ κριτῶν ἱερῶν, ἢ βασιλέων σοφῶν, καὶ ἱερέων ἐνθέων σύνεσιν, ἢ παλαιῶν ἀνδρῶν ἐν ποικιλίᾳ καὶ πλήθει τῶν προσιόντων ἀκατάσειστον ἐν καρτερίᾳ φιλοσοφίαν, ἢ τῶν πρακτέων σοφὰς ὑποθήκας, ἢ θείων ἐρώτων ᾄσματα καὶ ἐνθέους εἰκόνας, ἢ τῶν ἐσομένων τὰς ὑποφητικὰς προαναρρήσεις, ἢ τὰς ἀνδρικὰς Ἰησοῦ θεουργίας, ἢ τὰς τῶν αὐτοῦ μαθητῶν θεοπαραδότους καὶ θεομιμήτους πολιτείας, καὶ ἱερὰς διδασκαλίας, ἢ τὴν κρυφίαν καὶ μυστικὴν ἐποπτείαν τοῦ τῶν μαθητῶν ἀγαπητοῦ καὶ θεσπεσίου. ἢ τὴν ὑπερκόσμιον Ἰησοῦ θεολογίαν τοῖς πρὸς θέωσιν ἐπιτηδείοις ὑφηγήσατο, καὶ ταῖς ἱεραῖς τῶν τελετῶν καὶ θεοειδέσιν ἀναγωγαῖς συνερρίζωσεν. ἡ δὲ τῶν θείων ᾠδῶν ἱερο-



γραφία, σκοπὸν ἔχουσα τὰς θεολογίας τε καὶ θεουργίας ἁπάσας ὑμνῆσαι. καὶ τὰς τῶν θείων ἀνδρῶν ἱερολογίας τε καὶ ἱερουργίας ἐπαινέσαι. καθολικὴν ποιεῖται τῶν θείων ᾠδὴν καὶ ἀφήγησιν, πρὸς πάσης ἱεραρχικῆς τελετῆς ὑποδοχὴν καὶ μετάδοσιν ἕξιν οἰκείαν ἐμποιοῦσα τοῖς ἐνθέως αὐτὴν ἱερολογοῦσιν.

Ὅταν οὖν, ἡ περιεκτικὴ τῶν πανιέρων ὑμνολογία, τὰς ψυχικὰς ἡμῶν ἕξεις ἐναρμονίως διαθῇ, πρὸς τὰ μικρὸν ὕστερον ἱερουργηθησόμενα. καὶ τῇ τῶν θείων ᾠδῶν ὁμοφωνίᾳ, τὴν πρὸς τὰ θεῖα καὶ ἑαυτοὺς καὶ ἀλλήλους ὁμοφροσύνην, ὡς μιᾷ καὶ ὁμολόγῳ τῶν ἱερῶν χορείᾳ νομοθετήσει τὰ συντετμημένα καὶ συνεσκιασμένα μᾶλλον ἐν τῇ νοερᾷ τῶν ψαλμῶν ἱερολογίᾳ. διὰ πλειόνων καὶ σαφεστέρων εἰκόνων καὶ ἀναρρήσεων διευρύνεται ταῖς ἱεροτάταις τῶν ἁγιογράφων συντάξεων ἀναγνώσεσιν.

Ἐν ταύταις ὁ βλέπων ἱερῶς ὄψεται τὴν ἑνοειδῆ καὶ μίαν σύμπνοιαν, ὡς ὑφ' ἑνὸς τοῦ θεαρχικοῦ πνεύματος κεκινημένην. ὅθεν εἰκότως ἐν κόσμῳ μετὰ τὴν ἀρχαιοτέραν παράδοσιν, ἡ καινὴ διαθήκη κηρύσσεται, τῆς ἐνθέου καὶ ἱεραρχικῆς τάξεως. ἐκεῖνο οἶμαι δηλούσης. ὡς ἡ μὲν ἔφη τὰς Ἰησοῦ θεουργίας ἡ δὲ ἐτέλεσεν. καὶ ὡς ἐκείνη μὲν ἐν εἰκόσι τὴν ἀλήθειαν ἔγραφεν. αὕτη δὲ παροῦσαν ὑπέδειξεν. τῶν γὰρ ἐκείνης προαναρρήσεων ἡ κατὰ ταύτην τελεσιουργία. τὴν ἀλήθειαν ἐπιστώσατο. καὶ ἔστι τῆς θεο-

λογίας, ἡ θεουργία συγκεφαλαιώσεις.

Τούτων οἱ μὲν ἀπερισάλπιγκτοι καθόλου τῶν ἱερῶν τελετῶν· οὐδὲ τὰς εἰκόνας ὁρῶσιν ἀναιδῶς ἀπειρασάμενοι τὴν σωτηριώδη τῆς θεογενεσίας μύησιν καὶ τοῖς λογίοις ὀλεθρίως ἀντιφθεγξάμενοι, τὸ ὁδούς σου εἰδέναι οὐ βούλομαι.

Τοὺς δὲ κατηχουμένους, ἐνεργουμένους τε, καὶ τοὺς ἐν μετανοίᾳ ὄντας· ὁ τῆς ἁγίας ἱεραρχίας θεσμὸς, ἐφίησι μὲν ἐπακοῦσαι τῆς ψαλμικῆς ἱερολογίας καὶ τῆς ἐνθέου τῶν πανιέρων γραφῶν ἀναγνώσεως· εἰς δὲ τὰς ἑξῆς ἱερουργίας καὶ θεωρίας· οὐ συγκαλεῖται τούτους· ἀλλὰ τοὺς τελείους τῶν τελουργῶν ὀφθαλμούς.

Ἔστι γὰρ ἡ θεοειδὴς ἱεραρχία· δικαιοσύνης ἱερᾶς ἀνάπλεως καὶ τὸ κατ᾽ ἀξίαν ἑκάστῳ σωτηρίως ἀπονέμει τὴν ἐναρμόνιον ἑκάστου τῶν θείων μέθεξιν· ἐν συμμετρίᾳ καὶ ἀναλογίᾳ κατὰ καιρὸν ἱερῶς δωρουμένη· ἡ μὲν οὖν ἐσχάτη τοῖς κατηχουμένοις ἀπονενέμηται τάξις· εἰσὶ γὰρ ἀμέθεκτοι πάντες καὶ ἀμύητοι παντὸς ἱεραρχικοῦ τελεστηρίου· μηδὲ τὴν κατ᾽ ἀξίαν ἀπότεξιν ἔνθεον ἐσχηκότες ὕπαρξιν· ἀλλ᾽ ἔτι πρὸς τῶν πατρικῶν λογίων μαιευόμενοι, καὶ ζωοποιοῖς μορφώμασι διαπλαττόμενοι πρὸς τὴν ἐκ θεογενεσίας ἀρχίζωον καὶ ἀρχίφωτον καὶ μακαρίαν προαγωγήν.

Ὥσπερ οὖν, τὰ ἀτέλεστα καὶ ἀμόρφωτα προέκπεσοι τὰ κατὰ σάρκα βρέφη· τῆς οἰκείας μαιεύσεως



ἀμβλωθρίδια καὶ ἐκτρώματα, τὴν ἀγέννητον καὶ ἄζωον καὶ ἀφώτιστον ἐπὶ γῆς ἀπόπτωσιν ἔχει· καὶ οὐκ ἄν τις εὖ φρονῶν εἴποι πρὸς τὸ φαινόμενον ἀποσκοπῶν, ἐπὶ τὸ φῶς αὐτὰ προαχθῆναι τοῦ κατὰ γαστέρα, σκότους ἀπαλλαγέντα· φαίη γὰρ ἂν, ἡ τῶν σωμάτων ἐπιστημονικὴ προστάτις ἰατρική· τὸ φῶς ἐνεργεῖν εἰς τὰ δεκτικὰ τοῦ φωτός· οὕτω καὶ τῶν ἱερῶν ἡ πάνσοφος ἐπιστήμη· πρῶτα μὲν αὐτοὺς, τῇ τῶν μορφωτικῶν, καὶ ζωοποιῶν λογίων εἰσαγωγικῇ τροφῇ μαιεύεται· τελεσφορήσασα δὲ, τὴν πρὸς θεογενεσίαν αὐτῶν ὑπόστασιν· ἐνδίδωσι σωτηρίως αὐτοῖς ἐν τάξει, τὴν πρὸς τὰ φωτοειδῆ καὶ τελεσιουργικὰ κοινωνίαν· νῦν δὲ ὡς ἀτελέστων ἀποδιαστέλλει τὰ τέλεια· τῆς τε εὐκοσμίας τῶν ἱερῶν προμηθουμένη, καὶ τῆς τῶν κατηχουμένων ἐνθεοειδεῖ τῶν ἱεραρχῶν τάξει μαιεύσεως καὶ ζωῆς.

Ἡ δὲ τῶν ἐνεργουμένων πληθὺς ἀνίερος μὲν καὶ αὐτή· δευτέρα δὲ πρὸς τὸ ἄνω τῆς τῶν κατηχουμένων ἐστὶν ἐσχατιᾶς.

Οὐδὲ γὰρ ἴσον, ὡς οἶμαι τοῦ παντελῶς ἀμυήτου, καὶ τῶν θείων τελετῶν ἄκρως ἀκοινωνήτου· τὸ μετουσίαν τινὰ τῶν ἱερωτάτων ἐσχηκὸς τελεστηρίων· ἔτι δὲ ταῖς ἐναντίαις, ἢ θέλξεσιν, ἢ ταραχαῖς ἐνηχημένον, ἀλλὰ καὶ πρὸς αὐτοὺς ἡ τῶν πανιέρων θέα καὶ κοινωνία συστέλλεται· καὶ μάλα γε εἰκότως.

Εἰ γάρ ἐστιν ἀληθὲς ὡς ὁ καθόλου θεῖος ἀνὴρ ὁ τῶν θείων ἄξιος κοινωνὸς, ὁ πρὸς τὸ τοῦ κατ' αὐτὸν θεοειδοῦς ἄκρον ἐν παντελέσι καὶ τελειωτικαῖς θεώσεσιν ἀνηγμένος, οὐδὲ τὰ σαρκὸς ἐνεργήσει παρὰ τὰ κατὰ φύσιν ἀναγκαιότατα, καὶ τοῦτο εἰ τύχοι παρέργως.

Ναὸς δὲ ἅμα καὶ ὀπαδὸς ἐν τῇ κατ' αὐτὸν ἀκροτάτῃ θεώσει τοῦ θεαρχικοῦ πνεύματος ἔσται· τὸ ὁμοίῳ τὸ ὅμοιον ἐνιδρύων. οὐκ ἂν ὁ τοιοῦτός ποτε πρὸς τῶν ἐναντίων ἐνεργηθείη φαντασιῶν ἢ δειμάτων.

Γελάσεται δὲ αὐτὰ καὶ προσιόντα καταπαλαίσει. καὶ ἐκδιώξεται, καὶ δράσει μᾶλλον ἢ πείσεται. καὶ πρὸς τῷ τῆς οἰκείας ἕξεως ἀπαθεῖ καὶ ἀνενδότῳ καὶ ἑτέροις ἰατρὸς ὀφθήσεται τῶν τοιούτων ἐνεργημάτων.

Οἶμαι δὲ ἐγὼ πρὸς τούτῳ. μᾶλλον δὲ οἶδα σαφῶς ὡς ἡ τῶν ἱεραρχικῶν ἀκριβεστάτη διάκρισις πρὸ τούτων οἶδεν ἐνεργουμένους ἐναγεστάτην ἐνέργειαν. ὅσοι τῆς θεοειδοῦς ἀποστάντες ζωῆς. ὁμόφρονές τε καὶ ὁμότροποι τοῖς ὀλεθρίοις γίγνονται δαίμοσιν. τὰ μὲν ὄντως ὄντα καὶ ἀθανάτως κτητὰ, καὶ αἰωνίως ἡδέα. δι' ἐσχάτην καὶ ἑαυτοῖς ὀλέθριον ἀνοησίαν ἀποστρεφόμενοι. τὴν πρόσυλον δὲ καὶ πολυπαθεστάτην ἀνομοίωσιν. καὶ τὰς ὀλλυμένας καὶ φθοροποιοὺς ἡδονὰς καὶ τὴν ἀβέβαιον ἐν τοῖς ἀλλοτρίοις. οὐκ οὖσαν ἀλλὰ δοκοῦσαν εὐπάθειαν ἐπιθυμοῦντες καὶ ἐνεργοῦντες.



Ἐρῶ τοι δ' οὖν οὗτοι καὶ κυριώτερον ἐκείνων ὑπὸ τῆς τοῦ λειτουργοῦ διακριτικῆς φωνῆς ἀφοριζέσθωσαν. οὐ γὰρ θεμιτὸν αὐτοῖς ἑτέρου τινὸς ἱεροῦ μετασχεῖν ἢ τῆς τῶν λογίων ἐπιστρεπτικῆς ἐπὶ τὰ κρείττω διδασκαλίας.

Εἰ γὰρ ἡ τῶν θείων ὑπερκόσμιος ἱερουργία. καὶ τοὺς ἐν μετανοίᾳ, καὶ τοὺς πρὸς αὐτὴν ἤδη γεγονότας ἀποκρύπτεται τῷ μὴ παντελῶς ἱερώτατον οὐ προσιεμένη. προσφωνεῖ δὲ καὶ τοῦτο πανάγνως. ὅτι καὶ τοῖς κατά τι πρὸς τὸ τοῦ θεοειδοῦς ἄκρον ἀτελῶς ἐξασθενοῦσιν ἀθέατος ἅμα καὶ ἀκοινώνητος. ἀποσοβεῖ γὰρ ἡ κατὰ πᾶν ἀμιγεστάτη φωνή. καὶ τοὺς μὴ δυναμένους συνδεθῆναι τοῖς τῶν θειοτάτων ἀξίως κοινωνοῖς. πολλῷ γε μᾶλλον ἡ τῶν ἐμπαθῶς ἐνεργουμένων πληθὺς ἀνίερος ἔσται καὶ πάσης ἀλλοτρίας τῆς τῶν ἱερῶν ἐποπτείας καὶ κοινωνίας. ἐπειδὴ τοῦ θείου γεγόνασιν ἔξω ναοῦ. καὶ τῆς ὑπερκειμένης αὐτοὺς ἱερουργίας. οἱ τῶν τελετῶν ἀμύητοι καὶ ἀτέλεστοι. καὶ πρὸς αὐτοῖς οἱ τῆς ἱερᾶς ἀποστάται ζωῆς. ἑπομένως τε τούτοις οἱ πρὸς τὰ τῶν ἐναντίων δείματά τε καὶ φάσματα. δι' ἀνανδρίαν εὐπαθεῖς ὡς οὐκ ἀφικόμενοι διὰ τῆς πρὸς τὰ θεῖα συντόνους καὶ ἀνενδότοις συννεύσεως. ἐπὶ τὸ τῆς θεοειδοῦς ἕξεως ἀκίνητον καὶ δραστήριον. εἶτα πρὸς αὐτοῖς οἱ τῆς ἐναντίας μὲν ἀποστάντες ζωῆς. οὔπω δὲ καὶ τῶν φαντασιῶν αὐτῆς ἐξ ἕξεως καὶ ἔρωτι θείῳ καὶ ἀμιγεῖ καθαρθέντες. καὶ μετ' αὐτοὺς οἱ μὴ καθα-

παξ ἑνοειδεῖς καὶ νομαχῶς εἰπεῖν ἄμωμοι καὶ ἀ-
λώβητοι παντελῶς οἱ πανίεροι τῶν πανιέρων ἱε-
ρουργοὶ καὶ φιλοθεάμονες. τὴν ἁγιωτάτην τελετὴν
ἁγιοπρεπῶς ὑποᾴδοντες. ὑμνοῦσιν ὑμνολογίᾳ
καθολικῇ τὴν ἀγαθουργὸν καὶ ἀγαθοδότιν ἀρχὴν
ὑφ᾽ ἧς, αἱ σωτηριώδεις ἡμῖν ἀνεδείχθησαν τελεταί.
τὴν ἱερὰν τῶν τελουμένων θέωσιν ἱερουργοῦσαι. τὸν
ὕμνον δὲ τοῦτον. οἱ μὲν ὑμνολογίαν καλοῦσιν. οἱ δὲ
τῆς θρησκείας τὸ σύμβολον. ἄλλοι δὲ ὡς οἶμαι
θειότερον ἱεραρχικὴν εὐχαριστίαν. ὡς περιεκτικὴν
τῶν εἰς ἡμᾶς θεόθεν ἀφικομένων ἱερῶν δώρων. δοκεῖ
γάρ μοι τῶν ὑμνουμένων ἁπασῶν θεουργιῶν ἡ πρα-
γματεία περὶ ἡμᾶς γεγονέναι. τὴν μὲν οὐσίαν ἡμῶν
καὶ ζωὴν ἀγαθοειδῶς ὑποστήσασα καὶ ἀρχετύ-
ποις κάλλεσιν τὸ θεοειδὲς ἡμῶν μορφώσασα. καὶ
θειοτέρας ἕξεως καὶ ἀναγωγῆς ἐν μετουσίᾳ κατα-
στήσασα. κατιδοῦσα δὲ τὴν ἐξ ἀπροσεξίας ἐγγενομέ-
νην ἡμῖν ἐρημίαν τῶν θείων δωρεῶν ἀποσκευαστοῖς
ἡμᾶς ἀγαθοῖς εἰς τὸ ἀρχαῖον ἀνακαλέσασθαι καὶ
τῇ παντελεῖ τῶν ἡμετέρων προσλήψει τὴν τελε-
ωτάτην τῶν οἰκείων μετάδοσιν ἀγαθουργῆσαι. καὶ
ταύτῃ κοινωνίαν ἡμῖν θεοῦ καὶ τῶν θείων δωρήσασθαι.

Ο ὕτω δὲ τῆς θεαρχικῆς φιλανθρωπίας ἱερῶς ὑμνη-
θείσης ἐγκεκαλυμμένος μὲν ὁ θεῖος ἄρτος προτίθε-
ται καὶ τὸ τῆς εὐλογίας ποτήριον.

Ο δὲ θειότατος ἀσπασμὸς ἱερουργεῖται καὶ τῶν ἁγιο-
γράφων πτυχῶν ἡ μυστικὴ καὶ ὑπερκόσμιος ἀνάρ-



ρησις. οὐ γὰρ ἔνεστι πρὸς τὸ ἕν, συνάγεσθαι. καὶ τῆς
τοῦ ἑνὸς μετέχειν εἰρηναίας ἑνώσεως τοὺς πρὸς ἑ-
αυτοὺς διῃρημένους.

Ε ἰ γὰρ ὑπὸ τῆς τοῦ ἑνὸς θεωρίας καὶ γνώσεως ἐλλαμ-
πόμενοι. πρὸς τὴν ἑνοειδῆ καὶ θείαν συναγωγὴν ἑνο-
ποιηθῶμεν. οὐκ ἂν ἐπὶ τὰς μεριστὰς ἀνασχοίμεθα
καταπίπτειν ἐπιθυμίας. ἐξ ὧν, αἱ πρόσυλοι δημι-
ουργοῦνται. καὶ ἐμπαθεῖς πρὸς τὸ κατὰ φύσιν ὁ-
μοειδεῖς ἀπέχθειαι.

Τ αύτην οὖν ὡς οἶμαι τὴν ἑνοειδῆ καὶ ἀδιαίρετον ζω-
ήν, ἡ τῆς εἰρήνης ἱερουργία νομοθετεῖ, τῷ ὁμοίῳ
τὸ ὅμοιον ἐνιδρύουσα καὶ τῶν μεριστῶν ἀποδιαστέλ-
λουσα τὰ θεῖα καὶ ἑνιαῖα θεάματα.

Τῶν δὲ ἱερῶν πτυχῶν ἡ μετὰ τὴν εἰρήνην ἀνάρρησις. ἀνα-
κηρύττει τοὺς ὁσίως βεβιωκότας. καὶ πρὸς ἐναρέ-
του ζωῆς τελείωσιν ἀμεταστάτως ἀφικομένους. ἡ-
μᾶς μὲν ἐπὶ τὴν δι᾽ ὁμοιότητος αὐτῶν μακαριστὴν
ἕξιν καὶ θεοειδῆ λῆξιν προτρέπουσα καὶ χειραγω-
γοῦσα. τοὺς δὲ ὡς ζῶντας ἀνακηρύττουσα, καὶ ὡς ἡ
θεολογία φησίν. οὐ νεκρωθέντας. ἀλλ᾽ εἰς θειοτάτην
ζωὴν ἐκ θανάτου μεταφοιτήσαντας.

Σ κόπει δὲ ὅτι καὶ μνημοσύνοις ἱεροῖς ἀνατίθενται,
τῆς θείας μνήμης οὐκ ἀνθρωπικῶς ἐν τῇ τοῦ μνη-
μονικοῦ φαντασίᾳ δηλουμένης, ἀλλ᾽ ὡς ἄν τις φαίη
θεοπρεπῶς κατὰ τὴν ἐνθέως τῶν τετελεσμένων
θεοειδῶν τιμίαν καὶ ἀμετάστατον γνῶσιν. ἔγνω γὰρ
ἔφη τὰ λόγια τοὺς ὄντας αὐτοῦ, καὶ τίμιος ἐναντί-

ον κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. τοῦ θανάτου
τῶν ὁσίων αὐτὶ τῆς ἐν ὁσιότητι τελειώσεως ἐρημένου.

Καὶ τοῦτο δὲ ἱερῶς ἐννόησον ὡς ἐπιτιθέντων τῷ θείῳ
θυσιαστηρίῳ τῶν σεβασμίων συμβόλων. δι᾽ ὧν ὁ
χριστὸς σημαίνεται καὶ μετέχεται. πάρεστιν ἀδια-
στάτως ἡ τῶν ἁγίων ἀπογραφή. τὸ συνεζυγμένον
αὐτῶν ἀδιαιρέτως ἐμφαίνουσα. τῆς πρὸς αὐτὸν
ὑπερκοσμίου καὶ ἱερᾶς ἑνώσεως.

Τούτων δὲ καθ᾽ ὃν εἴρηται θεσμῶν ἱερουργηθέντων.
ἑστὼς ἐπίπροσθε τῶν ἁγιωτάτων συμβόλων ὕ-
δατι τὰς χεῖρας ὁ ἱεράρχης νίπτεται. μετὰ τοῦ σε-
μνοῦ τῶν ἱερῶν τάγματος.

Ὅτι μὲν οὖν ὡς τὰ λόγιά φησιν. ὁ λελουμένος οὐ δεῖ-
ταί τινος ἑτέρας, εἰ μὴ τῆς τῶν ἄκρων, εἴτουν ἐσχά-
των ἑαυτοῦ νίψεως; δι᾽ ἧς ἀκροτάτης καθάρσεως,
ἐν παναγνῷ τοῦ θεοειδοῦς ἕξει, καὶ πρὸς τὰ δεύτε-
ρα προϊὼν ἀγαθοειδῶς ἄσχετος ἔσται καὶ ἀπόλυ-
τος ὡς καθάπαξ ἑνοειδής, καὶ πρὸς τὸ ἕν, αὖθις ἑνι-
αίως ἐπιστρεφόμενος, ἄχραντον κινήσεται καὶ ἀκη-
λίδωτον τὴν ἐπιστροφήν, ὡς τοῦ θεοειδοῦς ἀποσώζων
τὸ πλῆρες καὶ ὁλόκληρον.

Ὁ μὲν ἱερὸς λουτὴρ ὡς εἰρήκαμεν. ἐν τῇ κατὰ νόμον
ἱεραρχίᾳ. νῦν δὲ τοῦ ἱεράρχου καὶ τῶν ἱερέων,, ἡ τῶν
χειρῶν ἀποκάθαρσις ὑπαινίσσεται. τοὺς γὰρ ἐπὶ
τὴν παναγεστάτην ἰόντας ἱερουργίαν, ἀποκαθάρ-
θαι δεῖ καὶ τὰς ἐσχάτας τῆς ψυχῆς φαντασίας,
καὶ δι᾽ ὁμοιότητος αὐτῇ κατὰ τὸ δυνατὸν προσιέ-



ναι. φανερωτέρας γὰρ οὕτω τὰς θεοφανίας περιαυ-
γασθήσονται τῶν ὑπερκοσμίων μαρμαρυγῶν εἰς
τὴν τῶν ὁμοειδῶν ἐσόπτρων ἀγλαΐαν ὁλικώτερον
καὶ διαυγέστερον ἐφιέντων διεῖναι τὴν οἰκείαν αἴ-
γλην. Ἡ δὲ τοῦ ἱεράρχου καὶ τῶν ἱερέων ἄχρι τῶν
ἄκρων εἴτ᾽ οὖν ἐσχάτων ἀπόνιψις ἐπίπροσθε γί-
γνεται τῶν ἁγιωτάτων συμβόλων ὡς ἐπὶ χριστοῦ
τοῦ πάσας ἐφορῶντος ἡμῶν τὰς κρυφιωτάτας ἐν-
νοίας, καὶ τῆς ἀκροτάτης καθάρσεως. ἐν ταῖς ἑαυ-
τοῦ πανεπισκόποις ἀκριβασμοῖς καὶ ταῖς δικαιο-
τάταις καὶ ἀδεκάστοις ἀνακρίσεσιν ὁριζομένης οὕ-
τω τοῖς θείοις ὁ ἱεράρχης ἑνοῦται. καὶ τὰς ἱερὰς θε-
ουργίας ὑμνήσας. ἱερουργεῖ τὰ θειότατα, καὶ ὑπό-
ψιν ἄγει τὰ ὑμνημένα. τίνας μὲν εἶναι τὰς εἰς ἡμᾶς
θεουργίας φαμὲν, ἑξῆς ἀφηγητέον ὅση δύναμις. οὐ
γὰρ ἁπάσας ὑμνεῖν ἱκανὸς ἐγὼ μήτι γε σαφῶς εἰ-
δέναι καὶ ἑτέρους μυσταγωγεῖν. ὅσα δὲ πρὸς τῶν
ἐνθέων ἱεραρχῶν καὶ ἀκολούθως τοῖς λογίοις ὑμνεῖ-
ται καὶ ἱερουργεῖται ταῦτα ὡς ἡμῖν ἐφικτὸν ἐροῦ-
μεν. τὴν ἱεραρχικὴν ἐπίπνοιαν ἀρωγὸν ἐπικαλε-
σάμενοι.

Τὴν ἀνθρωπίαν φύσιν ἀρχῆθεν ἀπὸ τῶν θείων ἀγα-
θῶν ἀνοήτως ἐξολισθήσασαν. ἡ πολυπαθεστάτη
ζωὴ διαδέχεται. καὶ τὸ τοῦ φθοροποιοῦ θανάτου
πέρας. ἀκολούθως γὰρ ἡ τῆς ὄντως ἀγαθότητος ὀ-
λέθριος ἀποστασία, καὶ τῆς ἱερᾶς ἐν παραδείσῳ θε-
σμοθεσίας ὑπερβασία. τὸν ἐξοιστρήσαντα τοῦ ζωο-

ποιοῦ ζυγοῦ ταῖς θελκτικαῖς τοῦ ἐναντίου καὶ δυσμενέσιν ἀπάταις· τοῖς ἐναντίοις τῶν θείων ἀγαθῶν οἰκείαις ῥοπαῖς παραδέδωκεν· ἔνθεν ἐλεεινῶς ἀντὶ μὲν αἰωνίου, τὸ θνητὸν ἀντηλλάξατο· τὴν δὲ οἰκείαν ἀρχὴν ἐν φθαρτικαῖς γενέσεσιν ἐσχηκυῖα, ἐπὶ τὸ τῆς ἀρχῆς κατάλληλον εἰκότως ἤγετο πέρας ἀλλὰ καὶ τῆς θείας καὶ ἀναγωγοῦ ζωῆς· ἐθελουσίως ἀποπεσοῦσα, πρὸς τὴν ἐναντίαν ἐσχατιὰν ἠνέχθη, τὴν πολυπαθεστάτην ἀλλοίωσιν·

Πλανωμένη δὲ, καὶ τῆς εὐθείας ὁδοῦ τῆς ἐπὶ τὸν ὄντως ὄντα θεὸν ἐκτετραμμένη· καὶ ταῖς ὀλεθρίαις καὶ κακεργέταισιν ὑποταττομένη πληθύσιν ἐλάνθανεν οὐ θεοῖς, οὐδὲ φίλοις· ἀλλὰ δυσμενέσι θεραπεύουσα.

Τῶν δὲ ἀφειδῶς αὐτῇ κατὰ τὸ οἰκεῖον ἀνηλεὲς ἀποκεχρημένων· εἰς ἀνυπαρξίας, οἰκτρῶς ἐμπεπτώκει καὶ ἀπωλείας κίνδυνον·

Ἡ δὲ τῆς θεαρχικῆς ἀγαθότητος ἀπειροτάτη φιλανθρωπία· καὶ τὴν αὐτουργὸν ἡμῶν ἀγαθοπρεπῶς οὐκ ἀπηνήνατο πρόνοιαν, ἀλλ᾽ ἐν ἀληθεῖ μεθέξει τῶν καθ᾽ ἡμᾶς γενομένη πάντων ἀναμαρτήτως, καὶ πρὸς τὸ ταπεινὸν ἡμῶν ἑνοποιηθεῖσα, μετὰ τῆς τῶν οἰκείων ἀσυγχύτου καὶ ἀλωβήτου παντελῶς ἕξεως τὴν πρὸς αὐτὴν ἡμῖν κοινωνίαν ὡς ὁμογενέσι λοιπὸν ἐδωρήσατο καὶ τῶν οἰκείων ἀνέδειξεν μετόχους καλῶν·

Τῆς μὲν ἀποστατικῆς πληθύος, ὡς ἡ κρυφία παράδοσις ἔχει, τὸ καθ᾽ ἡμῶν καταλύσασα κράτος· οὐ κατὰ δύναμιν ὡς ὑπερισχύουσα· κατὰ δὲ τὸ μυστικῶς ἡμῖν παραδοθὲν λόγιον· ἐν κρίσει καὶ δικαιοσύνῃ τὰ καθ᾽ ἡμᾶς δὲ πρὸς τοὐναντίον ἅπαν ἀγαθουργῶς μετεσκευάσατο.

Τὸ μὲν γὰρ κατὰ νοῦν ἡμῶν ἀλαμπὲς, ἐνέπλησεν ὀλβίου καὶ θειοτάτου φωτός· καὶ τοῖς θεοειδέσιν ἐκόσμησεν τὸ ἀειδὲς κάλλεσιν·

Τὸ δὲ τῆς ψυχῆς οἰκητήριον· ἐν παντελεῖ σωτηρίᾳ τῆς ὅσον οὔπω καταπεσούσης ἡμῶν οὐσίας, ἐναγεστάτων παθῶν καὶ φθοροποιῶν μολυσμῶν ἠλευθέρωσεν· ἀναγωγὴν ἡμῖν ὑπερκόσμιον δείξασα· καὶ πολιτείαν ἔνθεον ἐν ταῖς πρὸς αὐτὴν ἡμῶν ἱεραῖς κατὰ τὸ δυνατὸν ἀφομοιώσεσι· τὸ θεομίμητον δὲ πῶς ἂν ἡμῖν ἑτέρως ἐγγένοιτο· μὴ τῆς τῶν ἱερωτάτων θεουργιῶν μνήμης ἀνανεουμένης ἀεὶ ταῖς ἱεραρχικαῖς ἱερολογίαις τε καὶ ἱερουργίαις· τοῦτο ποιοῦμεν ὡς τὰ λόγιά φησιν εἰς τὴν αὐτῆς ἀνάμνησιν·

Ἔνθεν ὁ θεῖος ἱεράρχης ἐπὶ τοῦ θείου θυσιαστηρίου καταστὰς, ὑμνεῖ τὰς εἰρημένας ἱερὰς θεουργίας Ἰησοῦ τῆς θειοτάτης ἡμῶν προνοίας· ἃς ἐπὶ σωτηρίᾳ τοῦ γένους ἡμῶν εὐδοκίᾳ τοῦ παναγεστάτου πατρὸς ἐν πνεύματι ἁγίῳ κατὰ τὸ λόγιον ἐτελείωσεν·

Ὑμνήσας δὲ καὶ τὴν σεβασμίαν αὐτῶν καὶ νοητὴν θεωρίαν ἐννοεροῖς ὀφθαλμοῖς ἐποπτεύσας ἐπὶ τὴν συμβολικὴν αὐτῶν ἱερουργίαν ἔρχεται καὶ τοῦτο θεοπαραδότως· ὅθεν εὐλαβῶς τε ἅμα καὶ ἱεραρχικῶς μετὰ τοὺς ἱεροὺς τῶν θεουργῶν ὕμνους· ὑπὲρ

τῆς ὑπὲρ αὐτῶν ἱερουργίας ἀπολογεῖται πρότερον ἱερῶς πρὸς αὐτὸν ἀναβοῶν· σὺ εἶπας τοῦτο ποιεῖται εἰς τὴν ἐμὴν ἀνάμνησιν.

Εἶτα τῆς θεομιμήτου ταύτης ἱερουργίας ἄξιος αἰτήσας γενέσθαι, καὶ τῇ πρὸς αὐτὸν χριστὸν ἀφομοιώσει τὰ θεῖα τελέσαι καὶ διαδοῦναι πανάγνως καὶ τοὺς τῶν ἱερῶν μεθέξοντας ἱεροπρεπῶς μετασχεῖν ἱερουργεῖ τὰ θειότατα, καὶ ὑπ' ὄψιν ἄγει τὰ ὑμνημένα διὰ τῶν ἱερῶς προκειμένων συμβόλων. τὸν γὰρ ἐγκεκαλυμμένον καὶ ἀδιαίρετον ἄρτον ἀνακαλύψας, καὶ εἰς πολλὰ διελὼν καὶ τὸ ἑνιαῖον τοῦ ποτηρίου πᾶσι καταμερίσας, συμβολικῶς τὴν ἑνότητα πληθύνει καὶ διανέμει παναγεστάτην ἐν τούτοις ἱερουργίαν τελῶν. τὸ γὰρ ἓν καὶ ἁπλοῦν καὶ κρύφιον ἰησοῦ τοῦ θεαρχικωτάτου λόγου, τῇ καθ' ἡμᾶς ἐνανθρωπήσει πρὸς τὸ σύνθετόν τι καὶ ὁρατὸν ἀναλλοιώτως ἀγαθότητι καὶ φιλανθρωπίᾳ προελήλυθεν, καὶ τὴν πρὸς αὐτὸ ἡμῶν ἑνοποιὸν κοινωνίαν ἀγαθουργῶς διεπραγματεύσατο, τὰ καθ' ἡμᾶς ταπεινὰ τοῖς θειοτάτοις αὐτοῦ κατ' ἄκρον ἑνώσας, εἴπερ καὶ ἡμεῖς ὡς μέλη σώματι συναρμολογηθῶμεν αὐτῷ, κατὰ τὸ ταὐτὸν τῆς ἀλωβήτου καὶ θείας ζωῆς, καὶ μὴ τοῖς φθοροποιοῖς πάθεσι κατανεκρωθέντες· ἀνάρμοστοι καὶ ἀκόλλητοι καὶ ἀσύζωοι γενώμεθα πρὸς τὰ θεῖα μέλη καὶ ὑγιαίστατα. Χρὴ γὰρ ἡμᾶς εἰ τῆς πρὸς αὐτὸν ἐφιέμεθα κοινωνίας, εἰς τὴν θειοτάτην αὐτοῦ κατὰ σάρκα ζωὴν ἀπο



ἣν ἀποσκοπεῦσαι, καὶ τῇ πρὸς αὐτὴν ἀφομοιώσει τῆς ἱερᾶς ἀναμαρτησίας εἰς τὴν θεοειδῆ καὶ ἀλώβητον ἕξιν ἀναδραμεῖν. οὕτω γὰρ ἐναρμονίως ἡμῖν τὴν πρὸς τὸ ὅμοιον κοινωνίαν δωρήσεται.

Ταῦτα τοῖς ἱερῶς δρωμένοις ὁ ἱεράρχης ἐμφαίνει. τὰ μὲν ἐγκεκαλυμμένα δῶρα πρὸς τὸ ἐμφανὲς ἄγων. τὸ δὲ ἑνιαῖον αὐτῶν εἰς πολλὰ διαιρῶν, καὶ τῇ τῶν διανεμομένων πρὸς τὰ ἐν οἷς γίγνεται κατ' ἄκρον ἑνώσει κοινωνοὺς αὐτῶν ἀποτελῶν τοὺς μετέχοντας.

Διαγράφει γὰρ ἐν τούτοις αἰσθητῶς, ὑπ' ὄψιν ἄγων ἰησοῦν τὸν χριστὸν, τὴν νοητὴν ἡμῶν ὡς ἐν εἰκόσι ζωὴν ἐκ τοῦ κατὰ τὸν θεῖον κρυφίου. τῇ παντελεῖ καὶ ἀσυγχύτῳ καθ' ἡμᾶς ἐνανθρωπήσει φιλανθρώπως ἐξ ἡμῶν εἰδοποιούμενον. καὶ πρὸς τὸ μεριστὸν ἡμῶν ἀναλλοιώτως ἐκ τοῦ κατὰ φύσιν ἑνὸς προϊόντα. καὶ διὰ τῆς ἀγαθουργοῦ ταύτης φιλανθρωπίας. εἰς μετουσίαν ἑαυτοῦ καὶ τῶν οἰκείων ἀγαθῶν καλοῦντα τὸ ἀνθρώπειον φῦλον. εἴπερ ἑνωθῶμεν αὐτοῦ τῇ θειοτάτῃ ζωῇ. πρὸς αὐτὴν ἡμῶν κατὰ δύναμιν ἀφομοιώσει. καὶ ταύτῃ πρὸς ἀλήθειαν, κοινωνοὶ θεοῦ καὶ τῶν θείων ἀποτελεσθησόμεθα.

Μεταχὼν δὲ καὶ μεταδοὺς τῆς θεαρχικῆς κοινωνίας, εἰς εὐχαριστίαν ἱερὰν καταλήγει μετὰ παντὸς τοῦ τῆς ἐκκλησίας ἱεροῦ πληρώματος. ἡ μετοχὴ γὰρ τῆς μεταδόσεως ἡγεῖται, καὶ τῆς μυστικῆς διανεμήσεως, ἡ τῶν μυστηρίων μετάληψις. αὐ

τη γὰρ ἡ καθολικὴ τῶν θείων εὐκοσμία καὶ τάξις. πρῶτον μὲν ἐν μετουσίᾳ γενέσθαι καὶ ἀποπληρώσει τὸν ἱερὸν καθηγεμόνα. τῶν δι' αὐτοῦ θεόθεν ἑτέροις δωρηθησομένων, οὕτω τε καὶ ἄλλοις μεταδοῦναι. διὸ καὶ ταῖς ἐνθέοις διδασκαλίαις. οἱ τολμηρῶς ἀποκεχρημένοι πρὸ τῆς κατ' αὐτὰς πολιτείας καὶ ἕξεως. ἀνίεροι καὶ ἔκφυλοι πάντῃ τῆς ἱερᾶς εἰσὶ θεσμοθεσίας.

Ὥσγὰρ ἐπὶ τῶν ἡλιακῶν μαρμαρυγῶν αἱ λεπτότεραι καὶ διειδέστεραι τῶν οὐσιῶν. πρῶται τῆς εἰσρεούσης αἴγλης ἀποπληρούμεναι, τὸ κατὰ πᾶν ἑαυτῶν ὑπερχεόμενον φῶς. εἰς τὸ μετ' αὐτὰς ἡλιοειδῶς μετοχετεύουσιν.

Οὕτω καὶ θείου φωτὸς οὐ τολμητέον ἑτέροις ἡγήσασθαι τὸν μὴ κατὰ πᾶσαν ἕξιν αὐτοῦ γεγονότα θεοειδέστατον, καὶ πρὸς τῆς θείας ἐπιπνοίας καὶ κρίσεως ἁρμοστὴν ἀναδεδειγμένον. Ἐν τούτοις ἡ πᾶσα τῶν ἱερέων διακόσμησις ἱεραρχικῶς συναχθεῖσα. καὶ τοῖς θειοτάτοις κοινωνήσασα. μετ' εὐχαριστίας ἱερᾶς καταλήγει, τὰς τῶν θεουργιῶν ἀναλόγως ἐπιγνοῦσα. καὶ ὑμνήσασα χάριτας ὥστε οἱ τῶν θείων ἀμέτοχοι καὶ ἀγνῶτες, καὶ οὐκ ἂν εἰς εὐχαριστίαν ἀφίκοιντο. καίτοι κατ' οἰκείαν φύσιν ἀξιωνουσῶν εὐχαριστεῖσθαι τῶν θειοτάτων δωρεῶν. ἀλλ' ὅπερ ἔφην. οὐδὲ προσβλέπουσι ποτὲ τοῖς θείοις δώροις ἐκ τῆς ἐπὶ τὰ χείρω νεύσεως ἐθελήσαντες. ἀχάριστοι πρὸς τὰς ἀπείρους τῶν θεουργιῶν διαμεμενήκα-



Γεύσασθε φησὶ τὰ λόγια καὶ ἴδετε. τῇ γὰρ ἱερᾷ τῶν θείων μυήσει τὰς μεγαλοδώρους αὐτῶν οἱ μυούμενοι χάριτας ἐπιγνώσονται. καὶ τὸ θειότατον αὐτῶν ὕψος καὶ μέγεθος ἐν τῇ μεθέξει πανιέρως ἐποπτεύοντες. τὰς ὑπερουρανίας εὐχαρίστως ὑμνήσουσι τῆς θεαρχίας ἀγαθουργίας.

Τοσαῦτα τῆς ἁγιωτάτης συνάξεώς ἐστι καὶ οὕτω καλὰ τὰ νοητὰ θεάματα τὴν πρὸς τὸ ἓν ἡμῶν ὡς πολλάκις εἰρήκαμεν, ἱεραρχικῶς ἱερουργοῦντα κοινωνίαν καὶ σύναξιν.

Ἀλλ' ἔστι ταύτης ὁμοταγὴς ἑτέρα τελεσιουργία. μύρου τελετὴν αὐτὴν, οἱ καθηγεμόνες ἡμῶν ὀνομάζουσι τὰ μέρη τοίνυν αὐτῆς ἐντάξει κατὰ τὰς ἱερὰς εἰκόνας ἐπισκοπήσαντες οὕτω πρὸς τὸ ἕν, αὐτῆς διὰ τῶν μερῶν ἱεραρχικαῖς θεωρίαις ἀναχθησόμεθα.

## Μυστήριον τελετῆς μύρου.

κ Ατὰ τὸν αὐτὸν τῆς συνάξεως τρόπον ἀπὸ τῶν ἀτελειώτων ἀπολύονται τάξεις προηγησαμένων δηλαδὴ τῆς ἱεραρχικῆς ἐπὶ πᾶν τὸ ἱερὸν εὐόσμου περιαγωγῆς καὶ τῆς ψαλμικῆς ἱερολογίας, καὶ τῆς τῶν θειοτάτων λογίων ἀναγνώσεως.

Εἶτα τὸ μύρον ὁ ἱεράρχης λαβὼν ἐπιτίθησι τῷ θείῳ θυσιαστηρίῳ περικεκαλυμμένον ὑπὸ δυοκαίδεκα πτέρυξιν ἱεραῖς ἀναβοώντων πάντων ἁγιωτάτῃ φωνῇ τὸ ἱερὸν τῆς τῶν θεολήπτων προφητῶν ἐπι-

ἐννοίας μελέτημα· καὶ τὴν ἐπ᾽ αὐτῷ τελουμένην εὐχὴν ἀποπληροῦντας ἐν ταῖς ἁγιωτάταις τῶν ἀφιερουμένων τελεταῖς, αὐτῷ χρῆται πρὸς πᾶσαν σχεδὸν ἱεραρχικὴν τελεσιουργίαν.

Ἡ μὲν ἐπαγωγικὴ τῆς τελειωτικῆς ταύτης ἱερουργίας ἀναγωγή, διὰ τῶν κατὰ τὸ θεῖον μύρον ἱερῶς δρωμένων, ἐκεῖνο οἶμαι δηλοῖ τὸ περικεκαλύφθαι τῶν ὁσίων ἀνδρῶν τὸ κατὰ νοῦν ἱερὸν καὶ εὐῶδες. ᾗ τις ἐνθέως ἐγκελεύεται τοῖς ἱεροῖς ἀνδράσι, μὴ φαινομένας ἔχειν ἐπὶ δόξῃ κενῇ τὰς κατ᾽ ἀρετὴν τοῦ κρυφίου θεοῦ καλὰς καὶ εὐώδεις ἀφομοιώσεις. ἄχραντοι γάρ εἰσιν αἱ τοῦ θεοῦ κρύφιαι καὶ ὑπὲρ νοῦν εὐώδεις εὐπρέπειαι καὶ νοητῶς ἐμφαίνονται μόνοις τοῖς νοεροῖς, ὁμοειδεῖς ἔχειν ἐθέλουσαι τὰς κατ᾽ ἀρετὴν ἐν ψυχαῖς ἀπαραφθάρτους εἰκόνας.

Τὸ γὰρ τῆς θεοειδοῦς ἀρετῆς ἀπαράγραπτον εὖ μεμιμημένον ἄγαλμα πρὸς ἐκεῖνο τὸ νοητὸν καὶ εὐῶδες ἀφορῶν κάλλος, οὕτως ἑαυτὸ τυποῖ καὶ διαπλάττει πρὸς τὸ κάλλιστον μίμημα.

Καὶ καθάπερ ἐπὶ τῶν αἰσθητῶν εἰκόνων, εἰ πρὸς τὸ ἀρχέτυπον εἶδος ὁ γραφεὺς ἀκλινῶς ἐνορᾷ, πρὸς μηδὲν ἄλλο τῶν ὁρατῶν ἀνθελκόμενος ἢ κατά τι μεριζόμενος, αὐτὸν ἐκεῖνον, ὅστις ἐστὶ, τὸν γραφόμενον, εἰ θέμις εἰπεῖν, διπλασιάσει καὶ δείξει τὸ ἀληθὲς ἐν τῷ ὁμοιώματι καὶ τὸ ἀρχέτυπον ἐν τῇ εἰκόνι καὶ ἑκάτερον ἐν ἑκατέρῳ παρὰ τὸ τῆς οὐσίας διάφορον. οὕτω τοῖς φιλοκάλλοις ἐννῷ γραφεῦσιν ἡ



πρὸς τὸ εὐῶδες καὶ κρύφιον κάλλος ἀτενὴς καὶ ἀπαρέγκλιτος θεωρία τὸ ἀπλανὲς δωρήσεται καὶ θεοειδέστατον ἴνδαλμα. εἰκότως οὖν πρὸς τὴν ὑπερούσιον εὐωδίαν καὶ νοητὴν εὐπρέπειαν οἱ θεῖοι γραφεῖς τὸ νοερὸν ἑαυτῶν ἀμεταστρέπτως ἀποτυποῦντες, οὐδεμίαν ὁρῶσι τῶν ἐν αὐτοῖς θεομιμήτων ἀρετῶν εἰς τὸ θεαθῆναι κατὰ τὸ λόγιον τοῖς ἀνθρώποις. ἀλλ᾽ ἱερῶς ἐποπτεύουσιν ὡς ἐν εἰκόνι τῷ θείῳ μύρῳ τὰ τῆς ἐκκλησίας ἱερώτατα περικεκαλυμμένα. διὸ καὶ αὐτοὶ τὰ κατ᾽ ἀρετὴν ἱερὸν καὶ θεοειδέστατον εἴσω τοῦ θεομιμήτου καὶ θεογράφου νοὸς ἱερῶς περικαλύπτοντες, πρὸς μόνην ἀποβλέπουσι τὴν ἀρχέτυπον νόησιν. οὐδὲ γὰρ ἀθέατοι μόνον εἰσὶ τοῖς ἀνομοίοις, ἀλλ᾽ οὐδ᾽ αὐτοὶ πρὸς τὴν ἐκείνων καθέλκονται θέαν. ὅθεν ἑαυτοῖς ἀκολούθως οὐδὲ τῶν δοκούντων εἶναι καλῶν καὶ δικαίων, ἀλλὰ τῶν ὄντως ὄντων ἐρῶσιν· οὐδὲ πρὸς δόξαν ὁρῶσι τὴν ὑπὸ τοῦ πλήθους ἀλόγως μακαριζομένην· ἀλλὰ τὸ καλὸν ἢ χεῖρον ἐφ᾽ ἑαυτοῦ θεομιμήτως κρίνοντες, ἀγάλματα θεῖα τῆς θεαρχικωτάτης εἰσὶν εὐωδίας. ἥτις ἐφ᾽ ἑαυτῆς τὸ ἀληθῶς εὐῶδες ἔχουσα πρὸς τὸ τοῖς πολλοῖς ἀνομοίοις δοκοῦν οὐκ ἐπιστρέφεται, ταῖς ἀληθέσιν αὐτῆς εἰκόσιν ἐντυποῦσα τὸ ἀνεπίκριτον.

Φέρε δὴ λοιπὸν ἐπειδὴ τὴν ἐκτὸς εὐπρέπειαν ἐθεασάμεθα τῆς ὅλης καλῆς ἱερουργίας, εἰς τὸ θειότερον αὐτῆς ἀποβλέψωμεν κάλλος, αὐτὴν ἐφ᾽ ἑαυτῆς ἀποκαλυψαμένην τὰ παραπετάσματα. θεω-

μένοι τὴν μακαρίαν ἀποστίλβουσαν ἐμφανῶς αἴγλην, καὶ τῆς ἀπερικαλύπτου τοῖς νοεροῖς ἀποπληροῦσαν ἡμᾶς εὐωδίας.

Οὐδὲ γὰρ ἡ φαινομένη τοῦ μύρου τελεσιουργία τοῖς περὶ τὸν ἱεράρχην ἐστὶν ἀκοινώνητος, ἢ ἀθέατος· ἀλλὰ τοὐναντίον ἄχρις αὐτῶν διήκουσα, καὶ ἴσως τὴν ὑπὲρ τοὺς πολλοὺς θεωρίαν, ὑπ' αὐτῶν ἱερῶς περικαλύπτεται καὶ τῆς πληθύος ἱεραρχικῶς ἀποδιαστέλλεται.

Τοῖς γὰρ ἐνθέοις ἀνδράσιν ἡ τῶν πανιέρων ἀκτὶς ὡς συγγενέσι τοῦ νοητοῦ· καθαρῶς καὶ ἀμέσως ἐλλάμπουσα· καὶ τὰς νοερὰς αὐτῶν ἀντιλήψεις ἀπερικαλύπτως εὐωδιάζουσα πρὸς τὸ ὑφειμένον· οὐκέτι ὁμοίως πρόεισι· ἀλλ' ὑπ' αὐτῶν ὡς κρυφίων τοῦ νοητοῦ θεωρῶν ἀνεκπομπεύτοις εἰς τὸ τοῖς ἀνομοίοις ἄχραντον ὑποπτέρω τοῖς αἰνίγμασι συγκαλύπτεται· δι' ὧν ἱερῶν αἰνιγμάτων· αἱ τῶν ὑποβεβηκότων εὔκοσμοι τάξεις ἀνάγονται πρὸς τὴν κατ' αὐτὰς ἱερὰν ἀναλογίαν.

Ἔστι δὴ οὖν ὅπερ ἔφην ἡ νῦν ὑμνουμένη παρ' ἡμῶν ἱερὰ τελετουργία· τῆς τελειωτικῆς τῶν ἱεραρχικῶν τάξεως καὶ δυνάμεως.

Διὸ καὶ ταύτην οἱ θεῖοι καθηγεμόνες ἡμῶν· ὡς ὁμοταγῆ καὶ ταυτουργὸν τῷ τῆς συνάξεως ἱερῷ τελεστηρίῳ ταῖς αὐταῖς εἰκόσιν ὡς τὰ πολλὰ, καὶ μυστικαῖς διακοσμήσεσι· καὶ ἱερολογίαις διετάξαντο.

Καὶ τὸν μὲν ἱεράρχην ὡσαύτως ὄψει τὴν ἀπὸ τοῦ θεα-



τέρου τόπου καλὴν εὐωδίαν, εἰς τὰ ἑξῆς, ἱερὰ προφέροντα· καὶ τῇ πρὸς τὸ ταυτὸν ἀναλύσει διδάσκοντα τῶν θείων τὴν μετουσίαν ἐν ἅπασι μὲν γίγνεσθαι κατ' ἀξίαν τοῖς ἱεροῖς, ἀμείωτον δὲ εἶναι καὶ ἀκίνητον παντάπασι καὶ εἴσω τῆς κατὰ θείαν ἵδρυσιν ταυτότητος ἀπαραλλάκτως ἑστηκέναι· ἐπῳδαὶ δὲ πάλιν αἱ τῶν λογίων ᾠδαὶ καὶ ἀναγνώσεις τοὺς μὲν ἀτελέστους μαιεύονται πρὸς ζωηφόρον υἱοθεσίαν· ἐπιστροφὴν δὲ ἱερὰν ποιοῦνται τῶν ἐναγῶς ἐνεργουμένων· ἀφαιροῦσι δὲ τὴν ἐναντίαν δειλίαν καὶ θέλξιν ἐκ τῶν ἀνάνδρως ἐνεργουμένων τὸ τῆς θεοειδοῦς ἕξεως καὶ δυνάμεως ἀκρότατον ἀναλόγως αὐτοῖς ὑποδεικνῦσαι· καθ' ἣν ἐκδειματώσουσι μᾶλλον αὐτοὶ τὰς ἐναντίας δυνάμεις· καὶ τῆς ἑτέρων ἰατρείας προστήσονται τὸ θεομιμήτως ἀκίνητον μὲν ἐκ τῶν οἰκείων καλῶν· πρὸς δὲ τὰς ἐναντίας δειλίας διαδραστήριον οὐκ ἔχοντες μόνον, ἀλλὰ καὶ δωρούμενοι. τοῖς δὲ εἰς νοῦν ἱερὸν ἐκ τῶν χειρόνων μεταφοιτήσασιν ἕξιν ἱερὰν ἐντίθενται πρὸς τὸ μὴ αὖθις ὑπὸ κακίας ἁλῶναι· τοῖς δὲ πρὸς τὸ εἶναι παναγνοὶς ἐνδεεῖς· τελέως ἀποκαθαίρουσι· τοὺς δὲ ἱεροὺς ἄγουσιν ἐπὶ τὰς θείας εἰκόνας καὶ ἐποψίας αὐτῶν καὶ κοινωνίας· ἑστιῶσι δὲ τοὺς πανιέρους ἐν μακαρίοις καὶ νοητοῖς θεάμασιν ἀποπληροῦσαι τὸ ἑνοειδὲς αὐτῶν τοῦ ἑνὸς καὶ ἑνοποιοῦ.

Τί δὲ οὐχὶ καὶ τὰς μὴ πάντῃ καθαρὰς, ὧν ἤδη μνήμην ἐποιησάμεθα τάξεις· ἀμιγῶς ἀπολύει κατὰ τὸν αὐτὸν τῆς συνάξεως τρόπον ἡ παροῦσα νῦν ἱερὰ

τελετουργία· μόνοις ἐν εἰκόσιν ὁρωμένη τοῖς ἱεροῖς καὶ πρὸς μόνων ἀμέσως τῶν πανιέρων ἱεραρχικαῖς ἀναγωγαῖς ἐποπτευομένη καὶ ἱερουργουμένη.

Ταῦτα μὲν οὖν ἤδη πολλάκις ἡμῖν εἰρημένα περιττόν ἐστιν ὡς οἶμαι τοῖς αὐτοῖς ἐπανακυκλεῖν λόγοις καὶ μὴ πρὸς τὰ ἑξῆς μεταβῆναι τὸν ἱεράρχην ἐνθέως ὁρῶντας· ὑπὸ δυοκαίδεκα πτέρυξι περικεκαλυμμένον ἔχοντα τὸ θεῖον μύρον· καὶ τὴν παναγεστάτην ἐπ' αὐτῷ τελείωσιν ἱερουργοῦντα.

Λέγωμεν τοίνυν ὡς ἡ τοῦ μύρου σύνθεσις· συναγωγή τίς ἐστιν εὐπνοιῶν ὑλῶν ἐν ἑαυτῇ πλουσίως ἐχουσα ποιότητας εὐόσμους· ἧς οἱ μετασχόντες εὐωδιάζονται κατὰ τὴν ἀναλογίαν τοῦ ποσοῦ τῆς ἐγγινομένης αὐτοῖς εὐώδου μεθέξεως· πεπείσμεθα δὲ εἶναι τὸν θεαρχικώτατον ἰησοῦν ὑπερουσίως εὐώδη· νοηταῖς διαδόσεσι τὸ νοερὸν ἡμῶν ἀποπληροῦντα θείας ἡδονῆς.

Εἰ γὰρ ἡ τῶν αἰσθητῶν εὐωδῶν ἀντίληψις εὐπαθεῖν ποιεῖ καὶ τρέφει σὺν ἡδονῇ πολλῇ τὸ τῶν ὀσφραντῶν ἡμῶν διακριτικόν· εἴπερ ἀβλαβές τε εἴη καὶ πρὸς τὸ εὐῶδες ἐν συμμετρίᾳ κατάλληλον· ἀναλόγως ἄν τις φαίη καὶ τὰς νοερὰς ἡμῶν δυνάμεις πρὸς τὴν ἐπὶ τὸ χεῖρον ὕφεσιν ἀπαραφθάρτους διακειμένας, ἐν τῇ τοῦ ἐν ἡμῖν κριτικοῦ φυσικῇ ῥώσει· κατὰ τὰ θεουργικὰ μέτρα· καὶ τὴν κατάλληλον τοῦ νοὸς πρὸς τὸ θεῖον ἐπιστροφήν, ἐναντιλήψει τῆς θεαρχικῆς εὐωδίας γίγνεσθαι καὶ εὐπαθείας



ἱερᾶς πληροῦσθαι καὶ θειοτάτης τροφῆς.

Οὐκοῦν ἡ τοῦ μύρου συμβολικὴ σύνθεσις ὡς ἐν μορφώσει τῶν ἀμορφώτων, αὐτὸν ἡμῖν ὑπογράφει τὸν ἰησοῦν· πηγαῖον ὄντα τῶν θείων εὐωδιῶν· ἀντιλήψεως ὄλβον ἀναλογίαις θεαρχικαῖς, εἰς τὰ θεοειδέστατα τῶν νοερῶν ἀναδιδόντα τοὺς θειοτάτους ἀτμοὺς ἐφ' οἷς οἱ νόες εὐπαθῶς ἡδόμενοι· καὶ τῶν ἱερῶν ἀντιλήψεων ἀποπληρούμενοι, τροφῇ νοητῇ χρῶνται, τῇ πρὸς τὸ νοερὸν αὐτῶν εἰσδύσει τῆς κατὰ θείαν μέθεξιν εὐωδῶν διαδόσεων.

Ἔστι δὲ ὡς οἶμαι δῆλον, ὅτι ταῖς ὑπὲρ ἡμᾶς οὐσίαις ὡς θειοτέραις· ἡ τῆς πηγαίας εὐωδίας ἀνάδοσις· ἐγγυτέρα πώς ἐστι καὶ μᾶλλον ἑαυτὴν ἐκφαίνει καὶ διαδίδωσιν εἰς τὸ διειδέστατον αὐτῶν καὶ εὐδεκτικὸν τῆς κατὰ νοῦν ἀναπληρωτικῆς δυνάμεως ἀφθόνως ὑπερβλύζουσα, καὶ πολυπλασίως εἰσδυομένη· πρὸς δὲ τὰ τῶν νοερῶν ὑφειμένα καὶ μὴ ὡσαύτως δεκτικὰ τὴν ὑπερτάτην ἀχράντως ἀποκρύψασα θέαν καὶ μέθεξιν· ἀναλόγοις τῶν μετεχόντων ἀτμοῖς ἐν συμμετρίᾳ θεαρχικῇ διαδίδοται· τῶν ὑπὲρ ἡμᾶς οὖν ἁγίων οὐσιῶν ἡ τόσον ὑπερκειμένη τῶν σεραφὶμ τάξις ἐν τῇ τῶν πτερύγων δυοκαιδεκάδι σημαίνεται· περὶ τὸν ἰησοῦν ἑστῶσα καὶ ἱδρυμένη· τοῖς μακαριωτάτοις αὐτοῦ θεάμασιν· ὡς θεμιτὸν ἐπιβάλλουσα, καὶ τῆς νοητῆς διαδόσεως ἱερῶς, ἐν πανάγνοις ὑποδοχαῖς ἀποπληρουμένη· καὶ τὴν πολύυμνητον ἀληθῶς εἰπεῖν ἀσιγήτοις στόμασιν

ἀνακράζουσα θεολογίαν.

Ἡ γὰρ ἱερὰ τῶν ὑπερκοσμίων νοῶν γνῶσις, ἀκάματός ἐστιν· καὶ ἀκατάληκτον ἔχει τὸν θεῖον ἔρωτα· κακίας ἅμα πάσης ὑπερῴκηται καὶ λήθης. ὅθεν ὡς οἶμαι τὸ τῆς ἀσιγήτου κραυγῆς ὑπαινίσσεται τὴν αἰώνιον αὐτῶν καὶ ἀμετάστατον ἐν συντονίᾳ πάσῃ καὶ εὐχαριστίᾳ τῶν θείων ἐπιστήμην καὶ νόησιν.

Τὰς μὲν οὖν ἀσωμάτους τῶν σεραφὶμ ἰδιότητας ἐν τοῖς λογίοις αἰσθηταῖς εἰκόσι τῶν νοητῶν ἐκφαντορικαῖς ἱερῶς ἀναγεγραμμένας ἐν τοῖς διακόσμοις τῶν ὑπερουρανίων ἱεραρχιῶν οἶμαι καλῶς ἐθεασάμεθα· καὶ τοῖς σοῖς νοεροῖς ὀφθαλμοῖς ὑπεδείξαμεν. ὅμως ἐπειδὴ καὶ νῦν οἱ τὴν ἱεραρχὴν περιεστῶτες· αὐτὴν ἐκείνην ἀποτυποῦσι τὴν ὑπερτάτην διακόσμησιν ἐν ἐπιτομῇ καὶ νῦν ἀϋλοτάταις ὄψεσι· τὴν θεοειδεστάτην αὐτῶν ἀγλαΐαν ὀψόμεθα. Τὸ μὲν οὖν ἀπειροπρόσωπον αὐτῶν καὶ πολύπουν· ἐκφαντορικόν ἐστιν ὡς οἶμαι τῆς πολυθεάμονος αὐτῶν εἰς τὰς θεοτάτας ἐλλάμψεις ἰδιότητος, καὶ τῆς ἀεικινήτου καὶ πολυτρόπου τῶν θείων ἀγαθῶν νοήσεως.

Τὴν δὲ τῶν πτερῶν ὡς τὰ λόγιά φησιν ἑξαπτέρυγον θέσιν· οὐκ ἀριθμὸν ἱερὸν ἐκφαίνειν οἴομαι κατὰ τὸ δόξαν ἑτέροις ἀλλ' ὅτι τῆς περὶ θεὸν ὑπερτάτης οὐσίας καὶ τάξεως, ἀναγωγικὰ καὶ ἀπόλυτα παντελῶς ἐστι καὶ ὑπερκόσμια τὰ πρῶτα καὶ μέσα καὶ τελευταῖα τῶν νοερῶν αὐτῆς καὶ θεοειδῶν δυνάμεων.



ὅθεν ἡ τῶν λογίων ἱερωτάτη σοφία τὴν τῶν πτερῶν διάπλασιν ἱερογραφοῦσα περὶ τὰ πρόσωπα καὶ μέσα, καὶ τοὺς πόδας αὐτῶν ἐντίθησι τὰ πτερά, τὸ καθόλου πτερωτὸν αὐτῶν αἰνιττομένη· καὶ παντοδαπὸν τῆς ἐπὶ τὸ ὄντως ὂν ἀναγωγικῆς δυνάμεως.

Εἰ δὲ τὰ πρόσωπα καὶ τοὺς πόδας καλύπτουσι· καὶ μόνοις πέτανται μέσοις πτεροῖς· ἐννόησον ἱερῶς, ὅτι τοσοῦτον ἐξῃρημένη τῶν ὑπερτάτων οὐσιῶν ἡ τάξις· εὐλαβής ἐστι περὶ τὰ τῶν νοήσεων αὐτῆς ὑψηλότερα καὶ βαθύτερα. καὶ μέσοις πτεροῖς ἐν συμμετρίᾳ πρὸς θεοπτίαν ἀνάγεται· τοῖς θείοις ζυγοῖς ὑποτιθεῖσα τὴν οἰκείαν ζωήν, καὶ πρὸς αὐτῶν ἱερῶς εὐθετουμένη.

Τὸ δὲ τοῖς λογίοις εἰρημένον, ὡς ἐκέκραγον ἕτερος πρὸς τὸν ἕτερον· ἐκεῖνο οἶμαι δηλοῦν· ὅτι τῶν θεοπτικῶν αὐτῶν νοήσεων ἀλλήλοις ἀφθόνως μεταδιδόασιν.

Καὶ τοῦτο δὲ ἱερᾶς ἀξιώσωμεν μνήμης· ὡς ἡ τῶν λογίων ἑβραΐα φωνή, κατ' ἐμφατικὴν ἐπωνυμίαν καλεῖ τὰς ἁγιωτάτας τῶν σεραφὶμ οὐσίας ἐκ τῆς κατὰ θείαν καὶ ἀκίνητον ζωὴν διαπύρου καὶ ὑπερζέοντος.

Ἐπεὶ οὖν ὡς οἱ τὰ ἑβραίων ἀφερμηνεύσαντές φασιν οἱ θειότατοι σεραφὶμ ἐμπρησταὶ καὶ θερμαίνοντες ὑπὸ τῆς θεολογίας ὠνομάσθησαν, ἐκφαντορικῶς τῆς οὐσιώδους αὐτῶν ἕξεως· ὀνόματι τοῦ θείου μύρου κατὰ συμβολικὴν εἰκονογραφίαν ἀνακινητικὰς ἔχουσι δυνάμεις εἰς ἔκφανσιν αὐτοῦ καὶ δραστικωτέρων ἀτμῶν διάδοσιν ἐκκαλουμένας.

Ηγὰρ ὑπὲρ νοῦν εὐώδης οὐσία πρὸς τῶν διαπύρων καὶ καθαρωτάτων νοῶν εἰς ἔκφανσιν ἀνακινεῖσθαι φιλεῖ· καὶ τὰς θειοτάτας αὐτῆς ἐπιπνοίας, ἐν πανολβίαις διαδόσεσιν δωρεῖται τοῖς οὕτως αὐτὴν ὑπερκοσμίως ἐκκαλουμένοις.

Οὐκοῦν ἡ θειοτάτη τῶν ὑπερουρανίων οὐσιῶν τάξις· οὐκ ἠγνόηκε τὸν θεαρχικώτατον Ἰησοῦν εἰς τὸ ἁγιάζεσθαι καταπεληλυθότα· νοεῖ δὲ αὐτὸν ἱερῶς ἐν τοῖς καθ᾽ ἡμᾶς ἑαυτὸν ὑφέντα διὰ θείαν καὶ ἄρρητον ἀγαθότητα, καὶ πρὸς τοῦ πατρὸς αὐτοῦ τε καὶ τοῦ πνεύματος ἀνθρωποπρεπῶς ἁγιαζόμενον ὁρῶσα, τὴν οἰκείαν οἶδεν ἀρχὴν ἐν οἷς ἂν θεαρχικῶς δρᾷ, τὸ κατ᾽ οὐσίαν ἀναλλοίωτον ἔχουσαν. ὅθεν ἡ τῶν ἱερῶν συμβόλων παράδοσις, ἁγιαζομένῳ τῷ θείῳ μύρῳ τοὺς σεραφὶμ παρίστησιν· ἀπαράλλακτον εἰδυῖα καὶ διαγράφουσα τὸν χριστόν, ἐν τῇ καθ᾽ ἡμᾶς ὁλικῇ πρὸς ἀλήθειαν ἐνανθρωπήσει· καὶ προσέτι τὸ θειότερον ὅτι τῷ θείῳ μύρῳ χρῆται πρὸς πᾶσαν τὸ ἱεροῦ τελεσιουργίαν· ἐναργῶς ὑποδεικνῦσα κατὰ τὸ λόγιον ἁγιάζοντα τὸν ἁγιαζόμενον· ὡς ἀεὶ ταυτὸν ἑαυτῷ κατὰ πᾶσαν τὴν θεαρχικὴν ἀγαθουργίαν· διὸ καὶ τῆς ἱερᾶς θεογενεσίας ἡ τελεσιουργὸς δωρεὰ καὶ χάρις ἐν ταῖς τοῦ μύρου ἐντελεῖται θειοτάταις τελειώσεσιν. ὅθεν ὡς οἶμαι καὶ τῷ καθαρτικῷ βαπτιστηρίῳ τὸ μύρον ἐν σταυροειδέσι βολαῖς ἐπιχέων ὁ ἱεράρχης, ὑπὸ ὄψιν ἄγει τοῖς θεωρητικοῖς ὀφθαλμοῖς, ἄχρι καὶ αὐτοῦ θανάτου διὰ σταυροῦ



τὸν Ἰησοῦν ὑπὲρ τῆς ἡμῶν θεογενεσίας καταδυόμενον αὐτῇ τῇ θείᾳ καὶ ἀκρατήτῳ καθόδῳ τοὺς εἰς τὸν θάνατον αὐτοῦ κατὰ τὸ κρύφιον λόγιον βαπτιζομένους· ἐκ τῆς τοῦ φθοροποιοῦ θανάτου παλαιᾶς καταπόσεως ἀγαθοπρεπῶς ἀνασπῶντα καὶ ἀνακαινίζοντα πρὸς ἔνθεον καὶ αἰώνιον ὕπαρξιν.

Αλλὰ μὴν καὶ αὐτῷ τῷ τελεσθέντι τὴν θειοτάτην τῆς θεογενεσίας τελετὴν τὴν τοῦ θεαρχικοῦ πνεύματος ἐπιφοίτησιν, ἡ τοῦ μύρου δωρεῖται τελειωτικὴ χρῖσις ὑποτυπούσης ὡς οἶμαι τῆς ἱερᾶς τῶν συμβόλων εἰκονογραφίας· ὑπ᾽ αὐτοῦ τοῦ δι᾽ ἡμᾶς ἀνθρωποπρεπῶς τῷ θεαρχικῷ πνεύματι καθαγιασθέντος ἀναλλοιώτως τῆς οὐσιώδους θεότητος ἐξ ἧς τὸ θειότατον πνεῦμα χορηγούμενον.

Καὶ τοῦτο δὲ ἱεραρχικῶς ἐννόησον· ὅτι καὶ τοῦ θείου θυσιαστηρίου τὴν ἱερὰν τελείωσιν, ἡ τῶν ἁγιωτάτων τελετῶν θεσμοθεσία· ταῖς τοῦ ἱερωτάτου μύρου τελεσιουργεῖ παναγέσιν ἐπιχύσεσιν. ἔστι δὲ ὑπερουράνιος καὶ ὑπερούσιος ἡ θεωρία πάσης τῆς θεουργικῆς ἡμῶν ἁγιαστείας ἀρχὴ καὶ οὐσία καὶ τελεσιουργὸς δύναμις.

Εἰ γάρ ἐστι τὸ θειότατον ἡμῶν θυσιαστήριον· Ἰησοῦς ἡ θεαρχικὴ τῶν θείων νοῶν ἀφιέρωσις· ἐν ᾧ κατὰ τὸ λόγιον ἀφιερούμενοι. καὶ μυστικῶς ὁλοκαυτούμενοι· τὴν προσαγωγὴν ἔχομεν· ὑπερκοσμίοις ὀφθαλμοῖς ἐποπτεύσωμεν αὐτὸ τὸ θειότατον θυσιαστήριον, ἐν ᾧ τὰ τελούμενα τελεῖται καὶ ἁγιάζεται

πρὸς αὐτοῦ τοῦ θειοτάτου μύρου τελούμενον· ἁγι-
άζει γὰρ ὑπὲρ ἡμῶν ἑαυτὸν ὁ παναγιότατος Ἰησοῦς,
καὶ πάσης ἡμᾶς ἁγιαστείας ἀποπληροῖ τῶν ἐπ' αὐ-
τῶν τελουμένων οἰκονομικῶς εἰς ἡμᾶς ὡς θεογεννή-
τους λοιπὸν ἀγαθουργῶς διαβαινόντων. ὅθεν ὡς
οἶμαι καὶ τὸν νοῦν ἱεραρχικὸν θεοπαράδοτως οἱ
θεῖοι τῆς καθ' ἡμᾶς ἱεραρχίας καθηγεμόνες· τὴν
πανσέμνον ταύτην ἱερουργίαν, μύρου τελετὴν ἐκ
τοῦ τελουμένου πραγματικῶς ὀνομάζουσιν ὡς αὐ-
τίς φαίη θεοῦ τελετὴν ἑκατέρω νῷ τὴν θείαν αὐτῆς
τελεσιουργίαν ὑμνοῦντες· ἔστι γὰρ αὐτοῦ τελετὴ καὶ
τὸ δι' ἡμᾶς ἀνθρωποπρεπῶς ἁγιάζεσθαι· καὶ τὸ θε-
ουργικῶς ἅπαντα τελεῖν καὶ ἁγιάζειν τὰ τελού-
μενα.

Τὸ δὲ ἱερὸν τῆς τῶν θεολήπτων προφητῶν ἐπιπνοίας
μελώδημα, φασὶν οἱ τὰ ἑβραίων εἰδότες, τὸ αἶνος
θεοῦ δηλοῦν, ἢ τὸ αἰνεῖτε τὸν κύριον. ἁπάσης οὖν
ἱερᾶς θεοφανείας καὶ θεουργίας, ἐν τῇ ποικίλῃ συν-
θέσει τῶν ἱεραρχικῶν συμβόλων ἱερογραφουμένης,
οὐκ ἀνάρμοστόν ἐστι μεμνῆσθαι τῆς θεοκινήτου τῶν
προφητῶν ὑμνολογίας· διδάσκει γὰρ ἁγνῶς τε
ἅμα καὶ ἱεροπρεπῶς· αἰνῶν ἱερῶν ἀξίας εἶναι τὰς
θεαρχικὰς ἱερουργίας.

Αὕτη μὲν ἡ θειοτάτη τοῦ μύρου τελετουργία. και-
ρὸς δ' ἂν εἴη μετὰ τὰς θείας ἱερουργίας αὐτὰς ἐκθέ-
σθαι τὰς ἱερατικὰς τάξεις τε καὶ ἀποκληρώσεις,
δυνάμεις τε αὐτῶν καὶ ἐνεργείας καὶ τελειώσεις,



καὶ τὴν ὑπ' αὐτὰς τριάδα τῶν ὑποβεβηκυιῶν τά-
ξεων· ὅπως ἂν ἀποδειχθείη τῆς καθ' ἡμᾶς ἱεραρχί-
ας ἡ διακόσμησις· τὸ μὲν ἄτακτον καὶ ἀκόσμητον
καὶ συμπεφυρμένον, ἀμιγῶς ἀποδιαστέλλουσα
καὶ ἀποκληροῦσα· τὸ κοσμικὸν δὲ καὶ τεταγμένον
καὶ εὐσταθές, ἐν ταῖς κατ' αὐτὴν ἀναφαίνουσα τῶν
ἱερῶν τάξεων ἀναλογίαις. καὶ τὴν μὲν ἁπάσης ἱε-
ραρχίας τριαδικὴν διαίρεσιν, ἐν ταῖς ἤδη παρ' ἡμῶν
ὑμνημέναις ἱεραρχίαις ὡς οἶμαι καλῶς ἐξεθέμε-
θα, φήσαντες ὡς ἡ καθ' ἡμᾶς ἱερὰ παράδοσις ἔχει
πᾶσαν ἱεραρχικὴν πραγματείαν εἰς τὰς θειοτά-
τας τελετὰς διαιρεῖσθαι καὶ τοὺς ἐνθέους αὐτῶν ἐπι-
στήμονας καὶ μύστας· καὶ τοὺς ὑπ' αὐτῶν ἱερῶς τε-
λουμένους.

Οὐκοῦν ἡ μὲν ἁγιωτάτη τῶν ὑπερουρανίων οὐσιῶν
ἱεραρχία τελετὴν μὲν ἔχει τὴν κατὰ δύναμιν οἰ-
κείαν θεοῦ καὶ τῶν θείων ἀϋλοτάτην νόησιν· καὶ
τὴν τοῦ θεοειδοῦς ὁλόκληρον καὶ ὡς ἐφικτὸν θεομί-
μητον ἕξιν· φωταγωγοὺς δὲ καὶ πρὸς τὴν ἱερὰν ταύ-
την τελείωσιν ἡγεμόνας· τὰς περὶ θεὸν πρωτίστας οὐ-
σίας· αὗται εἰς τὰς ὑποβεβηκυίας ἱερὰς τάξεις ἀ-
γαθοειδῶς καὶ ἀναλόγως διαπορθμεύουσι τὰς δω-
ρουμένας αὐταῖς ἀεὶ θεουργικὰς γνώσεις· ὑπὸ
τῆς αὐτοτελοῦς καὶ σοφοποιοῦ τῶν θείων νοῶν θε-
αρχίας.

Αἱ δὲ τῶν πρώτων οὐσιῶν ὑφειμέναι διακοσμήσεις,
ὡς δι' ἐκείνων ἱερῶς ἀναγόμεναι πρὸς τὴν θεουργὸν

τῆς θεαρχίας ἐλλάμψεως αἱ τελούμεναι τάξεις εἰσὶ
καὶ ἀληθῶς ὀνομάζονται. μετ' ἐκείνην δὲ τὴν οὐρα-
νίαν καὶ ὑπερκόσμιον ἱεραρχίαν, εἰς τὰς καθ' ἡμᾶς
ἀγαθουργικῶς ἡ θεαρχία τὰς ἱερωτάτας αὐτῆς
δωρεὰς προφέρουσα. νηπίοις μὲν οὖσι κατὰ τὸ λό-
γιον ἐδωρήσατο τὴν κατὰ νόμον ἱεραρχίαν, ἀμυ-
δραῖς τῶν ἀληθῶν εἰκόσι, καὶ πορρωτάτοις τῶν ἀρ-
χετύπων ἀπεικονίσμασι. καὶ δυσθεωρήτοις αἰνί-
γμασι καὶ τύποις οὐκ εὐδιάκριτον ἔχουσι τὴν ἐγ-
κεκαλυμμένην αὐτοῖς θεωρίαν ἀνάλογον φῶς. ὡς
ἀσθενέσιν ὄψεσιν ἀβλαβῶς ἐπιλάμψασα. ταύτῃ
δὲ τῇ κατὰ νόμον ἱεραρχίᾳ τελετὴ μὲν, ἡ πρὸς τὴν
πνευματικὴν λατρείαν ἀναγωγή, χειραγωγοὶ δὲ
πρὸς ταύτην οἱ τὴν ἁγίαν ἐκείνην σκηνὴν ὑπὸ Μω-
σέως ἱερῶς μυηθέντες. τοῦ πρώτου τῶν κατὰ νό-
μον ἱεραρχῶν μύστου καὶ ἡγεμόνος. πρὸς ἣν, ἱερὰν
σκηνὴν καὶ ἣν, εἰσαγωγικῶς ἱερογραφῶν τὴν κατὰ
νόμον ἱερογραφίαν. εἰκόνα τύπου δειχθέντος αὐ-
τῷ κατὰ τὸ σιναῖον ὄρος ἐκάλει πάντα τὰ κατὰ
τὸν νόμον ἱερουργούμενα.

Τελούμενοι δὲ οἱ πρὸς τῶν νομικῶν συμβόλων ἀνα-
λόγως ἐπὶ τελεωτέραν μύησιν ἀναγόμενοι. τὴν τε-
λεωτέραν δὲ μύησιν ἡ θεολογία τὴν καθ' ἡμᾶς ἱεραρ-
χίαν φησὶν, ἀποπλήρωσιν αὐτὴν ἐκείνης ἀποκαλοῦ-
σα καὶ ἱερὰν λῆξιν.

Ἔστι δὲ καὶ οὐρανία καὶ νομικὴ κοινωνικῶς τῇ μεσό-
τητι τῶν ἄκρων ἀντιλαμβανομένη. τῇ μὲν κοινω-

νοῦσα



νοῦσα ταῖς νοεραῖς θεωρίαις. τῇ δὲ ὅτι καὶ συμβό-
λοις αἰσθητοῖς ποικίλλεται. καὶ δι' αὐτῶν ἱερῶς
ἐπὶ τὸ θεῖον ἀνάγεται.

Τὸ τριαδικὸν δὲ ὡσαύτως ἔχει τῆς ἱεραρχικῆς διαιρέ-
σεως. εἰς τὰς ἁγιωτάτας τῶν τελετῶν ἱερουργίας
διαιρουμένη. καὶ τοὺς θεοειδεῖς τῶν ἱερῶν ὑπηρέ-
τας, καὶ τοὺς ὑπ' αὐτῶν ἀναλόγως ἐπὶ τὰ ἱερὰ
προσαγομένους.

Ἑκάστη δὲ τῶν τριῶν τῆς καθ' ἡμᾶς ἱεραρχίας διαιρέ-
σεως ἀκολούθως τῇ νομικῇ καὶ τῇ θειοτέρᾳ τῶν
καθ' ἡμᾶς ἱεραρχίᾳ. πρώτη καὶ μέση καὶ τελευταία
τάττεται δυνάμει τῆς τε ἱεροπρεποῦς ἀναλο-
γίας προμηθουμένη καὶ τῆς ἁπάντων εὐκόσμου
καὶ κατὰ τάξιν ἐναρμονίου καὶ συνδετικῆς κοινωνίας.

Ἡ μὲν οὖν ἁγιωτάτη τῶν τελετῶν ἱερουργία. πρώ-
την μὲν ἔχει θεοειδῆ δύναμιν τὴν ἱερὰν τῶν ἀτελέ-
στων κάθαρσιν. μέσην δὲ τὴν τῶν καθαρθέντων φωτι-
στικὴν μύησιν. ἐσχάτην δὲ καὶ τῶν προτέρων συγκε-
φαλαιωτικὴν τὴν τῶν μυηθέντων ἐν ἐπιστήμῃ τῶν
οἰκείων μυήσεων τελείωσιν.

Ἡ δὲ τῶν ἱερουργῶν διακόσμησις ἐν τῇ δυνάμει τῇ
πρώτῃ διὰ τῶν τελετῶν ἀποκαθαίρει τοὺς ἀτελέ-
στους. ἐν τῇ μέσῃ φωταγωγεῖ τοὺς καθαρθέντας.
ἐν ἐσχάτῃ δὲ καὶ ἀκροτάτῃ τῶν ἱερουργῶν δυνά-
μεων, ἀποτελειοῖ τοὺς τῷ θείῳ φωτὶ κεκοινωνηκό-
τας ἐν ταῖς τῶν θεωρηθέντων ἐλλάμψεων ἐπιστημο-
νικαῖς τελειώσεσιν.

Η δὲ τῶν τελουμένων δύναμις, ἡ πρώτη μέν ἐστιν ἡ καθαιρομένη· μέση δὲ μετὰ τὴν κάθαρσιν, ἡ φωτιζομένη καί τινων ἱερῶν θεωρητική· τελευταία δὲ καὶ θειοτέρα τῶν ἄλλων ἡ τῶν ἱερῶν φωτισμῶν ὧν ἐγεγόνει θεωρός, ἐλλαμπομένη τὴν τελειωτικὴν ἐπιστήμην. Τῆς μὲν ἁγίας τῶν τελετῶν ἱερουργίας, ἡ τριττὴ δύναμις ὕμνηται· τῆς μὲν ἱερᾶς θεογενεσίας ἐκ τῶν λογίων ἀποδειχθείσης καθάρσεως καὶ φωτιστικῆς ἐλλάμψεως· τῆς συνάξεως δὲ καὶ τῆς τοῦ μύρου τελετῆς· τελειωτικῆς τῶν θεουργιῶν γνώσεως καὶ ἐπιστήμης· δι' ἧς ἱερῶς ἡ πρὸς τὴν θεαρχίαν ἑνοποιὸς ἀναγωγὴ καὶ μακαριωτάτη κοινωνία τελεσιουργεῖται. νῦν δὲ τὴν ἱερατικὴν διακόσμησιν ἑξῆς ἀφηγητέον, ὡς καθαρτικὴν καὶ φωτιστικὴν καὶ τελειωτικὴν εὐταξίαν διαιρουμένην.

## Περὶ τῶν ἱερατικῶν τελειώσεων.

θ Εσμὸς οὖν οὗτός ἐστι τῆς θεαρχίας ὁ πανίερος· τὸ διὰ τῶν πρώτων τὰ δεύτερα πρὸς τὸ θειότατον αὐτῆς ἀνάγεσθαι φέγγος, ἢ οὐχὶ τὰς αἰσθητὰς τῶν στοιχείων οὐσίας ὁρῶμεν εἰς τὰ μᾶλλον αὐταῖς συγγενέστερα πρῶτον ἰούσας· καὶ δι' ἐκείνων ἐφ' ἕτερα τὴν οἰκείαν διεισάσας ἐνέργειαν; εἰκότως οὖν, ἡ πάσης ἀοράτου καὶ ὁρατῆς εὐκοσμίας ἀρχὴ καὶ ἵδρυσις· ὡς τοὺς θεοειδεστέρους πρώτους ἐνδίδωσι



τὰς θεουργικὰς ἀκτῖνας ἰέναι καὶ δι' ἐκείνων ὡς διειδεστέρων νοῶν· καὶ πρὸς μετοχὴν φωτὸς καὶ μετάδοσιν οἰκείως ἐχόντων εἰς τοὺς ὑφειμένους ἀναλόγως αὐτοῖς ἐλλάμπει καὶ ἐπιφαίνεται. τούτων οὖν ἐστι τῶν πρώτων θεοπτικῶν τὸ τοῖς δευτέροις ἀφθόνως ἐν συμμετρίᾳ τῇ κατ' αὐτοὺς ὑποδεῖξαι τὰ πρὸς αὐτῶν ἱερῶς ἐποπτευθέντα θεῖα θεάματα· καὶ τὸ μυῆσαι τὰ ἱεραρχικὰ τῶν μετ' ἐπιστήμης τελειωτικῆς τὰ θεῖα τῆς κατ' αὐτοὺς ἱεραρχίας ἅπαντα καλῶς μυηθέντων καὶ τὴν τελεσιουργὸν τοῦ μυῆσαι δύναμιν προσειληφότων. καὶ τὸ μεταδοῦναι κατ' ἀξίαν τὰ ἱερὰ τῶν ἐπιστημονικῶν καὶ ὁλοκλήρως μετεχόντων τῆς ἱερατικῆς τελειώσεως.

Ο ὐκοῦν ἡ θεία τῶν ἱεραρχῶν τάξις, πρώτη μέν ἐστι τῶν θεοπτικῶν τάξεων· ἀκροτάτη δὲ καὶ ἐσχάτη πάλιν ἡ αὐτή, καὶ γὰρ εἰς αὐτὴν ἀποτελεῖται· καὶ ἀποπληροῦται πᾶσα τῆς καθ' ἡμᾶς ἱεραρχίας διακόσμησις· ὡς γὰρ ἅπασαν ἱεραρχίαν ὁρῶμεν εἰς τὸν Ἰησοῦν ἀποπερατουμένην· οὕτως ἑκάστην εἰς τὸν οἰκεῖον ἔνθεον ἱεράρχην.

Η δὲ τῆς ἱεραρχικῆς τάξεως δύναμις, ἐν πάσαις χωρεῖ ταῖς ἱεραῖς ὁλότησιν· καὶ διὰ πασῶν τῶν ἱερῶν τάξεων ἐνεργεῖ τὰ τῆς οἰκείας ἱεραρχίας μυστήρια· ἐκκρίτως δὲ αὐτῇ παρὰ τὰς λοιπὰς τάξεις εἰς αὐτουργίαν ὁ θεῖος θεσμὸς ἀπονενέμηκε τὰς θειοτέρας ἱερουργίας· αὗται δέ εἰσιν αἱ τελεσιουργοὶ

τῆς θεαρχικῆς δυνάμεως εἰκόνες· ἀποτελοῦσαι
πάντα τὰ θειότατα σύμβολα· καὶ πάσας τὰς ἱε-
ρὰς διακοσμήσεις.

Εἰ γὰρ καὶ πρὸς τῶν ἱερέων τελοῦνταί τινα τῶν σεβα-
σμίων συμβόλων· ἀλλ' οὔποτε τὴν ἱερὰν θεογενεσί-
αν ὁ ἱερεὺς ἱερουργήσει τοῦ θειοτάτου μύρου χω-
ρίς, οὐδὲ τὰ τῆς θείας κοινωνίας τελέσει μυστήρια.
μὴ τῷ θειοτάτῳ θυσιαστηρίῳ τῶν κοινωνικῶν ἐπιτε-
θέντων συμβόλων· ἀλλ' οὐδὲ αὐτὸς ἱερεὺς ἔσται.
μὴ πρὸς τῶν ἱεραρχικῶν τελειώσεων εἰς τοῦτο κε-
κληρωμένος· ὅθεν ἡ θεία θεσμοθεσία, τὴν τῶν ἱεραρ-
χικῶν τάξεων ἁγιαστείαν καὶ τὴν τοῦ θείου μύρου
τελείωσιν· καὶ τὴν ἱερὰν τοῦ θυσιαστηρίου τελετουρ-
γίαν ταῖς τῶν ἐνθέων ἱεραρχῶν τελεσιουργοῖς δυ-
νάμεσιν ἐνιαίως ἀπεκλήρωσεν.

Ἔστιν οὖν, ἡ ἱεραρχικὴ τάξις· ἡ τῆς τελειωτικῆς δυ-
νάμεως ἀναπεπλησμένη τὰ τελεσιουργὰ τῆς ἱε-
ραρχίας· ἐκκρίτως τελετουργοῦσα, καὶ τὰς ἐπιστή-
μας τῶν ἱερῶν ἐκφαντορικῶς μυοῦσα καὶ ἐκδιδά-
σκουσα τὰς ἀναλόγους αὐτῶν καὶ ἱερὰς ἕξεις τε
καὶ δυνάμεις.

Ἡ δὲ τῶν ἱερέων φωταγωγικὴ τάξις· ἐπὶ τὰς θείας τῶν
τελετῶν ἐποψίας χειραγωγεῖ τοὺς τελουμένους
ὑπὸ τῇ τῶν ἐνθέων ἱεραρχῶν τάξει· καὶ μετ' αὐ-
τῆς ἱερουργοῦντα τὰς οἰκείας ἱερουργίας· ἐν οἷς μὲν
αὐτὴ δρᾷ τὰς θεουργίας ὑποδεικνύουσα διὰ τῶν
ἱερωτάτων συμβόλων καὶ θεωρητικοὺς τοὺς προ-



σιόντας ἀποτελοῦσα· καὶ τῶν ὁσίων τελετῶν κοινω-
νούς, εἰς τὸν ἱεράρχην δὲ ἀναπέμπουσα τοὺς τῆς
ἐπιστήμης τῶν θεωρηθεισῶν ἱερουργιῶν ἐφιεμένους.

Ἡ δὲ τῶν λειτουργῶν τάξις· ἡ καθαρτικὴ καὶ τῶν ἀνο-
μοίων διακριτική· πρὸ τῆς ἐπὶ τὰς τῶν ἱερέων ἱερουρ-
γίας προσαγωγῆς· ἀποκαθαίρει τοὺς προσιόντας.
ἀμιγεῖς αὐτοὺς ἀποτελοῦσα τῶν ἐναντίων· καὶ
πρὸς ἱερουργικὴν ἐποψίαν καὶ κοινωνίαν ἐπιτηδεί-
ους. Ὅθεν ἐπὶ τῆς ἱερᾶς θεογενεσίας οἱ λειτουρ-
γοὶ τὸν προσιόντα· τῆς παλαιᾶς ἀπογυμνοῦσιν ἐ-
σθῆτος· ἔτι μὴν καὶ ὑπολύουσιν· καὶ πρὸς δυσμὰς
εἰς ἀντιπαγὴν ἱστῶσι· καὶ αὖθις πρὸς ἕω μετάγουσι.
τῆς καθαρτικῆς γάρ εἰσι τάξεως καὶ δυνάμεως.
ἀποβάλλειν ὁλικῶς ἐγκελευόμενοι τοῖς προσιοῦ-
σι· τὰς τῆς προτέρας ζωῆς ἀμφιέσεις· καὶ τὸ τοῦ
προτέρου βίου σκοτεινὸν ὑποδεικνύντες· καὶ ἐκ-
διδάσκοντες αὐτοὺς ἀποταξαμένους τοῖς ἀλαμ-
πέσιν, ἐπὶ τὰ φωτιστικὰ μεταταχθῆναι.

Καθαρτικὴ τοίνυν ἐστὶν ἡ λειτουργικὴ διακόσμησις.
ἐπὶ τὰς φανὰς τῶν ἱερέων ἱερουργίας ἀνάγουσα τοὺς
κεκαθαρμένους, καὶ τοὺς ἀτελέστους ἀποκαθαίρου-
σα καὶ μαιευομένη ταῖς καθαρτικαῖς τῶν λογί-
ων ἐλλάμψεσι καὶ διδασκαλίαις· καὶ προσέτι
τοὺς ἀνιέρους τῶν ἱερῶν ἀμιγῶς ἀποδιαστέλλουσα.
διό, καὶ ταῖς ἱεραῖς αὐτὴν ἐφιστῶσι πύλαις· ἡ ἱε-
ραρχικὴ θεσμοθεσία τὴν πρὸς τὰ ἱερὰ τῶν προσιόν-
των εἴσοδον, ἐν ταῖς παντελέσι καθάρσεσιν ἁγνιστο-

ἀποδεχομένη· καὶ τὴν ἐπὶ τὰς ἱερὰς αὐτεποψίας καὶ κοινω-
νίας προσαγωγὴν ταῖς καθαρτικαῖς δυνάμεσιν
ἐγχειρίζουσα· καὶ διὰ τούτων αὐτοῖς ἀκηλιδώτους
ἀποδεχομένη·

Δ ἐδείκται τοίνυν ἡ μὲν τῶν ἱεραρχῶν τάξις τελειω-
τική, καὶ τελεσιουργός· ἡ δὲ τῶν ἱερέων φωτιστικὴ
καὶ φωταγωγός· ἡ δὲ τῶν λειτουργῶν καθαρτικὴ καὶ
διακριτική· δηλαδὴ τῆς ἱεραρχικῆς τάξεως οὐ
τελεσιουργεῖν μόνον, ἀλλὰ καὶ φωτίζειν ἅμα καὶ κα-
θαίρειν ἐπισταμένης· καὶ τῆς τῶν ἱερέων δυνάμε-
μεως ἐχούσης ἐν ἑαυτῇ μετὰ τῆς φωτιστικῆς, καὶ
τὴν καθαρτικὴν ἐπιστήμην. ἅμ' ἐν γὰρ ἥττοις ἐπὶ τὰ
κρείττω μεταπηδᾶν ἀδύνατον ἐστὶν· πρὸς τὸ μηδὲ θεμι-
τὸν αὐτοῖς εἶναι πρὸς τοιαύτην ἐγχειρεῖν ἀλαζο-
νίαν. Αἱ δὲ θειότεραι δυνάμεις μετὰ τῶν οἰκείων
καὶ τὰς ὑφειμένας τῇ αὐτῶν τελειότητι ἱερὰς ἐπι-
στήμας γιγνώσκουσιν. ὅμως ἐπειδὴ θείων εἰσὶν ἐν-
εργειῶν εἰκόνες αἱ ἱερατικαὶ διακοσμήσεις τῆς εὐ-
κόσμου καὶ ἀσυγχύτου τῶν θείων ἐνεργειῶν τάξεως
ἐν ἑαυταῖς δεικνῦσαι τὰς τεταγμένας ἐλλάμψεις
ἐς τὰς πρώτας καὶ μέσας καὶ τελευταίας ἱερὰς ἐ-
νεργείας καὶ τάξεις, ἐν διακρίσεσιν ἱεραρχικαῖς ἐ-
ταξήσαντο ἐμφαίνουσαι καθάπερ ἔφην ἐν ἑαυταῖς
τῶν θείων ἐνεργειῶν τὸ τεταγμένον καὶ ἀσύμφυρτον.

Ε ἐπειδὴ γὰρ ἡ θεαρχία τοῖς ἐν οἷς ἂν ἐγγένηται νόας
ἀποκαθαίρει πρῶτον, εἶτα φωτίζει, καὶ φωτισθέν-
τας ἀποτελειοῖ πρὸς θεοειδῆ τελεσιουργίαν· εἰκό-



τως ἡ ἱεραρχικὴ τῶν θείων εἰκόνων τε διακεκριμέ-
νας ἑαυτὴν διαιρεῖ τάξεις τε καὶ δυνάμεις, ἐναρ-
γῶς ὑποδεικνῦσα τὰς θεαρχικὰς ἐνεργείας· ἐν
παναγεστάταις καὶ ἀμιγέσι τάξεσιν· εὐσταθῶς καὶ
ἀσυγχύτως ἑστηκυίας.

Α λλ' ἐπειδὴ τὰς ἱερατικὰς τάξεις τε καὶ ἀπ' αὐτῶν ἱε-
ρώσεις, δυνάμεις τε αὐτῶν καὶ ἐνεργείας εἰρήκα-
μεν· ὡς ἡμῖν ἐφικτὸν καὶ τὰς ἱερωτάτας αὐτῶν ὡς
οἷοί τε ἐσμὲν ἐποπτεύσωμεν τελειώσεις:

## Μυστήριον ἱεραρχικῶν τελειώσεων.

Ο μὲν ἱεράρχης ἐπὶ τὴν ἱεραρχικὴν τελεί-
ωσιν προσαγόμενος ἄμφω τὼ πόδε κλί-
νας ἔμπροσθε τοῦ θυσιαστηρίου· ἐπὶ κε-
φαλῆς ἔχει τὰ θεοπαράδοτα λόγια καὶ τὴν ἱεραρ-
χικὴν χεῖρα· καὶ τούτῳ τῷ τρόπῳ πρὸς τοῦ τε-
λοῦντος αὐτὸν ἱεράρχου ταῖς παναγεστάταις ἐπι-
κλήσεσιν ἀποτελειοῦται.

Ο δ' ἱερεὺς ἄμφω τὼ πόδε κλίνας ἔμπροσθε τοῦ θυ-
σιαστηρίου ἐπὶ κεφαλῆς ἔχει τὴν ἱεραρχικὴν δεξι-
άν, καὶ τούτῳ τῷ τρόπῳ πρὸς τοῦ τελοῦντος αὐτὸν
ἱεράρχου ταῖς ἱεροποιοῖς ἐπικλήσεσιν ἁγιάζεται.

Ο δὲ λειτουργὸς ἕνα τοῖν ποδοῖν κλίνας ἔμπροσθε
τοῦ θείου θυσιαστηρίου ἐπὶ κεφαλῆς ἔχει τὴν τοῦ τε-
λοῦντος αὐτὸν ἱεράρχου δεξιάν, τελειούμενος ὑπ'
αὐτοῦ ταῖς τῶν λειτουργῶν τελειωτικαῖς ἐπικλήσεσιν.

ἑκάστῳ δὲ αὐτῶν ἡ σταυροειδὴς ἐνσημαίνεται πρὸς τοῦ τελοῦντος ἱεράρχου σφραγίς, καὶ καθ' ἕκαστον ἀνάρρησις ἱερὰ γίνεται. καὶ τελειωτικὸς ἀσπασμός, ἀσπαζομένου παντὸς ἱερατικοῦ παρόντος ἀνδρός, καὶ τοῦ τελέσαντος ἱεράρχου τὸν πρός τι τῶν εἰρημένων ἱερατικῶν ταγμάτων ἀποτελεσθέντα.

Κοινὰ μὲν ἔστι τοῖς ἱεράρχαις τε καὶ ἱερεῦσι καὶ λειτουργοῖς· ἐν ταῖς ἱερατικαῖς αὐτῶν τελειώσεσιν, ἡ πρὸς τὸ θεῖον θυσιαστήριον προσαγωγὴ καὶ ὑπόπτωσις, ἡ τῆς ἱεραρχικῆς χειρὸς ἐπίθεσις, ἡ σταυροειδὴς σφραγίς· ἡ ἀνάρρησις· ὁ τελειωτικὸς ἀσπασμός· ἐξαίρετα δὲ καὶ ἔκκριτα τοῖς ἱεράρχαις μέν, ἡ τῶν λογίων ἐπὶ κεφαλῆς ἐπίθεσις· οὐκ ἐχόντων τοῦτο τῶν ὑφειμένων ταγμάτων· τοῖς δὲ ἱερεῦσιν· ἡ ἀμφοῖν τοῖν ποδοῖν κλίσις· οὐκ ἐχούσης τοῦτο τῆς τῶν λειτουργῶν τελειώσεως· οἱ γὰρ λειτουργοὶ καθὼς εἴρηται τὸν ἕνα κλίνουσι τοῖν ποδοῖν μόνον.

Ἡ μὲν οὖν ἐπὶ τὸ θεῖον θυσιαστήριον προσαγωγὴ καὶ ὑπόπτωσις αἰνίσσεται πᾶσι τοῖς ἱερατικῶς τελουμένοις ὑποτιθέναι καθόλου τελεταρχικῷ θεῷ τὴν οἰκείαν ζωήν, καὶ τὴν ἑαυτῶν νοερὰν ὁλότητα. πάναγνον αὐτῷ καὶ καθιερωμένην προσαγωγήν, ὁμοειδῆ καὶ ὡς δυνατὸν ἀξίαν οὖσαν τοῦ θεαρχικοῦ καὶ παναγεστάτου καὶ ἱερείου θυσιαστηρίου τοῦ καθιεροῦντος ἱερατικῶς τοὺς θεοειδεῖς νόας.

Ἡ δὲ τῆς ἱεραρχικῆς χειρὸς ἐπίθεσις, ὁμοῦ μὲν ἐμφαίνει τὴν τελεταρχικὴν σκέπην ὑφ' ἧς ὡς παῖ-



δες ἱεροὶ τελειοῦνται πατρικῶς. αὐτοῖς μὲν ἕξιν καὶ δύναμιν ἱερατικὴν δωρουμένης· τὰς ἐναντίας αὐτῶν δυνάμεις ἀπεραπίζουσης.

Διδάσκει δὲ ἅμα καὶ πάσας τελεῖν τὰς ἱερατικὰς ἐνεργείας ὡς ὑπὸ θεῷ πράττοντας τοὺς τελεσθέντας· καὶ τῶν οἰκείων ἐνεργειῶν αὐτὸν ἔχοντας ἐν παντὶ καθηγεμόνα.

Ἡ σταυροειδὴς δὲ σφραγὶς τὴν ἁπασῶν ὁμοῦ τῶν σαρκικῶν ὀρέξεων ἀνενεργησίαν, καὶ τὴν θεομίμητον ζωὴν ἀφορῶσαν ἀκλινῶς εἰς τὴν ἀνδρικὴν Ἰησοῦ θεότατην ζωὴν ἄχρι σταυροῦ καὶ θανάτου μετὰ θεαρχικῆς ἀναμαρτησίας ἐληλυθότος, καὶ τοὺς οὕτω ζῶντας ὡς ὁμοειδεῖς ἐνσημαίνουσα τῇ σταυροειδεῖ τῆς οἰκείας ἀναμαρτησίας εἰκόνι.

Τὴν ἱερὰν δὲ τῶν τελειώσεων καὶ τῶν τελουμένων ἀνάρρησιν ὁ ἱεράρχης ἀναβοᾷ. τοῦ μυστηρίου δηλοῦντος· ὡς ὁ φιλόθεος ἱεροτελεστὴς ἐκφαντορικός ἐστι τῆς θεαρχικῆς ἐκλογῆς, οὐκ αὐτὸς ἰδίᾳ χάριτι τοὺς τελουμένους ἐπὶ τὴν ἱερατικὴν ἄγων τελείωσιν· ἀλλ' ὑπὸ θεοῦ κινούμενος εἰς πάσας τὰς ἱεραρχικὰς ἁγιαστείας. οὕτω Μωσῆς ὁ νομικὸς ἱεροτελεστής, οὐδὲ ἀδελφὸν ὄντα τὸν Ἀαρὼν εἰς ἱεραρχικὴν τελείωσιν ἄγει καίτοι φιλόθεον αὐτὸν εἶναι καὶ ἱερατικὸν οἰόμενος· ἄχρις οὗ θεόθεν εἰς τοῦτο κινηθεὶς ὑπὸ τελεταρχικῷ θεῷ· τὴν ἱερατικὴν τελείωσιν ἱεραρχικῶς ἐτελεσιούργησεν.

Ἀλλὰ καὶ ὁ θεαρχικὸς ἡμῶν καὶ πρῶτος ἱεροτελε-

στῆς, ἐγεγόνει γάρ. καὶ τοῦτο δὴ ἡμᾶς ὁ φιλανθρωπότατος Ἰησοῦς οὐχ ἑαυτὸν ἐδόξασεν, ὡς τὰ λόγιά φησιν· ἀλλ' ὁ λαλήσας πρὸς αὐτόν, σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. διὸ καὶ αὐτὸς ἐπὶ τὴν ἱερατικὴν τελείωσιν ἄγων τοὺς μαθητάς, καίπερ ὑπάρχων ὡς θεὸς τελετάρχης, ὅμως ἐπὶ τὸν παναγέστατον αὐτοῦ πατέρα καὶ τὸ θεαρχικὸν πνεῦμα, τὴν τελεταρχικὴν ἀνατίθησιν ἱεραρχικῶς τελεσιουργίαν· παραγγέλλων τοῖς μαθηταῖς ὡς τὰ λόγιά φησιν ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι· ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ πατρὸς ἣν ἠκούσατέ μου ὅτι ὑμεῖς βαπτισθήσεσθαι ἐν πνεύματι ἁγίῳ. καὶ μὴν καὶ αὐτὸς ὁ τῶν μαθητῶν κορυφαῖος· μετὰ τῆς ὁμοταγοῦς αὐτῷ καὶ ἱεραρχικῆς δεκάδος εἰς τὴν δυοκαιδεκάτου τῶν μαθητῶν ἐληλυθὼς ἱερατικὴν τελείωσιν· ἐπὶ τῇ θεαρχίᾳ τὴν ἐκλογὴν εὐλαβῶς καταλέλοιπεν· ἀνάδειξον φήσας ὃν ἐξελέξω καὶ τὸν ὑπὸ τοῦ θείου κλήρου θειωδῶς ἀναδεδειγμένον· εἰς τὸν τῆς ἁγίας δυοκαιδεκάδος ἱεραρχικὸν ἀριθμὸν εἰσεδέξατο.

Περὶ δὲ τοῦ θείου κλήρου τοῦ τῷ Ματθίᾳ θειωδῶς ἐπιπεσόντος, ἕτεροι μὲν ἄλλα εἰρήκασιν· οὐκ εὐαγῶς ὡς οἶμαι· τὴν ἐμὴν δὲ καὶ αὐτὸς ἔννοιαν ἐρῶ· δοκεῖ γάρ μοι τὰ λόγια κλῆρον ὀνομάσαι θεαρχικόν τι δῶρον ὑποδηλοῦν ἐκείνῳ τῷ ἱεραρχικῷ χορῷ τὸν ὑπὸ τῆς θείας ἐκλογῆς ἀναδεδειγμένον· ἄλλως τε ὅτι τὸν θεῖον ἱεράρχην οὐκ αὐτοκινήτως χρὴ τὰς ἱε-



ραρχικὰς ποιεῖσθαι τελεσιουργίας· ἀλλ' ὑπὸ θεοῦ κινούμενον αὐτὰς ἱεραρχικῶς καὶ οὐρανίως τελεσιουργεῖν.

Ὁ δὲ πρὸς τῷ τέλει τῆς ἱερατικῆς τελειώσεως ἀσπασμὸς ἱερὰν ἔμφασιν ἔχει· πάντες γὰρ ὅσοι πάρεισι τῶν ἱερατικῶν ὄντες τάξεων· ἀλλὰ καὶ αὐτὸς ὁ τελέσας ἱεράρχης ἀσπάζεται τὸν τετελεσμένον.

Ὅταν γὰρ ἱερατικαῖς ἕξεσι καὶ δυνάμεσι καὶ θείᾳ κλήσει καὶ ἁγιαστείᾳ· πρὸς ἱερατικὴν τελεσιουργίαν ἀφίκηται νοῦς ἱερός, ἐραστός ἐστι τοῖς ὁμοταγέσι καὶ ἱερωτάταις τάξεσιν· ὡς πρὸς τὸ θεοειδέστατον ἀναγόμενος κάλλος· ἐρῶν τῶν ὁμοειδῶν νοῶν· καὶ πρὸς αὐτῶν ἱερῶς ἀντερώμενος· ἔνθεν ὁ πρὸς ἀλλήλοις ἱερατικὸς ἀσπασμὸς ἱερουργεῖται, τὴν τῶν ὁμοειδῶν νοῶν ἱερὰν κοινωνίαν ὑποδηλῶν καὶ τὴν ἐπ' ἀλλήλοις ἐραστὴν εὐφροσύνην ὡς ὁλοκλήρως ἀποσώζουσαν ἱερατικῇ μορφώσει τὸ θεοειδέστατον κάλλος.

Ταῦτα μὲν οὖν ὡς ἔφημεν ἐστὶ τὰ κοινὰ τῆς ὅλης ἱερατικῆς τελειώσεως· ὁ δὲ ἱεράρχης ἔκκριτον ἔχει τὴν τῶν λογίων ἐπὶ κεφαλῆς ἱερωτάτην ἐπίθεσιν· ἐπειδὴ γὰρ ἡ τελεστικὴ τῆς πάσης ἱερατείας δύναμις καὶ ἐπιστήμη τοῖς ἐνθέοις ἱεράρχαις ὑπὸ τῆς θεαρχικῆς δωρεῖται καὶ τελεταρχικῆς ἀγαθότητος· εἰκότως ἐπὶ τῶν ἱεραρχικῶν κεφαλῶν ἐπιτίθεται τὰ θεοπαράδοτα λόγια τὰ περιεκτικῶς καὶ ἐπιστημονικῶς ἐκφαντορικὰ πάσης θεολογίας, θεουργίας, θεοφανίας, ἱερολογίας, ἱερουργίας, ἑνὶ λόγῳ πάντων τῶν θείων καὶ ἱερῶν ἔργων τε καὶ λόγων τῶν ὑπὸ τῆς ἀγα-

θεουργοῦ θεαρχίας τῇ καθ' ἡμᾶς ἱεραρχίᾳ διῃρημένων· ὡς τοῦ θεοειδοῦς ἱεράρχου· πάσης μὲν ἱεραρχικῆς δυνάμεως ὁλοκλήρως μετέχοντος· πασῶν δὲ τῶν ἱεραρχικῶν ἱερολογιῶν τε καὶ ἱερουργιῶν τὴν ἀληθῆ καὶ θεοπαράδοτον ἐπιστήμην· οὐκ ἐλλαμφθησομένοις μόνον· ἀλλὰ καὶ ἑτέροις ἀναλογίαις ἱεραρχικαῖς μεταδώσοντος καὶ τελεσιουργήσοντος ἐνθεωτάταις γνώσεσιν, καὶ ἀκροτάταις ἀναγωγαῖς· ἱεραρχικῶς ἅπαντα τὰ τῆς ὅλης ἱεραρχίας τελεστικώτατα. Τοῖς δὲ ἱερεῦσιν τοῖν δυοῖν ποδοῖν ἡ κλίσις· ἔκκριτόν ἐστιν παρὰ τὴν λειτουργικὴν διακόσμησιν ὡς τὸν ἕνα κλινούσης ἐκείνης· καὶ τούτῳ τῷ ἱεραρχικῷ σχήματι τελειουμένης.

Η μὲν οὖν κλίσις ἐμφαίνει τὴν ὑποκειμένην προσαγωγὴν τοῦ προσάγοντος ὑποτιθέντος θεῷ τὸ ἱερῶς προσαγόμενον. ἐπειδὴ δὲ ὡς πολλάκις εἰρήκαμεν αἱ τρεῖς τῶν ἱεροτελεστῶν διακοσμήσεις· διὰ τῶν τριῶν ἁγιωτάτων τελετῶν καὶ δυνάμεων· ἐφεστᾶσι ταῖς τρισὶν τῶν τελουμένων τάξεσι καὶ τὴν ὑπὸ τὰ θεῖα ζυγά, σωστικὴν αὐτῶν ἱερουργοῦσι προσαγωγήν, εἰκότως ἡ λειτουργικὴ τάξις· ὡς μόνον καθαρτικὴ τὴν μίαν ἱερουργεῖ τῶν καθαιρομένων προσαγωγὴν ὑπὸ τὸ θεῖον αὐτὴν ὑποτιθεῖσα θυσιαστήριον, ὡς ἐν αὐτῷ τῶν καθαιρομένων νοῶν ὑπερκοσμίως ἱερουμένων.

Οἱ δὲ ἱερεῖς ἄμφω τὼ πόδε κλίνουσιν· ὡς τῶν ὑπ' αὐτῶν ἱερῶς προσαγομένων· οὐ μόνον κεκαθαρμένων ἀλλὰ καὶ ταῖς φανοτάταις αὐτῶν ἱερουργίαις ἀναγωγικῶς· ἀποκεκαθαρμένης ζωῆς, εἰς θεωρητικὴν ἕξιν καὶ δύναμιν ἱερουργικῶς ἀποτελεσθέντων. ὁ δὲ ἱεράρχης, ἄμφω τὼ πόδε κλίνων ἐπὶ κεφαλῆς ἔχει τὰ θεοπαράδοτα λόγια· τοῖς ὑπὸ τῆς λειτουργικῆς δυνάμεως ἐκκεκαθαρμένοις· καὶ πρὸς τῆς ἱερουργοῦ πεφωτισμένους καὶ πρὸς τὴν τῶν ἐποπτευθέντων ὑπ' αὐτῶν ἱερῶν ἀναλόγως αὐτοῖς ἐπιστήμην ἱεραρχικῶς ἄγων καὶ δι' αὐτῆς ἀποτελῶν τοῖς προσαγομένοις· εἰς τὴν κατ' αὐτοὺς ὁλόκληρον ἀφιέρωσιν· αὗται μὲν αἱ ἱερατικαὶ τάξεις τε καὶ ἀποκληρώσεις δυνάμεις τε αὐτῶν καὶ ἐνέργειαι καὶ τελειώσεις· τὴν δὲ ὑπ' αὐτὰς τριάδα τῶν τελουμένων τάξεων ἑξῆς ἀφηγητέον.

Λέγομεν τοίνυν ὅτι καθαιρόμεναι μέν εἰσι τάξεις αἱ τῶν ἱερουργικῶν καὶ τελετουργιῶν ἀποδιαστελλόμεναι πληθύες· ὧν ἤδη μνήμην ἐποιησάμεθα.

Τῆς μὲν ὡς ἔτι πρὸς τῶν λειτουργῶν τοῖς μαιευτικοῖς λογίοις πρὸς ζωτικὴν ἀποτέξιν μορφουμένης τε καὶ διαπλαττομένης· τῆς δὲ ὡς ἔτι πρὸς τὴν ἱερὰν ἧς ἀπέστη ζωῆς ἀνακαλουμένης τῇ τῶν ἀγαθῶν λογίων ἐπιστρεπτικῇ διδασκαλίᾳ· τῆς δὲ ὡς ἔτι πρὸς τῶν ἐναντίων δειλίας ἀνάνδρως ἐκδειματουμένης· καὶ πρὸς τῇ δυναμοποιῷ τῶν λογίων ἐπιρρωννυμένης· τῆς δὲ ὡς ἔτι πρὸς τὰς ἱερὰς ἐνεργείας ἐκ τῶν χειρόνων μεταγομένης· τῆς δὲ ὡς μεταπαχθείσης μὲν, οὔπω δὲ τῷ παναγνῷ ἀνεπίστροφον ἐνθεωτέραις ἕξεσιν καὶ ἀσαλεύτοις ἐσχηκυίας· αὗται γάρ εἰσιν αἱ

καθαιρόμεναι τάξεις ὑπὸ τῆς λειτουργικῆς μαιώσεως· καὶ καθαρτικῆς δυνάμεως.

Ταύτας οἱ λειτουργοὶ ταῖς ἱεραῖς αὐτῶν δυνάμεσιν τελεσιουργοῦσιν, πρὸς τὸ τελέως ἐκκαθαρθείσας αὐτὰς, εἰς τὴν φωτιστικὴν τῶν φανοτάτων ἱερουργιῶν θεωρίαν τε καὶ κοινωνίαν μεταταχθῆναι.

Μέση δὲ τάξις ἐστὶν ἡ θεωρητικὴ καί τινων ἱερῶν ἀναλόγως ἐν καθαρότητι πάσῃ κοινωνός, ἡ τοῖς ἱερεῦσιν, εἰς τὸ φωτίζειν αὐτὴν ἀπονενεμηθεῖσα. καὶ γάρ ἐστιν ὡς οἶμαι δῆλον ὡς ἡ καθαρθεῖσα πάσης ἀνιέρου κηλῖδος, καὶ πανάγνον ἐσχηκυῖα τὴν τοῦ οἰκείου νοὸς ἀκίνητον ἵδρυσιν ἐπὶ τὴν θεωρητικὴν ἕξιν καὶ δύναμιν ἱερουργικῶς μετάγεται καὶ κοινωνεῖ τοῖς κατ' αὐτὴν θειοτάτοις συμβόλοις· ἐν ταῖς θεωρίαις αὐτῶν καὶ κοινωνίαις ἁπάσης ἱερᾶς εὐφροσύνης ἀποπληρουμένη· καὶ πρὸς τὸν θεῖον τῆς ἐπιστήμης αὐτῶν ἔρωτα ταῖς ἀναγωγικαῖς δυνάμεσιν ἀναλόγως ἀναπτερουμένη.

Ταύτην ἐγώ φημι τὴν τοῦ ἱεροῦ λαοῦ τάξιν ὡς διὰ πάσης ἐληλυθυῖαν καθάρσεως· καὶ τῆς ἱερᾶς τῶν φανοτάτων τελετῶν ἐποψίας καὶ κοινωνίας ὡς θεμιτὸν ἠξιωμένην.

Ἡ δὲ τῶν τελουμένων ἁπασῶν ὑψηλοτέρα τάξις· ἡ τῶν μοναχῶν ἐστιν ἱερὰ διακόσμησις· πᾶσαν μὲν ἀποκεκαθαρμένην κάθαρσιν, ὁλικῇ δυνάμει· καὶ παντελεῖ τῶν οἰκείων ἐνεργειῶν ἁγνότητι· πάσης δὲ ὅσης θεμιτὸν αὐτῇ θεωρεῖν ἱερουργίας· ἐννοε-



ρὰ θεωρία καὶ κοινωνία γεγενημένη· καὶ ταῖς τῶν ἱεραρχῶν τελειωτικαῖς δυνάμεσιν ἐγχειριζομένη· καὶ ταῖς ἐνθέοις αὐτῶν ἐλλάμψεσιν καὶ ἱεραρχικαῖς παραδόσεσιν ἐκδιδασκομένη τὰς ἐποπτευθείσας τῶν κατ' αὐτὴν ἱερῶν τελετῶν ἱερουργίας. καὶ πρὸς τῆς ἱερᾶς αὐτῶν ἐπιστήμης ἀναλόγως εἰς τελεωτάτην ἀναγομένη τελείωσιν.

Ἔνθεν οἱ θεῖοι καθηγεμόνες ἡμῶν ἐπωνυμιῶν αὐτοὺς ἱερῶν ἠξίωσαν, οἱ μὲν θεραπευτάς, οἱ δὲ μοναχοὺς ὀνομάσαντες· ἐκ τῆς τοῦ θεοῦ καθαρᾶς ὑπηρεσίας καὶ θεραπείας, καὶ τῆς ἀμερίστου καὶ ἑνιαίας ζωῆς ὡς ἑνοποιούσης αὐτοὺς ἐν ταῖς τῶν διαιρετῶν ἱεραῖς συμπτύξεσιν, εἰς θεοειδῆ μονάδα καὶ φιλόθεον τελείωσιν· διό, καὶ τελεστικὴν αὐτοῖς ἐδωρήσατο χάριν ἡ ἱερὰ θεσμοθεσία· καί τινος αὐτοὺς ἠξίωσεν ἀφιερωτικῆς ἐπικλήσεως οὐχ ἱεραρχικῆς.

Ἐκείνη γὰρ ἐπὶ μόναις γίγνεται ταῖς ἱερατικαῖς τάξεσιν, ἀλλ' ἱερουργικῆς ὑπὸ τῶν ὁσίων ἱερέων τῇ ἱεραρχικῇ τελετουργίᾳ δευτέρως ἱερουργουμένης.

## Μυστήριον μοναχικῆς τελειώσεως.

Ὁ μὲν ἱερεὺς ἕστηκεν ἐπίπροσθε τοῦ θείου θυσιαστηρίου· τὴν μοναχικὴν ἐπίκλησιν ἱερολογῶν· ὁ δὲ τελούμενος· ὄπισθεν τοῦ ἱερέως ἕστηκεν· οὐκ ἄμφω τὼ πόδε κλίνων· οὐχ ἕνα τοῖν ποδοῖν· οὐκ ἐπὶ κεφαλῆς ἔχων τὰ θεοπαράδοτα λόγια· μόνον δὲ τῷ ἱερεῖ παρεστὼς ἱερολογοῦντι τὴν ἐπ' αὐτῷ μυστικὴν ἐπίκλησιν·

Τελέσας δὲ αὐτὴν ὁ ἱερεὺς, ἐπὶ τὸν τελούμενον ἐλθὼν, ἐπερωτᾷ πρῶτον αὐτὸν, εἰ πάσαις ἀποτάσσεται ταῖς διαιρεταῖς, οὐ μόνον ζωαῖς· ἀλλὰ καὶ φαντασίαις· εἶτα τὴν τελεωτάτην αὐτῷ ζωὴν ὑφηγεῖται μαρτυρούμενος· ὅτι χρὴ τῆς μέσης αὐτὸν ὑπερανεστηκέναι. ταῦτα δὲ πάντα τοῦ τελουμένου προσεχῶς ὁμολογήσαντος· τῷ σταυροειδεῖ τύπῳ σφραγισάμενος αὐτὸν ὁ ἱερεὺς· ἀποκείρει τὴν τριαδικὴν τῆς θείας μακαριότητος ἐπιβοήσας ὑπόστασιν· καὶ τὴν ἐσθῆτα πᾶσαν ἀπαμφιέσας· ἑτέραν ἀμφιέννυσι καὶ μετὰ τῶν ἄλλων ἱερῶν ἀνδρῶν ὅσοι πάρεισιν ἀσπασάμενος αὐτὸν κοινωνὸν ἀποτελεῖ τῶν θεαρχικῶν μυστηρίων.

Τὸ μηδένα τοῖν ποδοῖν κλίνειν· μηδ' ἐπὶ κεφαλῆς ἔχειν τὰ θεοπαράδοτα λόγια· παρεστάναι δὲ τῷ ἱερεῖ τὴν ἐπίκλησιν ἱερολογοῦντι· δηλοῖ τὴν μοναχικὴν τάξιν· οὐκ εἶναι προσαγωγικὴν ἑτέρων· ἀλλ' ἐφ' ἑαυτῆς

ἐφ' ἑαυτῆς



ἐφ' ἑαυτῆς ἑστῶσαν ἐν μοναδικῇ καὶ ἱερᾷ στάσει, ταῖς ἱερατικαῖς ἑπομένην τάξεσι· καὶ πρὸς αὐτὰς ὡς ὀπαδὸν ἐπὶ τὴν θείαν τῶν κατ' αὐτὴν ἱερῶν ἐπιστήμην εὐπειθῶς ἀναγομένην.

Ἡ δὲ τῶν μεριστῶν οὐ μόνον ζωῶν, ἀλλὰ μὴν καὶ φαντασιῶν ἀποταγὴ· τὴν τελεωτάτην ἐμφαίνει τῶν μοναχῶν φιλοσοφίαν, ἐν ἐπιστήμῃ τῶν ἑνοποιῶν ἐντολῶν ἐνεργουμένην. ἔστι γὰρ ὡς ἔφην, οὐ τῆς μέσης τῶν τελουμένων τάξεως· ἀλλὰ τῆς πασῶν ὑψηλοτέρας. διὸ καὶ πολλὰ πρὸς τῆς μέσης τάξεως ἀκατακρίτως ἐνεργουμένων, ἀπείρηται τρόπῳ παντὶ τοῖς ἑνιαίοις μοναχοῖς, ὡς πρὸς τὸ ἓν αὐτοὺς ὀφειλόντων ἑνοποιεῖσθαι· καὶ πρὸς ἱερὰν μονάδα συνάγεσθαι, καὶ πρὸς τὴν ἱερατικὴν ὡς θεμιτὸν ἀπομορφοῦσθαι ζωὴν ὡς τὸ συγγενὲς αὐτῆς ἔχουσαν ἐν πολλοῖς· καὶ μᾶλλον αὐτῇ παρὰ τὰς λοιπὰς τῶν τελουμένων τάξεις πλησιάζουσαν. ἡ δὲ τοῦ σταυροειδοῦς τύπου σφραγὶς· ὡς ἤδη παρ' ἡμῶν εἴρηται δηλοῖ· τὴν πασῶν ὁμοῦ τῶν σαρκικῶν ὀρέξεων ἀνενεργησίαν· ἡ δὲ τῶν τριχῶν ἀπόκαρσις ἐμφαίνει τὴν καθαρὰν καὶ ἀσχημάτιστον ζωὴν, οὐκ ἐπιπλάστοις σχήμασι τὸ κατὰ νοῦν δυσειδὲς ἐπιθετικῶς καλλωπίζουσαν· ἀλλ' αὐτὴν ἐφ' ἑαυτῆς οὐκ ἀνθρωπικοῖς κάλλεσιν ἀλλ' ἑνιαίοις καὶ μοναχοῖς· εἰς τὸ θεοειδέστατον ἀναγομένην.

Ἡ δὲ τῆς προτέρας ἐσθῆτος ἀποβολὴ· καὶ τῆς ἑτέρας λῆψις τὴν ἀπὸ μέσης ἱερᾶς ζωῆς· ἐπὶ τὴν τελεω

τέραν μετὰ τάξιν ἐμφαίνει· καθάπερ ἐπὶ τῆς ἱερᾶς θεογενεσίας, ἡ τῆς ἐσθῆτος ἄμειψις· ἐδήλου τῆς ἀποκαθαιρομένης ζωῆς· εἰς θεωρητικὴν καὶ σωφιστικὴν ἕξιν ἀναγωγήν.

Εἰ δὲ καὶ νῦν, ὅ τε ἱερεὺς καὶ πάντες ὅσοι πάρεισιν ἱεροὶ τὸν τετελεσμένον ἀσπάζονται· τὴν ἱερὰν τῶν θεοειδῶν ἐννόησον κοινωνίαν, ἀγαπητικῶς ἐν εὐφροσύνῃ θείᾳ συνηδομένων ἀλλήλοις.

Ἐντελεῖ δὲ πάντων ὁ ἱερεὺς, ἐπὶ τὴν θεαρχικὴν κοινωνίαν καλεῖ τὸν τετελεσμένον ἐμφαίνων ἱερῶς ὡς ὁ τελεσθεὶς, εἴπερ ἀληθῶς ἐπὶ τὴν μοναχικὴν ἀφίκοιτο καὶ ἑνιαίαν ἀναγωγήν· οὐ θεωρητικὸς μόνον ἔσται τῶν κατ' αὐτὸν ἱερῶν· οὐδὲ κατὰ μέσην τάξιν ἐπὶ τὴν κοινωνίαν ἥξει τῶν ἱερωτάτων συμβόλων· ἀλλὰ μετὰ θείας τῶν ὑπ' αὐτῶν μετεχομένων ἱερῶν γνώσεως ἑτέρῳ τρόπῳ παρὰ τὸν ἱερὸν λαὸν, ἐπὶ τὴν μετάληψιν ἥξει τῆς θεαρχικῆς κοινωνίας· διὸ καὶ ταῖς ἱερατικαῖς τάξεσιν· ἐν ταῖς ἱεροτελεστικαῖς αὐτῶν ἁγιαστείαις ἐν τέλει τῶν ἱερωτάτων αὐτῶν ἀφιερώσεων, ἡ τῆς ἁγιωτάτης εὐχαριστίας κοινωνία μεταδίδοται πρὸς τοῦ τελέσαντος αὐτὰς ἱεράρχου· οὐ μόνον ὅτι τῶν θεαρχικῶν μυστηρίων ἡ μετάληψις· ἑκάστης ἱεραρχικῆς μεθέξεώς ἐστι τὸ κεφάλαιον· ἀλλ' ὅτι καὶ αὐτῆς τῆς κοινωνικῆς καὶ θεοτάτης δωρεᾶς ἀναλόγως αὐταῖς καθ' ἑκάστην αἱ ἱεραὶ πᾶσαι τάξεις μετέχουσι πρὸς τὴν οἰκείαν αὐτῶν τῆς θεώσεως ἀναγωγὴν καὶ τελείωσιν.



Συνῆκται τοίνυν ἡμῖν, ὡς αἱ μὲν ἅγιαι τελεταὶ καθαρσίς εἰσι καὶ φωτισμὸς καὶ τελείωσις· οἱ δὲ λειτουργοὶ καθαρτικὴ τάξις· οἱ δὲ ἱερεῖς φωτιστική· τελεστικὴ δὲ, οἱ θεοειδεῖς ἱεράρχαι· καθαιρομένη δὲ τάξις ἡ τῆς ἱερᾶς ἐποψίας καὶ κοινωνίας ἀμέτοχος· ὡς ἔτι καθαιρομένη· θεωρητικὴ δὲ τάξις ὁ ἱερὸς λαός· τετελεσμένη δὲ τάξις ἡ τῶν ἑνιαίων μοναχῶν.

Οὕτω γὰρ ἡ καθ' ἡμᾶς ἱεραρχία ταῖς θεοπαραδότοις τάξεσιν ἱερῶς εὐθετουμένη· ταῖς οὐρανίαις ἱεραρχίαις ὁμοειδής ἐστιν· τοὺς θεομιμήτους αὐτῆς ὡς ἐν ἀνδράσιν ἀποσώζουσα, καὶ θεοειδεῖς χαρακτῆρας.

Ἀλλ' ἐρεῖς ὅτι ταῖς οὐρανίαις ἱεραρχίαις ἐλλείπουσι πάντως αἱ καθαιρόμεναι τάξεις· οὐ γὰρ θεμιτὸν οὐδὲ ἀληθὲς εἰπεῖν ὡς ἔστιν τις οὐρανία διακόσμησις ἐναγής· ἐγὼ δὲ ὅτι μὲν ἀλώβητοι παντελῶς εἰσὶ καὶ τὸ πάναγνον ὑπερκοσμίως ἔχουσιν· ὁμολογήσαιμι ἂν, εἰ μὴ παντελῶς ἀποπέσοιμι τοῦ ἱερωτάτου νοός· εἰ γάρ τις αὐτῶν ὑπὸ κακίας ἑάλω· τῆς μὲν οὐρανίας καὶ ἀμιγοῦς ἀποπέπτωκε τῶν θείων νοῶν ἁρμονίας· εἰς τὴν ἀλαμπῆ δὲ τῶν ἀποστατικῶν πληθύων ἐφέρετο πτῶσιν. Ἀλλ' ἔστιν εἰπεῖν ἱερῶς ἐπὶ τῆς οὐρανίας ἱεραρχίας ὅτι κάθαρσίς ἐστι ταῖς ὑφειμέναις οὐσίαις ἡ παρὰ θεοῦ τῶν τέως ἀγνοουμένων ἔλλαμψις, ἐπὶ τελεωτέραν αὐτὰς ἐπιστήμην ἄγουσα τῶν θεαρχικῶν γνώσεων καὶ τῆς ἀγνοίας ὧν οὔπω τὴν ἐπιστήμην εἶχον, οἷον ἀποκαθαίρουσα διὰ τῶν πρώτων καὶ θειοτέρων οὐσιῶν ἀναγομένας· εἰς τὰς ὑπερτάτας τῶν θεοπτιῶν καὶ φανοτέρας μαρμαρυγάς,

οὕτω καὶ φωτιζόμεναι τάξεις εἰσὶ καὶ τελούμεναι· καὶ καθαρτικαὶ καὶ φωτιστικαὶ, καὶ τελεστικαὶ κατὰ τὴν οὐρανίαν ἱεραρχίαν, ὡς τῶν ὑπερτάτων καὶ θειοτέρων οὐσιῶν, τὰς ὑφειμένας ἱερὰς καὶ οὐρανίας διακοσμήσεις ἀγνοίας μὲν ἁπάσης ἀποκαθαιρουσῶν· ἐν τάξει καὶ ἀναλογίαις τῶν οὐρανίων ἱεραρχιῶν· τηρουσῶν δὲ αὐτὰς τῶν θειοτάτων ἐλλάμψεων, καὶ τελειουσῶν ἐν τῇ παναγεστάτῃ τῶν θεαρχικῶν νοήσεων ἐπιστήμῃ. καὶ γὰρ ἤδη πρὸς ἡμῶν εἴρηται. καὶ τοῖς λογίοις θεοειδῶς διηγόρευται, τὸ μὴ πρώτας εἶναι πάσας τὰς οὐρανίας διακοσμήσεις ἐν πάσαις ταῖς ἱεραῖς τῶν θεοπτικῶν ἐλλάμψεων ἐπιστήμαις· ἀλλ᾽ ἐκ θεοῦ μὲν ἀμέσως τὰς πρώτας· δι᾽ ἐκείνων δὲ πάλιν ἐκ θεοῦ τὰς ὑφειμένας ἀναλόγως αὐταῖς ἐλλάμπεσθαι τὰς φανοτάτας τῆς θεαρχικῆς ἀκτῖνος αὐγάς. Τούτων δὲ διωρισμένων, ἀναγκαῖον εἰπεῖν ὡς οἶμαι καὶ τὰ πρὸς ἡμῶν ἱερῶς ἐπὶ τῶν κεκοιμημένων τελούμενα. καὶ γὰρ οὐδὲ τοῦτο κοινόν ἐστι τοῖς ἱεροῖς τε καὶ ἀνιέροις· ἀλλ᾽ ὥσπερ ἀλλοῖον εἶδός ἐστι τῆς ἑκατέρων ζωῆς· οὕτω καὶ πρὸς θάνατον ἰόντες· οἱ μὲν ἱερὰν ἐσχηκότες ζωὴν, εἰς τὰς ἀληθεῖς ἐπαγγελίας τῆς θεαρχίας ἀποσκοποῦντες· ὡς τὴν ἀλήθειαν αὐτῶν ἐν τῇ κατ᾽ αὐτὴν ἀναστάσει τεθεαμένοι· μετὰ βεβαίας καὶ ἀληθοῦς ἐλπίδος ἐν εὐφροσύνῃ θείᾳ πρὸς τὸ τοῦ θανάτου πέρας ἴασιν, ὡς ἐπὶ τέλος ἱερῶν ἀγώνων ἐν παντελεῖ καὶ ἀτελευτήτῳ ζωῇ καὶ



σωτηρίᾳ τὰ κατ᾽ αὐτοὺς ἔσεσθαι πάντως εἰδότες διὰ τῆς ἐσομένης αὐτῶν ὁλικῆς ἀναστάσεως.

Αἱ μὲν γὰρ ἱεραὶ ψυχαὶ πρὸς τὴν ἐπὶ τὰ χείρω κατὰ τὸν τῇδε βίον δυνάμεναι καταπίπτειν τροπὴν, ἐν τῇ παλιγγενεσίᾳ τὴν ἐπὶ τὸ ἄτρεπτον ἕξουσι θεοειδεστάτην μετάταξιν.

Τὰ δὲ καθαρὰ τῶν ἱερῶν ψυχῶν, ὁμόζυγα καὶ ὁμοπορευθέντα σώματα συναπογραφέντα καὶ συναθλήσαντα κατὰ τοὺς θείους αὐτῶν ἱδρῶτας, ἐν τῇ τῶν ψυχῶν ἀτρέπτῳ κατὰ τὴν θείαν ζωὴν ἱδρύσει· συναπολήψεται τὴν οἰκείαν ἀνάστασιν· ἑνωθέντα γὰρ αἷς ἤνωντο κατὰ τὸν τῇδε βίον ἱεραῖς ψυχαῖς ὡς μέλη χριστοῦ γεγονότα· τὴν θεοειδῆ καὶ ἄφθαρτον ἀθάνατόν τε καὶ μακαρίαν ἀπολήψεται λῆξιν. ἐν τούτοις μὲν οὖν, ἡ τῶν ἱερῶν ἐστι κοίμησις ἐν εὐφροσύνῃ καὶ ἀσαλεύτοις ἐλπίσιν εἰς τὸ τῶν θείων ἀγώνων ἀφικνουμένη πέρας.

Τῶν δὲ ἀνιέρων· οἱ μὲν εἰς ἀνυπαρξίαν ἀλόγως οἴονται χωρεῖν· οἱ δὲ τὴν σωματικὴν εἰς ἅπαξ ἀπορρήγνυσθαι τῶν οἰκείων ψυχῶν συζυγίαν, ὡς ἀνάρμοστον αὐταῖς, ἐν θεοειδεῖ ζωῇ καὶ μακαρίαις λήξεσιν. οὐκ ἐννοήσαντες, οὐδὲ ἱκανῶς ἐν ἐπιστήμῃ θείᾳ μυηθέντες ἀρχεῖσθαι ἤδη τὴν καθ᾽ ἡμᾶς ἐν χριστῷ θεοειδεστάτην ζωήν.

Ἄλλοι δὲ σωμάτων ἄλλων ἀπονέμουσι ταῖς ψυχαῖς συζυγίας· ἀδικοῦντες τὸ ἐπ᾽ αὐτοῖς, ὡς οἶμαι τὰ συμπονήσαντα ταῖς θείαις ψυχαῖς, καὶ τῶν ἱερῶν

ἀντιδόσεων οὐκ ἐναγῶς ἀποστεροῦντες τὰ πρὸς τὸ πέρας ἐλθόντα τῶν θειοτάτων δρόμων.

Ἄλλοι δὲ οὐκ οἶδ' ὅπως ἐπὶ προσύλοις ἐννοίας ἀποκλιθέντες εἰρήκασιν ὁμοειδῆ τῆς τῇδε βιοτῆς τὴν τοῖς ὁσίοις ἐπηγγελμένην ἁγιωτάτην καὶ μακαριωτάτην λῆξιν, καὶ τροφὰς οἰκείας ἀνοικείως τῷ βίῳ τοῖς ἰσαγγέλοις ἀθεμίτως ἀπέρριψαν. ἀλλ' οὐκ ἀποπέσειέ τις ποτὲ τῶν ἱερωτάτων ἀνδρῶν εἰς τὰς τοιάσδε πλανήσεις. ἀλλ' ὅλους αὐτοὺς ἀπολήψεσθαι τὴν χριστοειδῆ λῆξιν εἰδότες ὅταν ἐπὶ τὸ πέρας ἔλθωσι τοῦ τῇδε βίου τὴν εἰς ἀφθαρσίαν αὐτῶν ὁδὸν, ὡς ἐγγυτέραν ἤδη γεγενημένην. ἐμφανέστερον ὁρῶσι, καὶ τὰς δωρεὰς τῆς θεαρχίας ὑμνοῦσι καὶ θείας ἡδονῆς ἀποπληροῦνται. τὴν ἐπὶ τὰ χείρω τροπὴν οὐκέτι δεδοικότες. ἀλλ' εὖ εἰδότες ὅτι τὰ κτηθέντα καλὰ βεβαίως καὶ αἰωνίως ἕξουσιν.

Οἱ δὲ μολυσμῶν ἀνάπλεοι καὶ ἀνιέρων κηλίδων. εἴπερ ἱερᾶς τινὸς τετυχήκασι μυήσεως. αὐτοὶ δὲ ταύτην ἐκ τοῦ οἰκείου νοὸς ὀλεθρίως ἀπορρίψαντες ἐπὶ τὰς φθοροποιοὺς ηὐτομόλησαν ἐπιθυμίας, ὅταν ἐπὶ τὸ τέλος ἔρχωνται τῆς ἐνθάδε ζωῆς, οὐκέτι ὁμοίως αὐτοῖς εὐκαταφρόνητος φανεῖται τῶν λογίων ἡ θεία θεσμοθεσία. τὰς ὀλυμμένας δὲ τῶν οἰκείων παθῶν ἡδονὰς ἑτέροις ὀφθαλμοῖς ἐπισκοπήσαντες. καὶ τὴν ἱερὰν ζωὴν, ἧς ἀνοήτως ἐκπεπτώκασι μακαρίσαντες. ἐλεεινῶς καὶ ἀβουλήτως ἀποσχίζονται. τοῦ τῇδε βίου. πρὸς μηδεμίαν ἱε-



ρὰν ἐλπίδα χειραγωγούμενοι διὰ τὴν χειρίστην ζωήν.

Τούτων δὲ οὐδενὸς γιγνομένου κατὰ τὰς κοιμήσεις τῶν ἱερῶν ἀνδρῶν. αὐτὸς δὲ ὁ πρὸς τὸ πέρας ἐρχόμενος τῶν οἰκείων ἀγώνων εὐφροσύνης ἱερᾶς ἀποπληροῦται καὶ σὺν ἡδονῇ πολλῇ πρὸς τὴν ὁδὸν ἐπιβαίνει τῆς ἱερᾶς παλιγγενεσίας.

Οἱ δὲ τοῦ κοιμηθέντος οἰκεῖοι, κατὰ τὴν θείαν οἰκειότητα καὶ ὁμοτροπίαν. αὐτόν τε ὅστις ἐστὶ μακαρίζουσι. πρὸς τὸ νικηφόρον εὐκταίως ἀφικόμενον τέλος. καὶ τῷ τῆς νίκης αἰτίῳ χαριστηρίους ᾠδὰς ἀναπέμπουσι. προσέτι καὶ αὐτοὺς ἀφικέσθαι πρὸς τὴν ὁμοίαν εὐχόμενοι λῆξιν.

Λαβόντες δὲ αὐτὸν ἐπὶ τὸν ἱεράρχην ἄγουσιν ὡς ἐπὶ στεφάνων ἱερῶν δόσιν. ὁ δὲ ἀσμένως ὑποδέχεται, καὶ τελεῖ τὰ κατὰ θεσμὸν ἱερὸν ἐπὶ τοῖς ὁσίως κεκοιμημένοις τελούμενα.

## Μυστήριον ἐπὶ τῶν ἱερῶς κεκοιμημένων.

Συναγαγὼν ὁ θεῖος ἱεράρχης ἱερὸν χορόν. εἰ μὲν ἱερατικῆς ἐτύγχανε τάξεως ὁ κεκοιμημένος. ἐπίπροσθε τοῦ θείου θυσιαστηρίου κατακλίνας αὐτὸν, ἀπάρχεται τῆς πρὸς θεὸν εὐχῆς καὶ εὐχαριστίας.

Εἰ δὲ τοῖς εὐαγέσι μοναχοῖς, ἢ τῷ ἱερῷ λαῷ κατείλεκτο. παρὰ τὸ τίμιον ἱερατεῖον αὐτὸν κατα-

κλίνει πρὸ τῆς ἱερατικῆς εἰσελεύσεως. Εἶτα τελεῖ τὴν πρὸς θεὸν εὐχαριστήριον εὐχὴν ὁ ἱεράρχης. Ἑξῆς δὲ οἱ λειτουργοὶ τὰς ἐν τοῖς θείοις λογίοις ἐμφερομένας ἀψευδεῖς ἐπαγγελίας περὶ τῆς ἱερᾶς ἡμῶν ἀναστάσεως ἀναγνόντες, ἱερῶς ᾄδουσι τὰς ὁμολόγους καὶ ταυτοδυνάμους τῶν ψαλμικῶν λογίων ᾠδάς.

Εἶτα τῶν λειτουργῶν ὁ πρῶτος ἀπολύει τοὺς κατηχουμένους, καὶ ἀνακηρύττει τοὺς ἤδη κεκοιμημένους ἁγίους, μεθ' ὧν ἀξιοῖ τὸν ἄρτι τελειωθέντα τῆς ὁμοταγοῦς ἀναρρήσεως, καὶ προτρέπεται πάντας αἰτῆσαι τὴν ἐν χριστῷ μακαρίαν τελείωσιν. Εἶτα προσελθὼν ὁ θεῖος ἱεράρχης, εὐχὴν ἱερωτάτην ἐπ' αὐτῷ ποιεῖται. Καὶ μετὰ τὴν εὐχήν, αὐτός τε ὁ ἱεράρχης ἀσπάζεται τὸν κεκοιμημένον. Καὶ μετ' αὐτὸν οἱ παρόντες ἅπαντες.

Ἀσπασαμένων δὲ πάντων, ἐπιχέει τῷ κεκοιμημένῳ τὸ ἔλαιον ὁ ἱεράρχης. Καὶ τὴν ὑπὲρ πάντων εὐχὴν ἱερὰν ποιησάμενος, ἀποτίθησιν ἐν οἴκῳ τιμίῳ τὸ σῶμα μεθ' ἑτέρων ὁμοταγῶν ἱερῶν σωμάτων.

Ταῦτα μὲν εἴπερ ἴδοιεν, ἢ ἀκούσαιεν οἱ ἀνίεροι πρὸς ἡμῶν τελούμενα, πλατὺ γελάσωσιν ὡς οἶμαι. Καὶ τῆς πλανήσεως ἡμᾶς ἐλεήσουσιν.

Οὐδὲν δὲ πρὸς τοῦτο θαυμάζειν. Ἐὰν γὰρ μὴ πιστεύσωσιν ὡς τὰ λόγιά φησιν. Οὐδὲ μὴ συνήσουσιν. Ἡμεῖς δὲ τὰ νοητὰ τῶν τελουμένων ἐποπτεύσαντες Ἰησοῦ φωταγωγοῦντος εἴπωμεν, ὡς οὐκ ἀλόγως



ὁ ἱεράρχης ἐπὶ τὸν ὁμοταγῆ χῶρον εἰσάγει καὶ ἐπιτίθησι τὸν κεκοιμημένον. Ἐμφαίνει γὰρ ἱερῶς, ὡς κατ' ἐκείνας ἔσονται πάντες ἐν τῇ παλιγγενεσίᾳ τὰς ἀποκληρώσεις, καθ' ἃς ἐνθάδε τὴν οἰκείαν ζωὴν ἀπεκλήρωσαν. Οἷον, εἰ θεοειδῆ τις ἔσχεν ἐνθάδε καὶ ἱερωτάτην ζωήν, ὡς ἀνδρὶ τῷ θεομιμήτῳ ἐφικτόν, ἐν θείαις ἔσται κατὰ τὸν αἰῶνα τὸν μέλλοντα καὶ μακαρίαις λήξεσιν.

Εἰ δὲ τῆς κατ' ἄκρον θεοειδοῦς ὑφειμένην, ἱερὰν δὲ ὅμως, ὁμοειδεῖς καὶ οὗτος λήψεται τὰς ἱερὰς ἀμοιβάς. Ὑπὲρ ταύτης τῆς θείας δικαιοσύνης ὁ ἱεράρχης εὐχαριστήσας, εὐχὴν ἱερὰν ποιεῖται. Καὶ τὴν σεβασμίαν ὑμνεῖ θεαρχίαν, ὡς καθαιρετικὴν τοῦ κατὰ πάντων ἡμῶν ἀδίκου καὶ τυραννικοῦ κράτους. Μεταγωγὸν δὲ ἡμῶν ἐπὶ τὰ οἰκεῖα δικαιότατα κρίμματα.

Αἱ δὲ τῶν θεαρχικῶν ἐπαγγελιῶν ᾠδαὶ καὶ ἀναγνώσεις, ἐκφαντορικαὶ μὲν εἰσὶ τῶν μακαριωτάτων λήξεων εἰς ἃς, οἱ θείαν ἐσχηκότες τελείωσιν, αἰωνίως καταταχθήσονται.

Τοῦ δὲ κοιμηθέντος ἱερῶς ἀποδεκτικαί, τῶν ἔτι δὲ ζώντων προτρεπτικαί, πρὸς τὴν ὁμοίαν τελείωσιν.

Σκόπει δὲ ὅτι νῦν οὐ πᾶσαι κατὰ τὸ σύνηθες αἱ καθαιρόμεναι τάξεις ἀπολύονται. Μόνοι δὲ τῶν ἱερῶν ἐκβάλλονται χώρων οἱ κατηχούμενοι. Καὶ γὰρ αὕτη μὲν ἀμύητός ἐστι καθόλου πάσης ἱερᾶς τελετῆς καὶ πρὸς οὐδέν, οὐ μικρὸν οὐ μέγα τῶν ἱερῶς τε-

λουμένων ἐπιτηδεύειν αὐτῇ θεμιτὸν, ὡς οὐδὲ τῆς τῶν
ἱερῶν ὀπτικῆς δυνάμεως μετεχούσης, διὰ τῆς ἀρ-
χιφώτου καὶ φωτοδότιδος θεογενεσίας.

Αἱ δὲ λοιπαὶ τῶν καθαιρομένων τάξεις. ἐν μυήσει
μὲν ἤδη γεγόνασιν ἱερᾶς παραδόσεως. ἀνοήτως δὲ
πρὸς τὰ χείρω πάλιν δρομήσασαι. δέον ἐπὶ τὰ
πρόσω τὴν οἰκείαν ἀγωγὴν ἀποτελειῶσαι. τῶν θε-
αρχικῶν μὲν ὡς ἐν συμβόλοις ἱεροῖς ἐπιτελειῶν καὶ
κοινωνιῶν εὐλόγως ἀποδιαστέλλονται. βλαβήσον-
ται γὰρ ἀνιέρως αὐτῶν μετέχουσαι. καὶ πρὸς πλεί-
ονα τῶν θείων καὶ ἑαυτῶν ἐλεύσονται περιφρόνησιν.
οὐκ ἀπεικότως δὲ πάρεισιν ἐπὶ τοῖς νῦν τελουμέ-
νοις ἐναργῶς ἐκδιδασκόμεναι, καὶ ὁρῶσαι τὴν τῆς
καθ' ἡμᾶς ἀδειλίαν θανάτου. καὶ τὰ τῶν ἁγίων γέ-
ρα πρὸς τῶν ἀληθῶν λογίων ὑμνούμενα, καὶ τὰς
ἐπὶ πλημμελείαις ἔσεσθαι τοῖς κατ' αὐτὰς ἀνιέροις ἀπε-
λευτήτους αἰκίας. ἔσται γὰρ αὐταῖς ὄφελος ὁρώσαις
τὸν ἱερῶς τετελειωμένον ὑπὸ τῆς λειτουργικῆς ἀ-
ναρρήσεως. ὡς κοινωνὸν ὄντως ὄντα τῶν ἀπ' αἰῶνος
ἁγίων. ἱερῶς ἀνακηρυττόμενον. καὶ τάχα καὶ αὐ-
ταὶ πρὸς τὴν ὁμοίαν ἔφεσιν ἥξουσι καὶ πρὸς τῆς λει-
τουργικῆς ἐπιστήμης ἐκδιδαχθήσονται. μακαρίαν
ἀληθῶς εἶναι τὴν ἐν χριστῷ τελείωσιν.

Εἶτα προσελθὼν ὁ θεῖος ἱεράρχης, εὐχὴν ἱερὰν ἐπὶ
τῷ κεκοιμημένῳ ποιεῖται. καὶ μετὰ τὴν εὐχὴν, αὐ-
τός τε ὁ ἱεράρχης αὐτὸν ἀσπάζεται. καὶ ἑξῆς οἱ πα-
ρόντες ἅπαντες.



Ἡ μὲν οὖν εὐχὴ, τῆς θεαρχικῆς ἀγαθότητος δεῖται
πάντα μὲν ἀφεῖναι τὰ δι' ἀνθρωπίνην ἀσθένειαν ἡ-
μαρτημένα τῷ κεκοιμημένῳ. κατατάξαι δὲ αὐ-
τὸν ἐν φωτὶ καὶ χώρᾳ ζώντων εἰς κόλπους ἀβραὰμ
καὶ ἰσαὰκ καὶ ἰακώβ. ἐν τόπῳ οὗ ἀπέδρα ὀδύνη
καὶ λύπη καὶ στεναγμός.

Ταῦτα μὲν οὖν ὡς οἶμαι δῆλα τὰ τῶν ἁγίων μακάρι-
ότατα γέρα. τί γὰρ ἂν γένοιτο τῆς παντελῶς ἀλύ-
που καὶ φωτιστικῆς ἀθανασίας ἰσόῤῥοπον. εἰ καὶ τὰ
μάλιστα ταῖς ἡμῶν ἀναλόγοις σημασίαις. αἱ παν-
τὸς ὑψηλότεραι νοὸς ἐπαγγελίαι σημαινόμεναι.
τῆς πραγματικῆς αὐτῶν ἀληθείας ἀποδεούσας
ἔχουσι τὰς ὀνομασίας. ἀληθὲς γὰρ εἶναι τὸ λόγιον,
οἰητέον. ὅτι ἃ ὀφθαλμὸς οὐκ εἶδεν καὶ οὖς οὐκ ἤκου-
σεν καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν
ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν.

Κόλποι δέ εἰσιν ὡς οἶμαι τῶν μακαρίων πατριαρ-
χῶν καὶ τῶν λοιπῶν ἁγίων ἁπάντων. αἱ θειότα-
ται καὶ μακάρισται λήξεις. αἳ τοὺς θεοειδεῖς ὑπο-
δεχόμεναι πάντας, εἰς τὴν ἐν αὐταῖς ἀγήρω καὶ
μακαριωτάτην τελείωσιν.

Φαίης δ' ἂν ἴσως ταῦτα μὲν ὀρθῶς εἰρῆσθαι παρ' ἡ-
μῶν, ἀπορεῖν δὲ ὅτου ἕνεκα τῆς θεαρχικῆς ἀγαθό-
τητος ὁ ἱεράρχης δεῖται. τῶν ἡμαρτημένων αὐτῷ τῷ
κεκοιμημένῳ τὴν ἄφεσιν. καὶ τὴν τοῖς θεοειδέσιν
ὁμοταγῆ καὶ φανοτάτην ἀποκλήρωσιν. εἰ γὰρ ἀμοιβὰς

ἀπολήψεται τὰς ὑπὸ τῆς θείας δικαιοσύνης· ὧν ἐν τῇ παρούσῃ ζωῇ χρηστῶν ἢ ἑτέρων ἔδρασεν. ἐτέλεσεν δὲ τὰς κατὰ τὸν τῇδε βίον οἰκείας ἐνεργείας ὁ κεκοιμημένος. πρός τινος ἱεραρχικῆς εὐχῆς. ἐφ' ἑτέραν λῆξιν μεταταχθήσεται παρὰ τὴν ἀξίαν αὐτοῦ καὶ τῆς ἐνταῦθα ζωῆς ἀμοιβήν.

Ἐγὼ δὲ ὅτι μὲν ἀμοιβαίαν ἕξει τὴν ἀποκλήρωσιν ἕκαστος εὖ οἶδα τοῖς λογίοις ἀκολουθῶν. ἀπέκλεισεν γάρ φησιν ὁ κύριος κατ' αὐτοῦ· καὶ κομιεῖται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν. εἴτε ἀγαθὸν εἴτε κακόν.

Ὅτι δὲ καὶ τῶν δικαίων αἱ προσευχαὶ κατὰ τὸν τῇδε βίον. μήτι γε μετὰ θάνατον εἰς τοὺς ἀξίους ἱερῶν εὐχῶν ἐνεργοῦσι μόνον, αἱ τῶν λογίων ἡμᾶς ἐκδιδάσκουσιν ἀληθεῖς παραδόσεις, ἤτοι πρὸς τὸν Σαμουήλ, ὁ Σαοὺλ ἀπόνατο. τὸ δὲ τῶν Ἑβραίων λαόν, ὤνησεν ἡ προφητικὴ προσευχή. καὶ γὰρ ὡς εἴ τις ἡλίου τὰ οἰκεῖα δωρουμένου φῶτα τοῖς ἀβλαβέσιν ὀφθαλμοῖς, ἐν μετουσίᾳ τοῦ ἡλιακοῦ φωτὸς αἰτεῖ γενέσθαι τὰς οἰκείας ὄψεις ἐξαφανίζων· οὕτω πρὸς ἀδυνάτους ἤρτηται καὶ παρὰ τὰς ἐλπίδας, ὁ τὰς τῶν ἁγίων ἐξαιτῶν προσευχάς καὶ τὰς κατὰ φύσιν αὐτῶν ἱερὰς ἐνεργείας ἐλαύνων ἀπροσεξίᾳ τῶν θείων δωρεῶν καὶ τῶν φανοτάτων καὶ ἀγαθοειδῶν ἐντολῶν ἀποφοιτήσει. φημὶ δὲ τοῖς λογίοις ἑπόμενος, ὡς ὠφέλιμοι πάμπαν εἰσὶν ἐν τῷδε τῷ βίῳ τῶν ἁγίων αἱ προσευχαὶ κατὰ τόνδε τὸν



τρόπον. εἴ τις ἱερῶν ἐφιέμενος δώρων. καὶ πρὸς μετοχὴν αὐτῶν ἕξιν ἱερὰν ἔχων. ὡς τῆς οἰκείας ἀπογνώμων βραχύτητος. ἐλθὼν ἐπί τινα τῶν ὁσίων ἀνδρῶν ἀξιώσειεν αὐτὸν γενέσθαι συλλήπτορα καὶ συνικέτην ὠφεληθήσεται πάντως ἐκ τούτου τὴν πάσης ὑπερκειμένην ὠφέλειαν. ἐπιτεύξεται γὰρ ὧν αἰτεῖ θειοτάτων δώρων, ἀποδεχομένης αὐτὸν τῆς θεαρχικῆς ἀγαθότητος τῆς τε οἰκείας εὐλαβοῦς ἐπιγνωμοσύνης. καὶ τῆς εἰς τοὺς ὁσίους αἰδοῦς. καὶ τῆς τ' αἰτηθεισῶν ἱερῶν αἰτήσεων ἐπαινετῆς ἐφέσεως καὶ καταλλήλου καὶ θεοειδοῦς ἕξεως. ἔστι γὰρ καὶ τοῦτο τοῖς θεαρχικοῖς κρίμασι νενομοθετημένον, τὸ τὰ θεῖα δῶρα τοῖς ἀξίοις μεταλαχεῖν ἐν τάξει θεοπρεπεστάτῃ. δωρεῖσθαι διὰ τῶν ἀξίων τοῦ μεταδιδόναι.

Ταύτην οὖν εἴ τις ἀτιμάσειε τὴν ἱερὰν εὐκοσμίαν. καὶ πρὸς ἀθλίαν οἴησιν ἐληλυθὼς ἱκανὸν ἑαυτὸν οἰηθείη πρὸς θεαρχικὴν ὁμιλίαν. καὶ τῶν ὁσίων ὑπερφρονήσοι.

Καὶ μήν, εἰ τὰς αἰτήσεις ἀναξίας θεοῦ. καὶ μὴ ἱερὰς αἰτήσει. καὶ τὴν ἔφεσιν τῶν θείων εἰ μὴ σύντονον ἔχοι καὶ ἑαυτῷ κατάλληλον, ἀποτεύξεται δι' ἑαυτὸν τῆς ἀνεπιστήμονος αἰτήσεως.

Περὶ δὲ τῆς εἰρημένης εὐχῆς. ἣν ὁ ἱεράρχης ἐπεύχεται τῷ κεκοιμημένῳ τὴν εἰς ἡμᾶς ἐλθοῦσαν ἐκ τῶν ἐνθέων ἡμῶν καθηγεμόνων παράδοσιν. εἰπεῖν ἀναγκαῖον.

Ὁ θεῖος ἱεράρχης ἐκφαντορικός ἐστιν ὡς τὰ λόγιά φησι τῶν θεαρχικῶν δικαιωμάτων· ἄγγελος γὰρ κυρίου παντοκράτορος θεοῦ ἐστι. μεμάθηκεν οὖν ἐκ τῶν θεοπαραδότων λογίων, ὅτι τοῖς ὁσίως βιώσασιν ἡ φανοτάτη καὶ θεία ζωὴ κατ' ἀξίαν ὑπὸ τῶν δικαιοτάτων ζυγῶν ἀντιδίδοται· παρορώσης ἀγαθότητι τῆς θεαρχικῆς φιλανθρωπίας· τὰς ἐγγενομένας αὐτοῖς ἐξ ἀνθρωπίνης ἀσθενείας κηλῖδας ἐπείπερ οὐδεὶς ὡς τὰ λόγιά φησιν καθαρὸς ἀπὸ ῥύπου. Ταῦτα μὲν οὖν ὁ ἱεράρχης οἶδεν ἐπηγγελμένα πρὸς τῶν ἀληθῶν λογίων. αἰτεῖται δὲ αὐτὰ γενέσθαι καὶ δωρηθῆναι τοῖς ὁσίως βιώσασιν· καὶ τὰς ἱερὰς ἀντιδόσεις· ἅμα μὲν ἐπὶ τὸ θεομίμητον ἀγαθοειδῶς ἐκτυπούμενος· καὶ τὰς ἑτέρων δωρεὰς ὡς οἰκείας ἐξαιτῶν χάριτας· ἅμα δὲ καὶ τὰς ἀψευδεῖς ἐπαγγελίας ἀδ' ὡς ἐσομένας, καὶ τοῖς παροῦσιν ἐκφαντορικῶς ἐμφαίνων· ὅτι τὰ παρ' αὐτοῦ κατὰ θεσμὸν ἱερὸν ἐξαιτούμενα· πάντως ἔσται τοῖς κατὰ θείαν ζωὴν τετελειωμένοις· οὐ γὰρ ἄν, ὁ ἱεράρχης ὁ τῆς θεαρχικῆς δικαιώσεως ὑποφήτης ἐξῄτει ποτὲ τὰ μὴ τῷ θεῷ προσφιλέστατα· καὶ πρὸς αὐτοῦ δοθήσεσθαι θεοειδῶς ἐπηγγελμένα. διὸ τοῖς ἀνιέροις οὐκ ἐπεύχεται ταῦτα κεκοιμημένοις· οὐ μόνον ὅτι τῆς ὑποφητικῆς ἐν τούτῳ παρατραπήσεται τάξεως· καὶ τῶν ἱεραρχικῶν αὐθαδῶς τολμήσει· μὴ πρὸς τοῦ τελετάρχου κεκινημένος· ἀλλ' ὅτι καὶ τῆς ἐναγοῦς εὐχῆς ἀποτεύξεται πρὸς



τοῦ δικαίου λογίου καὶ αὐτὸς οὐκ ἀπεικότως ἀκούων· αἰτεῖτε καὶ οὐ λαμβάνετε διότι κακῶς αἰτεῖτε. οὐκοῦν ὁ θεῖος ἱεράρχης ἐξαιτεῖ τὰ θεοειδῶς ἐπηγγελμένα καὶ φίλα θεῷ· καὶ πάντως δωρηθησόμενα καὶ τὸ τῆς οἰκείας ἀγαθοειδοῦς ἕξεως ἐνδεικνὺς τῷ φιλαγάθῳ θεῷ, καὶ τοῖς παροῦσιν ἐκφαντορικῶς ἐμφαίνων τὰ τοῖς ὁσίοις ἐσόμενα δῶρα. οὕτω καὶ τὰς ἀφοριστικὰς ἔχουσιν οἱ ἱεράρχαι δυνάμεις· ὡς ἐκφαντορικοὶ τῶν θείων δικαιωμάτων οὐχ ὡς ταῖς αὐτῶν ἀλόγοις ὁρμαῖς τῆς πανσόφου θεαρχίας ἀφήμως ἀεὶ ὑπηρετικῶς ἑπομένης· ἀλλ' ὡς αὐτῶν ὑποφητικῶς ὑπεκινοῦντι τῷ τελεταρχικῷ πνεύματι· τοὺς κεκριμένους θεῷ κατ' ἀξίαν ἀφοριζόντων· λάβετε γάρ φησιν τὸ πνεῦμα τὸ ἅγιον· ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας ἀφίενται· ἄν τινων κρατῆτε κεκράτηνται· καὶ τῷ τὰς θείας ἀποκαλύψεις τοῦ παναγεστάτου πατρὸς ἐλλαμπομένῳ τὰ λόγιά φησιν ὃ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς ἔσται δεδεμένον ἐν τοῖς οὐρανοῖς· καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς. Ὡς ἐκείνου καὶ παντὸς τοῦ κατ' αὐτὸν ἱεράρχου· κατὰ τὰς ἐν αὐτῷ γινομένας τῶν πατρικῶν δικαιωμάτων ἀποκαλύψεις ἐκφαντορικῶς καὶ διαπορθμευτικῶς τοὺς θεοφιλεῖς προσιεμένους καὶ τοὺς ἀθέους ἀποπληροῦντος· καὶ τὴν ἱερὰν γὰρ ἐκείνην θεολογίαν ὡς τὰ λόγιά φησιν· οὐκ αὐτοκινήτως οὐδὲ σαρκὸς καὶ αἵματος ἀποκαλυψάντων· ἀλλ' ὑπὸ θεοῦ νοητῶς

αὐτὸν τὰ οἰκεῖα μυήσαντος ἀποφθέγξατο. Τοὺς μὲν οὖν ἐνθέους ἱεράρχας. οὔπω καὶ τοῖς ἀφορισμοῖς καὶ πάσαις ταῖς ἱεραρχικαῖς δυνάμεσι χρηστέον. ὅπως ἂν ἡ τελετάρχις αὐτοὺς θεαρχία κινήσοι τοὺς δὲ ἄλλους. οὕτω τοῖς ἱεράρχαις ἐνδοῖς ἀνθρώποις ἱεραρχικῶς προσεκτέον. ὡς ὑπὸ θεοῦ κεκινημένοις. ὁ ἀθετῶν γὰρ ὑμᾶς φησιν ἐμὲ ἀθετεῖ. ἀλλ' ἐπανέλθωμεν εἰς τὰ τῆς ἑρμηνευθείσης εὐχῆς ἀκόλουθα. Τελέσας γὰρ αὐτὴν ὁ ἱεράρχης, αὐτός τε ἀσπάζεται τὸν κεκοιμημένον. καὶ ἑξῆς οἱ παρόντες ἅπαντες. ἐπόθητος γάρ ἐστι καὶ τίμιος ἅπασι τοῖς θεοειδέσιν, ὁ κατὰ θείαν ζωὴν τετελειωμένος.

Μετὰ δὲ τὸν ἀσπασμὸν ἐπιχέει τῷ κεκοιμημένῳ τὸ ἔλαιον ὁ ἱεράρχης. μέμνησο δὲ ὅτι κατὰ τὴν ἱερὰν θεογενεσίαν πρὸ τοῦ θειοτάτου βαπτίσματος. πρώτη μέθεξις ἱεροῦ συμβόλου δωρεῖται τῷ τελουμένῳ μετὰ τὴν ὁλικὴν τῆς προτέρας ἐσθῆτος ἀπαμφίεσιν τὸ τῆς χρίσεως ἔλαιον. ἐν τέλει δὲ νῦν ἁπάντων ἐπὶ τῷ κεκοιμημένῳ τὸ ἔλαιον ἐπιχέεται. καὶ τότε μὲν ἡ τοῦ ἐλαίου χρῖσις ἐπὶ τοὺς ἱεροὺς ἀγῶνας ἐκάλει τὸν τελούμενον. νῦν δὲ τὸ ἐπιχεόμενον ἔλαιον ἐμφαίνει, κατὰ τοὺς αὐτοὺς ἱεροὺς ἀγῶνας ἀθλήσαντα καὶ τελειωθέντα τὸν κεκοιμημένον.

Ταῦτα τελέσας ὁ ἱεράρχης ἀποτίθησιν ἐν οἴκῳ τιμίῳ τὸ σῶμα μεθ' ἑτέρων ὁμοταγῶν ἱερῶν σωμάτων. εἰ γὰρ ἐν ψυχῇ καὶ σώματι τὴν θεοφιλῆ ζωὴν ὁ κεκοιμημένος ἐβίω, τίμιον ἔσται μετὰ τῆς ὁσίας ψυ-

χῆς,



χῆς καὶ τὸ συναθλῆσαν αὐτῇ σῶμα κατὰ τοὺς ἱεροὺς ἱδρῶτας. ἔνθεν ἡ θεία δικαιοσύνη μετὰ τοῦ σφετέρου σώματος αὐτῇ δωρεῖται τὰς ἀμοιβαίας λήξεις ὡς ὁμοπορεύτῳ καὶ συμμετόχῳ τῆς ὁσίας ἢ τῆς ἐναντίας ζωῆς. διὸ καὶ τῶν ἱερῶν ἡ θεσμοθεσία τὰς θεαρχικὰς κοινωνίας ἀμφοῖν δωρεῖται. τῇ ψυχῇ μὲν ἐν καθαρᾷ θεωρίᾳ καὶ ἐν ἐπιστήμῃ τῶν τελουμένων. τῷ σώματι δὲ, κατὰ τὸ θειότατον ὡς ἐν εἰκόνι μύρον καὶ τὰ τῆς θεαρχικῆς κοινωνίας ἱερώτατα σύμβολα. τὸν ὅλον ἄνθρωπον ἁγιάζουσα. καὶ τὴν ὁλικὴν αὐτοῦ σωτηρίαν ἱερουργοῦσα καὶ τελεωτάτην αὐτοῦ τὴν ἀνάστασιν ἔσεσθαι διαγγέλλουσα ταῖς καθολικαῖς ἁγιστείαις. τὰς δὲ τελεστικὰς ἐπικλήσεις. οὐ θεμιτὸν ἐν γραφαῖς ἀφερμηνεύειν οὐδὲ τὸ μυστικὸν αὐτῶν, ἢ τὰς ἐπ' αὐταῖς ἐνεργουμένας ἐκ θεοῦ δυνάμεις. ἐκ τοῦ κρυφίου πρὸς τὸ κοινὸν ἐξάγειν ἀλλ' ὡς ἡ καθ' ἡμᾶς ἱερὰ παράδοσις ἔχει, ταύτας ἀνεκπομπεύτοις μυήσεσιν αὐτὰς ἐκμαθών, καὶ πρὸς θειοτέραν ἕξιν καὶ ἀναγωγὴν ἔρωτι θείῳ καὶ ἐνεργείαις ἱεραῖς ἀποτελεσθεὶς, ὑπὸ τῆς τελεταρχικῆς ἐλλάμψεως ἀναχθήσῃ πρὸς τὴν ὑπερτάτην αὐτῶν ἐπιστήμην. τὸ δὲ καὶ παῖδας οὔπω τὰ θεῖα συνιέναι δυναμένους τῆς ἱερᾶς μετόχους γίγνεσθαι θεογενεσίας καὶ τῶν ἱερωτάτων τῆς θεαρχικῆς κοινωνίας συμβόλων δοκεῖ μὲν ὡς φῂς τοῖς ἀνιέροις εὐλόγου γέλωτος ἄξιον εἰ τοῖς ἀκοῦσαι μὴ δυναμένοις ἐκδιδάσκουσιν οἱ ἱεράρχαι τὰ θεῖα, καὶ τοῖς

μὴ νοοῦσιν εἰκῆ παραδιδόασι τὰς ἱερὰς παραδόσεις. καὶ τὸ ἔτι γελοιότερον ὡς ὑπὲρ αὐτῶν ἕτεροι τὰς ἀποταγὰς φασὶ καὶ τὰς ἱερὰς ὁμολογίας.

Δεῖ δὲ τὴν σὴν ἱεραρχικὴν σύνεσιν μὴ χαλεπαίνειν ἐπὶ τοῖς πεπλανημένοις. ἀλλ᾽ εὐλαβῶς τε ἅμα καὶ τῆς αὐτῶν φωταγωγίας χάριν ἀγαπητικῶς ἀπολογεῖσθαι πρὸς τὰς ὑπ᾽ αὐτῶν προφερομένας ἐνστάσεις, προτιθέντα καὶ τοῦτο κατὰ θεσμὸν ἱερόν, ὡς οὐκ ἐν τῇ καθ᾽ ἡμᾶς γνώσει πάντα τὰ θεῖα περιγράφεται. πολλὰ δὲ τῶν ὑφ᾽ ἡμῶν ἀγνοουμένων αἰτίας ἔχει θεοπρεπεῖς ἡμῖν μὲν ἠγνοημένας. ἐγνωσμένας δὲ ταῖς ἡμῶν κρείττοσι τάξεσι. πολλὰ δὲ καὶ τὰς ὑπερτάτας οὐσίας λέληθε. καὶ πρὸς μόνης ἀκριβῶς ἔγνωσται τῆς πανσόφου καὶ σοφοποιοῦ θεαρχίας. πλήν γε ὅτι καὶ περὶ τούτου ταῦτα φαμὲν ἅπερ οἱ θεοειδεῖς ἡμῶν ἱεροτελεσταὶ πρὸς τῆς ἀρχαίας μυηθέντες παραδόσεως εἰς ἡμᾶς προήγαγον. φασὶ γὰρ ὅπερ ἐστὶ καὶ ἀληθές. ὅτι κατὰ θεσμὸν ἱερὸν ἀναγόμενα τὰ βρέφη, πρὸς ἕξιν ἱερὰν ἥξουσι πάσης ἀποτελούμενα πλάνης καὶ ἀνιέρου ζωῆς ἀπείρατα. τοῦτο τοῖς θείοις ἡμῶν καθηγεμόσιν εἰς νοῦν ἐληλυθός, ἔδοξεν ἐσδέχεσθαι τὰ βρέφη κατὰ τόνδε τὸν ἱερὸν τρόπον. ὥστε τοὺς φυσικοὺς τοῦ προσαγομένου παιδὸς γονέας. παραδιδόναι τὸν παῖδα τινὶ τῶν μεμυημένων ἀγαθῷ τὰ θεῖα παιδαγωγῷ καὶ τὸ λοιπὸν ὑπ᾽ αὐτῷ τὸν παῖδα τελεῖν ὡς ὑπὸ θείῳ πατρὶ καὶ σωτηρίας ἱερᾶς ἀναδόχῳ.



Τοῦτον οὖν ὁ ἱεράρχης ὁμολογοῦντα κατὰ τὴν ἱερὰν ἀναγωγὴν τὸν παῖδα ζωὴν ἀπαιτεῖ τὰς ἀποταγὰς ὁμολογῆσαι καὶ τὰς ἱερὰς ὁμολογίας. οὐχ ὡς ἂν ἐκεῖνοι γελῶντές φαῖεν ἄλλον ἀντ᾽ ἄλλου τὰ θεῖα μυῶν. οὐδὲ γὰρ τοῦτο φησὶν ὡς ὑπὲρ τοῦ παιδὸς ἐγὼ τὰς ἀποταγάς, ἢ τὰς ἱερὰς ὁμολογίας ποιοῦμαι. ἀλλ᾽ ὅτι ὁ παῖς ἀποτάσσεται καὶ συντάσσεται. τουτέστιν ὁμολογῶ τὸν παῖδα πείσειν εἰς νοῦν ἱερὸν ἰόντα ταῖς ἐμαῖς ἐνθέοις ἀναγωγαῖς ἀποτάξασθαι μὲν ὁλικῶς τοῖς ἐναντίοις. ὁμολογῆσαι δὲ καὶ ἐνεργῆσαι τὰς θείας ὁμολογίας.

Οὐδὲν οὖν ὡς οἶμαι τὸ ἄτοπον. εἰ κατὰ θείαν ὁ παῖς ἀναγωγὴν ἀνάγεται, καθηγεμόνα καὶ ἀνάδοχον ἱερὸν ἔχων. ἕξιν αὐτῷ τῶν θείων ἐμποιοῦντα, καὶ φυλάττοντα τῶν ἐναντίων ἀπείρατον.

Μεταδίδωσι δὲ τῷ παιδὶ τῶν ἱερῶν συμβόλων ὁ ἱεράρχης. ὅπως ἐν αὐτοῖς ἀνατραφείη. καὶ μηδὲ σχοίη ζωὴν ἑτέραν. εἰ μὴ τὴν τὰ θεῖα θεωροῦσαν ἀεί. καὶ κοινωνὸν αὐτῶν ἐν προκοπαῖς ἱεραῖς γιγνομένην. ἕξιν τε ἱερὰν ἐν τούτοις ἴσχουσαν ἀναγομένην τε ἱεροπρεπῶς, ὑπὸ τοῦ θεοειδοῦς ἀναδόχου. τοσαῦτα ὦ παῖ καὶ οὕτω καλὰ τῆς καθ᾽ ἡμᾶς ἱεραρχίας, ὤφθαί μοι τὰ ἑνοειδῆ θεάματα. πρὸς ἄλλων δὲ ἴσως ὀξυωπέρων νοῶν. οὐ ταῦτα μόνον ἐθεωρήθη, φανότερα δὲ πολλῷ καὶ θεοειδέστερα. καὶ σοὶ δὲ ὡς οἶμαι πάντως ἐλλάμψει τηλαυγέστερα κάλλη καὶ θειότερα τοῖς εἰρημένοις ἐπαναβαθμοῖς χρωμένῳ. πρὸς ὑ-

ὑπὲρ πέραν ἀκτῖνα. μετάδος οὖν ὦ φίλε καὶ αὐτὸς ἐμοὶ πλέον πέρας ἐλλάμψεως. καὶ δεῖξον ἐμοῖς ὀφθαλμοῖς ἅπερ ἂν ἰδεῖν δυνηθείης ἀπορρητότερα καὶ ἄλλη καὶ ἑνοειδέστερα. θαρρῶ γὰρ ὅτι τοῖς εἰρημένοις ἐγὼ τοὺς ἐναποκεκρυμμένους ἐν σοὶ τοῦ θείου πυρὸς προσανασκαλεύσω σπινθῆρας.

## ΤΑΔΕ ΚΕΦΑΛΑΙΑ ΠΕΡΙΕΧΕΙ Ο ΠΕΡΙ ΜΥΣΤΙΚΗΣ ΘΕΟΛΟΓΙΑΣ ΛΟΓΟΣ.

Τίς ὁ θεῖος γνόφος.

Πῶς δεῖ καὶ ἑνοῦσθαι καὶ ὕμνους ἀνατιθέναι τῷ πάντων αἰτίῳ καὶ ὑπὲρ πάντα.

Τίνες αἱ καταφατικαὶ θεολογίαι, τίνες αἱ ἀποφατικαί.

Ὅτι οὐδὲν τῶν αἰσθητῶν ὁ κατ' αὐτὸς αἰσθητοῦ καθ' ὑπεροχὴν αἴτιος.

Ὅτι οὐδὲν τῶν νοητῶν. ὁ κατ' αὐτὸς νοητοῦ καθ' ὑπεροχὴν αἴτιος.

## ΕΠΙΓΡΑΜΜΑ ΕΙΣ ΤΟΝ ΜΑΚΑΡΙΟΝ ΔΙΟΝΥΣΙΟΝ.

Καὶ νόον ἀγλήεντα λίπες, καὶ γνῶσιν ἐόντων.
Νύκτα δι' ἀμβροσίην τὴν οὐ θέμις ἐξονομῆναι.

## ΚΕΦΑΛΑΙΟΝ Α'. ΠΕΡΙ ΜΥΣΤΙΚΗΣ ΘΕΟΛΟΓΙΑΣ.

Τίς ὁ θεῖος γνόφος.

Τριὰς ὑπερούσιε καὶ ὑπέρθεε καὶ ὑπεράγαθε, τῆς χριστιανῶν ἔφορε θεοσοφίας. ἴθυνον ἡμᾶς ἐπὶ τὴν τῶν μυστικῶν λογίων ὑπεράγνωστον, καὶ ὑπερφαῆ καὶ ἀκροτάτην κορυφήν, ἔνθα τὰ ἁπλᾶ καὶ ἀπόλυτα καὶ ἄτρεπτα τῆς θεολογίας μυστήρια. κατὰ τὸν ὑπέρφωτον ἐγκεκάλυπται τῆς κρυφιομύστου σιγῆς γνόφον. ἐν τῷ σκοτεινοτάτῳ τὸ ὑπερφανέστατον ὑπερλάμποντα, καὶ ἐν τῷ πάμπαν ἀναφεῖ καὶ ἀοράτῳ τῶν ὑπερκάλων ἀγλαϊῶν. ὑπερπληροῦντα τοὺς ἀνομμάτους νόας.

Ἐμοὶ μὲν οὖν ταῦτα ηὔχθω. σὺ δὲ ὦ φίλε Τιμόθεε, τῇ περὶ τὰ μυστικὰ θεάματα συντόνῳ διατριβῇ καὶ τὰς αἰσθήσεις ἀπόλειπε. καὶ τὰς νοερὰς ἐνεργείας καὶ πάντα αἰσθητὰ καὶ νοητά, καὶ πάντα οὐκ

ὄντα καὶ ὄντα, καὶ πρὸς τὴν ἕνωσιν, ὡς ἐφικτόν, ἀγνώστως ἀνατάθητι τοῦ ὑπὲρ πᾶσαν οὐσίαν καὶ γνῶσιν. τῇ γὰρ ἑαυτοῦ καὶ πάντων ἀσχέτῳ, καὶ ἀπολύτῳ καθαρῶς ἐκστάσει πρὸς τὴν ὑπερούσιον τοῦ θείου σκότους ἀκτῖνα, πάντα ἀφελὼν καὶ ἐκ πάντων ἀπολυθεὶς ἀναχθήσῃ.

Τούτων δὲ ὅρα ὅπως μηδεὶς τῶν ἀμυήτων ἐπακούσῃ. τούτους δέ φημι τοὺς ἐν τοῖς οὖσιν ἐνισχημένοις. καὶ οὐδὲν ὑπὲρ τὰ ὄντα ὑπερουσίως εἶναι φανταζομένους· ἀλλ' οἰομένοις εἰδέναι τῇ καθ' αὐτοὺς γνώσει τὸν θέμενον σκότος ἀποκρυφὴν αὐτοῦ.

Εἰ δὲ ὑπὲρ τούτους εἰσὶν αἱ θεῖαι μυσταγωγίαι, τί ἄν τις φαίη περὶ τῶν μᾶλλον ἀμύστων, ὅσοι τὴν πάντων ὑπερκειμένην αἰτίαν, καὶ ἐκ τῶν ἐν τοῖς οὖσιν ἐσχάτων χαρακτηρίζουσιν, καὶ οὐδὲν αὐτὴν ὑπερέχειν φασὶ τῶν πεπλασμένων αὐτοῖς ἀθέων, καὶ πολυειδῶν μορφωμάτων. δέον ἐπ' αὐτῇ καὶ πάσας τὰς τῶν ὄντων τιθέναι καὶ καταφάσκειν θέσεις, ὡς πάντων αἰτίᾳ, καὶ πάσας αὐτὰς κυριώτερον ἀποφάσκειν. ὡς ὑπὲρ πάντα ὑπερούσῃ. καὶ μὴ οἴεσθαι τὰς ἀποφάσεις ἀντικειμένας εἶναι ταῖς καταφάσεσιν. ἀλλὰ πολὺ πρότερον αὐτὴν ὑπὲρ τὰς στερήσεις εἶναι τὴν ὑπὲρ πᾶσαν καὶ ἀφαίρεσιν. καὶ θέσιν.

Οὕτως οὖν ὁ θεῖος Βαρθολομαῖός φησιν, καὶ πολλὴν τὴν θεολογίαν εἶναι καὶ ἐλαχίστην, καὶ τὸ εὐαγγέλιον πλατὺ καὶ μέγα. καὶ αὖθις συντετμημένον.



Ἐμοὶ δοκεῖ ἐκεῖνο ὑπερφυῶς ἐννοήσας, ὅτι καὶ πολύλογός ἐστιν ἡ ἀγαθὴ πάντων αἰτία. καὶ βραχύλεκτος ἅμα καὶ ἄλογος ὡς οὔτε λόγον οὔτε νόησιν ἔχουσα. διὰ τὸ πάντων αὐτὴν ὑπερουσίως, ὑπερκειμένην εἶναι. καὶ μόνοις ἀπαρακαλύπτως καὶ ἀληθῶς ἐκφαινομένην, τοῖς καὶ τὰ ἐναγῆ πάντα καὶ τὰ καθαρὰ διαβαίνουσι. καὶ πᾶσαν πασῶν ἁγίων ἀκροτήτων ἀνάβασιν ὑπερβαίνουσι, καὶ πάντα θεῖα φῶτα καὶ ἤχους καὶ λόγους οὐρανίους ἀπολιμπάνουσι καὶ εἰς τὸν γνόφον εἰσδυομένοις. οὗ ὄντως ἐστὶν ὡς τὰ λόγιά φησιν ὁ πάντων ἐπέκεινα.

Καὶ γὰρ οὐχ ἁπλῶς ὁ θεῖος Μωσῆς, ἀποκαθαρθῆναι πρῶτον αὐτὸς κελεύεται, καὶ αὖθις τῶν μὴ τοιούτων ἀφορισθῆναι, καὶ μετὰ πᾶσαν ἀποκάθαρσιν ἀκούει τῶν πολυφώνων σαλπίγγων, καὶ ὁρᾷ φῶτα πολλὰ καθαρῶς ἀπαστράπτοντα, καὶ πολυχύτους ἀκτῖνας. εἶτα τῶν πολλῶν ἀφορίζεται. καὶ μετὰ τῶν ἐκκρίτων ἱερέων ἐπὶ τὴν ἀκρότητα τῶν θείων ἀναβάσεων φθάνει, κἀν τούτοις αὐτῷ μὲν οὐ συγγίνεται τῷ θεῷ. θεωρεῖ δὲ οὐκ αὐτόν, ἀθέατος γάρ, ἀλλὰ τὸν τόπον οὗ ἔστη.

Τοῦτο δὲ οἶμαι, σημαίνειν τὸ τὰ θειότατα καὶ ἀκρότατα τῶν ὁρωμένων καὶ νοουμένων ὑποθετικούς τινας εἶναι λόγους τῶν ὑποβεβλημένων τῷ πάντα ὑπερέχοντι δι' ὧν ἡ ὑπὲρ πᾶσαν ἐπίνοιαν αὐτοῦ παρουσία δείκνυται. ταῖς νοηταῖς ἀκρότησι

τῶν ἁγιωτάτων αὐτοῦ τόπων ὑπερβατεύουσα. καὶ τότε καὶ αὐτῶν ἀπολύεται τῶν ὁρωμένων καὶ τῶν ὁρώντων, καὶ εἰς τὸν γνόφον τῆς ἀγνωσίας εἰσδύνει τὸν ὄντως μυστικόν, καθ' ὃν ἀπομύει πάσας τὰς γνωστικὰς ἀντιλήψεις, καὶ ἐν τῷ πάμπαν ἀναφεῖ, καὶ ἀοράτῳ γίγνεται πᾶς ὢν τοῦ πάντων ἐπέκεινα, καὶ οὐδενός, οὔτε ἑαυτοῦ, οὔτε ἑτέρου. τῷ παντελῶς δὲ ἀγνώστῳ τῇ πάσης γνώσεως ἀνενεργησίᾳ κατὰ τὸ κρεῖττον ἑνούμενος. καὶ τῷ μηδὲν γινώσκειν ὑπὲρ νοῦν γινώσκων.

## ΚΕΦΑΛΑΙΟΝ Β'.

Πῶς δεῖ καὶ ἑνοῦσθαι καὶ ὕμνους ἀνατιθέναι τῷ πάντων αἰτίῳ καὶ ὑπὲρ πάντα.

Κατὰ τοῦτον ἡμεῖς γενέσθαι τὸν ὑπέρφωτον εὐχόμεθα γνόφον, καὶ δι' ἀβλεψίας καὶ ἀγνωσίας ἰδεῖν, καὶ γνῶναι τὸν ὑπὲρ θέαν καὶ γνῶσιν αὐτὸ τὸ μὴ ἰδεῖν μηδὲ γνῶναι. τοῦτο γάρ ἐστι τὸ ὄντως ἰδεῖν καὶ γνῶναι. καὶ τὸν ὑπερούσιον ὑπερουσίως ὑμνῆσαι διὰ τῆς πάντων τῶν ὄντων ἀφαιρέσεως. ὥσπερ οἱ αὐτοφυὲς ἄγαλμα ποιοῦντες, ἐξαιροῦντες πάντα τὰ ἐπιπροσθοῦντα τῇ καθαρᾷ τοῦ κρυφίου θέᾳ κωλύματα, καὶ αὐτὸ ἐφ' ἑαυτοῦ τῇ ἀφαιρέσει μόνῃ τὸ ἀποκεκρυμμένον ἀναφαίνοντες κάλλος.

Χρὴ δὲ ὡς οἶμαι τὰς ἀφαιρέσεις, ἐναντίως ταῖς θέσε-



σιν ὑμνῆσαι. καὶ γὰρ ἐκείνας μὲν ἀπὸ τῶν πρωτίστων ἀρχόμενοι καὶ διὰ μέσων ἐπὶ τὰ ἔσχατα κατιόντες ἐτίθεμεν· ἐνταῦθα δὲ ἀπὸ τῶν ἐσχάτων ἐπὶ τὰ ἀρχικώτατα τὰς ἐπαναβάσεις ποιούμενοι, τὰ πάντα ἀφαιροῦμεν, ἵνα ἀπερικαλύπτως γνῶμεν ἐκείνην τὴν ἀγνωσίαν τὴν ὑπὸ πάντων τῶν γνωστῶν ἐν πᾶσι τοῖς οὖσι περικεκαλυμμένην, καὶ τὸν ὑπερούσιον ἐκεῖνον ἴδωμεν γνόφον τὸν ὑπὸ παντὸς τοῦ ἐν τοῖς οὖσι φωτὸς ἀποκρυπτόμενον.

## ΚΕΦΑΛΑΙΟΝ Γ'.

Τίνες αἱ καταφατικαὶ θεολογίαι· τίνες αἱ ἀποφατικαί.

Ἐν μὲν οὖν ταῖς θεολογικαῖς ὑποτυπώσεσι τὰ κυριώτατα τῆς καταφατικῆς θεολογίας ὑμνήσαμεν, πῶς ἡ θεία καὶ ἀγαθὴ φύσις ἑνικὴ λέγεται. πῶς τριαδική· τίς ἡ κατ' αὐτὴν λεγομένη πατρότης τε καὶ υἱότης· τί βούλεται δηλοῦν ἡ τοῦ πνεύματος θεολογία· πῶς ἐκ τοῦ ἀΰλου καὶ ἀμεροῦς ἀγαθοῦ τὰ ἐγκάρδια τῆς ἀγαθότητος ἐξέφυ φῶτα. καὶ τῆς ἐν αὐτῷ καὶ ἐν ἑαυτοῖς καὶ ἐν ἀλλήλοις συναϊδίου τῇ ἀναβλαστήσει μονῆς ἀπομεμένηκεν ἀνεκφοίτητα· πῶς ὁ ὑπερούσιος Ἰησοῦς ἀνθρωποφυικαῖς ἀληθείαις οὐσιῶται, καὶ ὅσα ἄλλα πρὸς τῶν λογίων ἐκπεφασμένα κατὰ τὰς θεολογικὰς

ὑποτυπώσεσιν ὑμνῆται· ἐν δὲ τῷ περὶ θείων ὀνομάτων· πῶς ἀγαθὸς ὀνομάζεται· πῶς ὤν· πῶς ζωὴ καὶ σοφία καὶ δύναμις· καὶ ὅσα ἄλλα τῆς νοητῆς ἐστι θεωνυμίας·

Ἐν δὲ τῇ συμβολικῇ θεολογίᾳ· τίνες αἱ ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὰ θεῖα μετωνυμίαι· τίνες αἱ θεῖαι μορφαί· τίνα τὰ θεῖα σχήματα· καὶ μέρη καὶ ὄργανα· τίνες οἱ θεῖοι τόποι καὶ κόσμοι· τίνες οἱ θυμοί· τίνες αἱ λῦπαι καὶ αἱ μήνιδες· τίνες αἱ μέθαι καὶ αἱ κρεπάλαι· τίνες οἱ ὅρκοι καὶ τίνες αἱ ἀραί· τίνες οἱ ὕπνοι, καὶ τίνες αἱ ἐγρηγόρσεις, καὶ ὅσαι ἄλλαι τῆς συμβολικῆς εἰσι θεοτυπίας ἱερόπλαστοι μορφώσεις· καὶ σὲ οἶμαι συνεωρακέναι· πῶς πολυλογώτερα μᾶλλόν ἐστι τὰ ἔσχατα τῶν πρώτων· καὶ γὰρ ἐχρῆν τὰς θεολογικὰς ὑποτυπώσεις, καὶ τὴν τῶν θείων ὀνομάτων ἀνάπτυξιν βραχυλογωτέραν εἶναι τῆς συμβολικῆς θεολογίας· ἐπείπερ, ὅσῳ πρὸς τὸ ἄνω ἀνανεύομεν· τοσοῦτον οἱ λόγοι ταῖς συνόψεσι τῶν νοητῶν συστέλλονται· καθάπερ καὶ νῦν εἰς τὸν ὑπὲρ νοῦν εἰσδύνοντες γνόφον, οὐ βραχυλογίαν· ἀλλ' ἀλογίαν παντελῆ καὶ ἀνοησίαν εὑρήσομεν· κἀκεῖ μὲν ἀπὸ τοῦ ἄνω πρὸς τὰ ἔσχατα κατιὼν ὁ λόγος, κατὰ τὸ ποσὸν τῆς καθόδου πρὸς ἀνάλογον πλῆθος εὐρύνετο· νῦν δὲ ἀπὸ τῶν κάτω πρὸς τὸ ὑπερκείμενον ἀνιών, κατὰ τὸ μέτρον τῆς ἀνόδου συστέλλεται· καὶ μετὰ πᾶσαν ἄνοδον ὅλος ἄφωνος ἔσται· καὶ ὅλος ἑνωθήσεται τῷ ἀφθέγκτῳ·



Διατί δὲ ὅλως φῄς ἀπὸ τοῦ πρωτίστου θέμενοι τὰς θείας θέσεις· ἀπὸ τῶν ἐσχάτων ἀρχόμεθα τῆς θείας ἀφαιρέσεως· ὅτι τὸ ὑπὲρ πᾶσαν τιθέντας θέσιν ἀπὸ τοῦ μᾶλλον αὐτῷ συγγενεστέρου· τὴν ὑποθετικὴν κατάφασιν ἐχρῆν τιθέναι· τὸ δὲ ὑπὲρ πᾶσαν ἀφαίρεσιν ἀφαιροῦντας, ἀπὸ τῶν μᾶλλον αὐτοῦ διεστηκότων ἀφαιρεῖν· ἢ οὐχὶ μᾶλλόν ἐστι ζωὴ καὶ ἀγαθότης, ἢ ἀὴρ καὶ λίθος· καὶ μᾶλλον οὐ κρεπάλαι καὶ οὐ μηνίαι, ἢ οὐ λέγεται οὐδὲ νοεῖται·

## ΚΕΦΑΛΑΙΟΝ Δʹ.

### Ὅτι οὐδὲν τῶν αἰσθητῶν ὁ πάντων αἰσθητοῦ καθ' ὑπεροχὴν αἴτιος·

Λέγομεν οὖν, ὡς ἡ πάντων αἰτία καὶ ὑπὲρ πάντα οὖσα, οὔτε ἀνούσιός ἐστιν οὔτε ἄζωος, οὔτε ἄλογος οὔτε ἄνους· οὐδὲ σῶμά ἐστιν, οὔτε σχῆμα, οὔτε εἶδος, οὔτε ποιότητα, ἢ ποσότητα, ἢ ὄγκον ἔχει· οὐδὲ ἐν τόπῳ ἐστίν, οὔτε ὁρᾶται οὔτε ἐπαφὴν αἰσθητὴν ἔχει· οὐδὲ αἰσθάνεται, οὔτε αἰσθητή ἐστιν, οὐδὲ ἀταξίαν ἔχει καὶ ταραχήν, ὑπὸ παθῶν ὑλικῶν ἐνοχλουμένη, οὔτε ἀδύναμός ἐστιν αἰσθητοῖς ὑπεκπίπτουσα συμπτώμασιν, οὔτε ἐν ἐνδείᾳ ἐστὶ φωτός· οὐδὲ ἀλλοίωσιν, ἢ φθοράν, ἢ μερισμόν, ἢ στέρησιν, οὔτε ἄλλο τι τῶν αἰσθητῶν, οὐδὲ ἔστιν, οὔτε ἔχει·

## ΚΕΦΑΛΑΙΟΝ Ε'.

### Ὅτι οὐδὲν τῶν νοητῶν ὁ πάντος νοητοῦ καθ' ὑπεροχὴν αἴτιος.

Α ὖθις δὲ ἀνιόντες λέγομεν, ὡς οὔτε ψυχή ἐστιν, οὔτε νοῦς, οὔτε φαντασίαν ἢ δόξαν, ἢ λόγον, ἢ νόησιν ἔχει, οὐδὲ λόγος ἐστὶν, οὔτε νόησις, οὐδὲ λέγεται, οὐδὲ νοεῖται· οὔτε ἀριθμός ἐστιν· οὐδὲ τάξις· οὔτε μέγεθος, οὐδὲ σμικρότης, οὐδὲ ἰσότης, οὐδὲ ὁμοιότης, ἢ ἀνομοιότης, οὔτε ἕστηκεν· οὐδὲ κινεῖται· οὔτε ἡσυχίαν ἄγει· οὐδὲ ἔχει δύναμιν οὔτε δύναμίς ἐστιν, οὔτε φῶς οὔτε ζωή ἐστιν· οὐδὲ οὐσία ἐστίν· οὔτε αἰὼν οὔτε χρόνος· οὐδὲ ἐπαφή ἐστιν αὐτῆς νοητή· οὔτε ἐπιστήμη, οὔτε ἀλήθειά ἐστιν, οὐδὲ βασιλεία, οὔτε σοφία οὐδὲ ἓν οὐδὲ ἑνότης, οὐδὲ θεότης, ἢ ἀγαθότης· οὐδὲ πνεῦμά ἐστιν ὡς ἡμᾶς εἰδέναι, οὔτε υἱότης, οὔτε πατρότης· οὐδὲ ἄλλο τι τῶν ἡμῖν ἢ ἄλλῳ τινὶ τῶν ὄντων συνεγνωσμένων· οὐδέ τι τῶν οὐκ ὄντων ἐστίν· οὐδὲ τὰ ὄντα αὐτὴν γινώσκει ἢ αὐτή ἐστιν· οὐδὲ αὐτὴ γινώσκει τὰ ὄντα ἢ ὄντα ἐστίν· οὐδὲ λόγος αὐτῆς ἐστιν· οὔτε ὄνομα, οὔτε γνῶσις· οὐδὲ σκότος ἐστίν· οὐδὲ φῶς, οὔτε πλάνη, οὔτε ἀλήθεια· οὐδὲ ἔστιν αὐτῆς καθόλου θέσις· οὔτε ἀφαίρεσις· ἀλλὰ τῶν μετ' αὐτὴν τὰς θέσεις καὶ ἀφαιρέσεις ποιοῦντες αὐτὴν, οὔτε τίθεμεν, οὔτε ἀφαιροῦμεν· ἐπεὶ καὶ ὑπὲρ πᾶσαν θέσιν ἐστὶν ἡ παν-



πλήρης καὶ ἑνιαία τῶν πάντων αἰτία· καὶ ὑπὲρ πᾶσαν ἀφαίρεσιν ἡ ὑπεροχὴ τοῦ πάντων ἁπλῶς ἀπολελυμένου καὶ ἐπέκεινα τῶν λογων.

## ΤΟΥ ΑΥΤΟΥ ΕΠΙΣΤΟΛΑΙ ΔΙΑΦΟΡΟΙ ΔΕΚΑ.

Γ αΐῳ θεραπευτῇ.

Τ ῷ αὐτῷ.

Τ ῷ αὐτῷ.

Τ ῷ αὐτῷ.

Δ ωροθέῳ λειτουργῷ.

Σ ωπάτρῳ ἱερεῖ.

Π ολυκάρπῳ ἱεράρχῃ.

Δ ημοφίλῳ θεραπευτῇ περὶ ἰδιοπραγίας καὶ χρηστότητος.

Τ ίτῳ ἱεράρχῃ ἐρωτήσαντι δι' ἐπιστολῆς· τίς ὁ τῆς σοφίας οἶκος· τίς ὁ κρατὴρ· καὶ τίνα τὰ βρώματα αὐτῆς καὶ τὰ πόματα.

Ι ωάννῃ θεολόγῳ ἀποστόλῳ καὶ εὐαγγελιστῇ περιορισθέντι κατὰ πάτμον τὴν νῆσον.

# ΔΙΟΝΥΣΙΟΥ ΑΡΕΟΠΑΓΙΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΑΘΗΝΩΝ ΕΠΙΣΤΟΛΑΙ ΔΙΑΦΟΡΟΙ.

## Γαΐῳ θεραπευτῇ.

Τὸ σκότος ἀφανὲς γίνεται τῷ φωτί, καὶ μᾶλλον τῷ πολλῷ φωτί· τὴν ἀγνωσίαν ἀφανίζουσιν αἱ γνώσεις, καὶ μᾶλλον αἱ πολλαὶ γνώσεις· ταῦτα ὑπεροχικῶς, ἀλλὰ μὴ κατὰ στέρησιν ἐκλαβὼν ἀπόφησον ὑπεραληθῶς· ὅτι λανθάνει τοὺς ἔχοντας ὂν φῶς, καὶ ὄντων γνῶσιν ἡ κατὰ θεὸν ἀγνωσία. καὶ τὸ ὑπερκείμενον αὐτοῦ σκότος, καὶ καλύπτεται παντὶ φωτί· καὶ ἀποκρύπτει πᾶσαν γνῶσιν. καὶ εἴ τις ἰδὼν θεὸν συνῆκεν ὃ εἶδεν, οὐκ αὐτὸν ἑώρακεν ἀλλά τι τῶν αὐτοῦ τῶν ὄντων καὶ γινωσκομένων· αὐτὸς δὲ ὑπὲρ νοῦν καὶ ὑπὲρ οὐσίαν ὑπεριδρυμένος, αὐτῷ τὸ καθόλου μὴ γινώσκεσθαι μηδὲ εἶναι καὶ ἔστιν ὑπερουσίως, καὶ ὑπὲρ νοῦν γινώσκεται καὶ ἡ κατὰ τὸ κρεῖττον παντελὴς ἀγνωσία. γνῶσίς ἐστι τοῦ ὑπὲρ πάντα τὰ γινωσκόμενα.

## Τῷ αὐτῷ.

Πῶς ὁ πάντων ἐπέκεινα, καὶ ὑπὲρ θεαρχίαν ἐστὶ καὶ



ὑπὲρ ἀγαθαρχίαν, εἰ θεότητα καὶ ἀγαθότητα νοήσαις· αὐτὸ τὸ χρῆμα τοῦ ἀγαθοποιοῦ καὶ θεοποιοῦ δώρου, καὶ τὸ ἀμίμητον μίμημα τοῦ ὑπερθέου καὶ ὑπεραγάθου καθ' ὃν θεούμεθα καὶ ἀγαθυνόμεθα, καὶ γὰρ εἰ τοῦτο ἀρχὴ γίγνεται τοῦ θεοῦσθαι καὶ ἀγαθύνεσθαι τοὺς θεουμένους καὶ ἀγαθυνομένους, ὁ πάσης ἀρχῆς ὑπεράρχιος, καὶ τῆς οὕτω λεγομένης θεότητος, ὡς θεαρχίας καὶ ἀγαθαρχίας ἐστὶν ἐπέκεινα καθ' ὅσον ὁ μιμητὸς, καὶ ἄσχετος. ὑπερέχει τῶν μιμήσεων καὶ σχέσεων. καὶ τῶν μιμουμένων καὶ τῶν μετεχόντων.

## Τῷ αὐτῷ.

Ἐξαίφνης ἐστὶ τὸ παρ' ἐλπίδα καὶ ἐκ τοῦ πως ἀφανοῦς, εἰς τὸ ἐμφανὲς ἐξαγόμενον ἐπὶ δὲ τῆς κατὰ χριστὸν φιλανθρωπίας, καὶ τοῦτο οἶμαι τὴν θεολογίαν αἰνίττεσθαι τὸ ἐκ τοῦ κρυφίου τὸν ὑπερούσιον εἰς τὴν καθ' ἡμᾶς ἐμφάνειαν ἀνθρωπικῶς οὐσιωθέντα προεληλυθέναι. κρύφιος δέ ἐστιν καὶ μετὰ τὴν ἔκφανσιν, ἢ ἵνα τὸ θειότερον εἴπω, καὶ ἐν τῇ ἐκφάνσει· καὶ τοῦτο γὰρ ἰησοῦ κέκρυπται, καὶ οὐδενὶ λόγῳ, οὔτε νῷ τὸ κατ' αὐτὸν ἐξῆκται μυστήριον, ἀλλὰ καὶ λεγόμενον ἄρρητον μένει, καὶ νοούμενον ἄγνωστον.

## Τῷ αὐτῷ.

Πῶς φῂς ἰησοῦς ὁ πάντων ἐπέκεινα, πᾶσιν ἐστὶν ἀνθρώποις οὐσιωδῶς συντεταγμένος, οὐ γὰρ ὡς αἴτιος ἀνθρώπων ἐνθάδε λέγεται ἄνθρωπος, ἀλλ' ὡς αὐτὸ

κατ' οὐσίαν ὅλην ἀληθῶς ἄνθρωπος ὤν, ἡμεῖς δὲ τὸν Ἰησοῦν οὐκ ἀνθρωπικῶς ἀφορίζομεν. οὐδὲ γὰρ ἄνθρωπος μόνον· οὐδ' ὑπερούσιος ἢ ἄνθρωπος μόνον, ἀλλ' ἄνθρωπος ἀληθῶς, ὁ διαφερόντως φιλάνθρωπος ὑπὲρ ἀνθρώπους καὶ κατὰ ἀνθρώπους ἐκ τῆς τῶν ἀνθρώπων οὐσίας ὁ ὑπερούσιος οὐσιωμένος. ἔστι δὲ οὐδὲν ἧττον ὑπερουσιότητος ὑπερπλήρης ὁ ἀεὶ ὑπερούσιος, ἀμέλει τῇ ταύτης περιουσίᾳ.

Καὶ εἰς οὐσίαν ἀληθῶς ἐλθών, ὑπὲρ οὐσίαν οὐσιώθη καὶ ὑπὲρ ἄνθρωπον ἐνήργει ἀνθρώπου. καὶ δηλοῖ παρθένος ὑπερφυῶς κύουσα. καὶ ὕδωρ ἄστατον ὑλικῶν καὶ γεηρῶν ποδῶν ἀνέχον βάρος καὶ μὴ ὑπεῖκον· ἀλλ' ὑπερφυεῖ δυνάμει πρὸς τὸ ἀδιάχυτον συνιστάμενον. τί ἄν τις τὰ λοιπὰ πάμπολλα ὄντα διέλθοι· δι' ὧν ὁ θείως ὁρῶν, ὑπὲρ νοῦν γνώσεται, καὶ τὰ ἐπὶ τῇ φιλανθρωπίᾳ τοῦ Ἰησοῦ καταφασκόμενα, δύναμιν ὑπεροχικῆς ἀποφάσεως ἔχοντα. καὶ γὰρ ἵνα συνελόντες εἴπωμεν οὐδὲ ἄνθρωπος ἦν, οὐχ ὡς μὴ ἄνθρωπος· ἀλλ' ὡς ἐξ ἀνθρώπων, ἀνθρώπων ἐπέκεινα, καὶ ὑπὲρ ἄνθρωπον ἀληθῶς ἄνθρωπος γεγονώς, καὶ τὸ λοιπόν, οὐ κατὰ θεὸν τὰ θεῖα δράσας, οὔτε ἀνθρώπεια κατὰ ἄνθρωπον· ἀλλ' ἀνδρωθέντος θεοῦ, καινήν τινα τὴν θεανδρικὴν ἐνέργειαν ἡμῖν πεπολιτευμένος.

## Δωροθέῳ λειτουργῷ.

Ο θεῖος γνόφος ἐστίν, τὸ ἀπρόσιτον φῶς, ἐν ᾧ κατοικεῖν ὁ θεὸς λέγεται, καὶ ἀοράτῳ γε ὄντι διὰ τὴν ὑπερέχουσαν φανότητα καὶ ἀπροσίτῳ τῷ αὐτῷ δι' ὑπερβολὴν ὑπερουσίου φωτοχυσίας. ἐν τούτῳ γίγνεται πᾶς ὁ θεὸν γνῶναι καὶ ἰδεῖν ἀξιούμενος, αὐτῷ τῷ μὴ ὁρᾶν μηδὲ γινώσκειν ἀληθῶς ἐν τῷ ὑπὲρ ὅρασιν καὶ γνῶσιν γιγνόμενος, τοῦτ' αὐτὸ γιγνώσκων, ὅτι μετὰ πάντα ἐστὶ τὰ αἰσθητὰ καὶ τὰ νοητά. καὶ προφητικῶς ἐρῶν· ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ· καὶ ἐκραταιώθη οὐ μὴ δύνωμαι πρὸς αὐτήν. ὥσπερ οὖν καὶ ὁ θεῖος Παῦλος ἐγνωκέναι τὸν θεὸν λέγεται· γνοὺς αὐτὸν ὑπὲρ πᾶσαν ὄντα νόησιν καὶ γνῶσιν, διὸ καὶ ἀνεξιχνιάστους εἶναι τὰς ὁδοὺς αὐτοῦ φησίν· καὶ ἀνεξερεύνητα τὰ κρίμματα αὐτοῦ, καὶ ἀνεκδιηγήτους τὰς δωρεὰς αὐτοῦ· καὶ τὴν εἰρήνην αὐτοῦ ὑπερέχουσαν πάντα νοῦν, ὡς εὑρηκὼς τὸν ὑπὲρ πάντα. καὶ τοῦτο ὑπὲρ νόησιν ἐγνωκώς. ὅτι πάντων ἐστὶν ἐπέκεινα, πάντων αἴτιος ὤν.

## Σωσιπάτρῳ ἱερεῖ.

Μὴ τοῦτο οἴου νίκην ἱερὲ Σωσίπατρε, τὸ εἰς θρησκείαν ἢ δόξαν ὑβρίσαι μὴ ἀγαθὴν φαινομένην. οὐδὲ γὰρ οὐδ' εἰ κεκριμένως αὐτὴν ἐξελέγξῃς, ἤδη τὰ Σωσιπάτρου καλά. δυνατὸν γὰρ καὶ σὲ καὶ ἄλλοις ἐν πολλοῖς τοῖς ψεύδεσι καὶ φαινομένοις, ἓν ὄν, καὶ κρύφιον τὸ ἀληθὲς λανθάνειν. οὐδὲ γὰρ εἴ τι μὴ ἐρυθρόν, ἤδη λευκόν· οὐδὲ εἴ τις μὴ ἵππος, ἐξ ἀνάγκης ἄν-

θρώπος. οὐ τοῦτο δὲ ποιήσεις ἐμοὶ πειθόμενος. ἀφέξει μὲν τοῦ καθ' ἑτέρων λέγειν, ὑπὲρ ἀληθείας δὲ ὄντως ἐρεῖς ὡς πάντη εἶναι ἀνεξέλεγκτα τὰ λεγόμενα.

Πολυκάρπῳ ἱεράρχῃ.

Ἐγὼ μὲν οὐκ οἶδα πρὸς ἕλληνας, ἢ πρὸς ἑτέρους εἰπὼν ἀρκεῖν οἰόμενος ἀγαθοῖς ἀνδράσιν. εἰ τὸ ἀληθὲς αὐτὸ ἐφ' ἑαυτοῦ δυνήσοιντο καὶ γνῶναι καὶ εἰπεῖν. ἣ ὄντως ἔχει. τούτου γὰρ ὅτι ποτέ ἐστι κατὰ νόμον ἀληθείας ὀρθῶς ἀποδεικνυμένου καὶ ἀκραιφνοῦς ἑστηκότος πᾶν τὸ ἑτέρως ἔχον. καὶ τὴν ἀλήθειαν προσποιούμενον. ἐλεγχθήσεται καὶ ἕτερον ὄν, τοῦ ὄντως ὄντος. καὶ ἀνόμοιον καὶ δοκοῦν ἐκεῖνο μᾶλλον ἢ ὄν.

Περιττὸν οὖν ἐστι τὸν ἀληθείας ἐκφάντορα πρὸς τούτους, ἢ ἐκείνους διαμάχεσθαι. λέγει γὰρ ἕκαστος αὐτὸς ἔχειν τὸ νόμισμα τὸ βασιλικόν. καὶ ἴσως ἔχει παρεγγράφου τινὸς τοῦ ἀληθοῦς ἀπατηλὸν εἴδωλον, καὶ εἰ τοῦτον ἐλέγξεις, ὁ ἕτερος καὶ αὖθις ὁ ἄλλος περὶ τοῦ αὐτοῦ φιλονεικήσει. τοῦ δ' ἀληθοῦς αὐτοῦ τεθέντος ὀρθῶς λόγου, καὶ πρὸ τῶν ἄλλων πάντων ἀνεξελέγκτου μείναντος. πᾶν τὸ μὴ οὕτω κατὰ πάντα ἔχον αὐτὸ ἐφ' ἑαυτοῦ τῇ ἀπαρατρέπτῳ στάσει τοῦ ὄντως ἀληθοῦς καταβάλλεται.

Τοῦτο μὲν οὖν ὡς οἶμαι καλῶς ἐγνωκώς, οὐκ ἐσπούδασα πρὸς ἕλληνας, ἢ πρὸς ἑτέρους εἰπεῖν. ἀλλ' ἱκανόν μοι καὶ τὸ θεὸς δώη περὶ ἀληθείας εἰδέναι πρῶ-



τον. ἔπειτα εἰδότα ὡς χρὴ λέγειν.

Σὺ δέ φῄς λοιδορεῖσθαι περὶ τὸν σοφιστὴν ἀπολλοφάνη. καὶ πατραλοίαν ἀποκαλεῖν, ὡς τοῖς ἑλλήνων ἐπὶ τοὺς ἕλληνας οὐχ ὁσίως χρωμένῳ. καίτοι πρὸς αὐτὸν ἡμᾶς ἦν ἀληθέστερον εἰπεῖν, ὡς ἕλληνες τοῖς θείοις οὐχ ὁσίως ἐπὶ τὰ θεῖα χρῶνται, διὰ τῆς σοφίας τοῦ θεοῦ τὸ θεῖον ἐκβάλλειν πειρώμενοι σέβας. καὶ οὐ τὴν τῶν πολλῶν ἔννοιαν φημὶ δόξαν τοῖς τῶν κινητῶν προσύλως καὶ ἐμπαθῶς ἐναποθυμένων καὶ τῇ κτίσει παρὰ τὸν κτίσαντα λατρευόντων ἀλλὰ καὶ αὐτὸς ἀπολλοφάνης οὐχ ὁσίως τοῖς θείοις ἐπὶ τὰ θεῖα χρῆται. τῇ γὰρ τῶν ὄντων γνώσει, καλῶς λεγομένῃ πρὸς αὐτοῦ φιλοσοφία καὶ πρὸς τοῦ θείου παύλου σοφία θεοῦ κεκληρωμένῃ πρὸς τὸ αἴτιον καὶ αὐτῶν τῶν ὄντων καὶ τῆς γνώσεως αὐτῶν ἐχρῆν ἀνάγεσθαι τοὺς ἀληθεῖς φιλοσόφους. καὶ ἵνα μὴ τὴν ἄλλων, ἢ τὴν αὐτοῦ παρὰ τὸ δοκοῦν ἐξελέγχοιμι δόξαν, ἔδει συνιδεῖν ἀπολλοφάνη. σοφὸν ὄντα, μὴ ἄν ἄλλως ποτὲ δυνηθῆναι τῆς οὐρανίας τι παρατραπῆναι τάξεως καὶ κινήσεως εἰ μὴ τὸν τοῦ εἶναι αὐτὴν καὶ συνοχέα καὶ αἴτιον ἔχειν εἰς τοῦτο κινοῦντα τὸν ποιοῦντα πάντα καὶ μετασκευάζοντα κατὰ τὸν ἱερὸν λόγον. πῶς οὖν οὐ σέβεται τὸν ἐγνωσμένον ἡμῖν κἀκ τούτου καὶ ὄντως ὄντα τῶν ὅλων θεόν, ἀγάμενος αὐτὸν τῆς παναιτίου καὶ ὑπεραρρήτου δυνάμεως. ὅτε ἥλιος ὑπ' αὐτοῦ καὶ σελήνη κατὰ δύναμιν καὶ στάσιν ὑπερφυεστάτην ἅμα τῷ

παντὶ πρὸς τὸ παντελῆ ἀκίνητον ὁρίζονται, καὶ ὃς μέ-
τρον ἡμέρας ὅλης ἐπὶ τὸ αὐτὸ ἑστᾶσι τὰ πάντα σημεῖ-
α, ἢ τὸ τούτου τε πλεῖον εἴπερ τῶν ὅλων καὶ τῶν
κρειττόνων καὶ περιεχόντων οὕτω φερομένων οὐ
συμπεριήγετο τὰ περιεχόμενα, καὶ ὅταν ἄλλη τις
ἡμέρα κατὰ συνέχειαν σχεδὸν τριπλασιάζεται
καὶ ἐν εἴκοσι ταῖς πάσαις ὥραις, ἢ τὸ πᾶν ποσοῦ-
τον χρόνου φορᾶς ἐναντίας ἀναποδίζει καὶ ἐπανα-
στρέφει ταῖς οὕτως ἄγαν ὑπερφυεστάταις ἀντιπε-
ριαγωγαῖς, ἢ ὁ ἥλιος ἰδίῳ δρόμῳ τὴν πεντάτρο-
πον αὐτοῦ κίνησιν ἐν ὥραις δέκα συνελὼν ἀναλυτι-
κῶς αὖθις, ὅλην αὐτὴν ἐν ταῖς ἑτέραις δέκα καινήν
τινα τρίβων ὁδὸν ἀναποδίζει· τοῦτο δὴ τὸ καὶ Βα-
βυλωνίους εἰκότως ἐκπλῆξαι, καὶ μάχης ἐκτὸς
τῷ Ἐζεκίᾳ καθυποτάξαι ὡς ἂν ἰσοθέῳ τινὶ καὶ ὑ-
περέχοντι τοὺς ἀνθρώπους.

Καὶ οὐ δή που φημὶ τὰς ἐν Αἰγύπτῳ μεγαλουργίας, ἢ
ἄλλας τινὰς ἀλλαχοῦ θεοσημείας γεγενημένας·
ἀλλὰ τὰ κοινὰ καὶ οὐράνια καὶ ἐν τῷ παντὶ καὶ πᾶ-
σι θριαμβευθέντα. φησὶ δὲ πάντως Ἀπολλοφάνης·
οὐκ εἶναι ταῦτα ἀληθῆ· μάλιστα μὲν οὖν τοῦτο ταῖς
περσῶν ἱερατικαῖς ἐμφέρεται φήμαις, καὶ εἰσέτι
μάγοι τὰ μνημόσυνα τοῦ τριπλασίου μίθρου τελοῦ-
σιν. ἀλλ᾽ ἐξέστω αὐτῷ τούτοις διὰ τὴν ἄγνοιαν, ἢ τὴν
ἀπειρίαν ἀπιστεῖν.

Εἶπε δὲ αὐτῷ· τί λέγεις περὶ τῆς ἐν τῷ σωτηρίῳ σταυ-
ρῷ γεγονυίας ἐκλείψεως; ἀμφοτέρω γὰρ τότε κατὰ



Ἡλίου πόλιν ἅμα παρόντες τε καὶ συνεστῶτες πα-
ραδόξως τῷ ἡλίῳ τὴν σελήνην ἐμπίπτουσαν ἑωρῶ-
μεν· οὐ γὰρ συνόδου καιρὸς ἦν· αὖθίς τε αὐτὴν ἀπὸ
τῆς ἐνάτης ὥρας ἄχρι τῆς ἑσπέρας, εἰς τὸ τοῦ ἡλίου
διάμετρον ὑπερφυῶς ἀντικαταστᾶσαν.

Ἀνάμνησον δέ τι καὶ ἕτερον αὐτόν· οἶδε γὰρ ὅτι καὶ
τὴν ἔμπτωσιν αὐτὴν ἐξ ἀνατολῶν ἑωράκαμεν ἀρξα-
μένην καὶ μέχρι τοῦ ἡλιακοῦ πέρατος ἐλθοῦσαν· εἶ-
τα ἀναποδίσασαν καὶ αὖθις, οὐκ ἐκ τοῦ αὐτοῦ καὶ
τὴν ἔμπτωσιν καὶ τὴν ἀνακάθαρσιν, ἀλλ᾽ ἐκ τοῦ κα-
τὰ διάμετρον ἐναντίον γεγενημένην, τοσαῦτά ἐστι
τοῦ τότε καιροῦ τὰ ὑπερφυῆ, καὶ μόνῳ Χριστῷ τῷ πα-
ναιτίῳ δυνατά, τῷ ποιοῦντι μεγάλα καὶ ἐξαίσια
ὧν οὐκ ἔστιν ἀριθμός.

Ταῦτα εἴ σοι θεμιτὸν εἰπὲ καὶ δυνατὸν Ἀπολλόφανες
ἐξέλεγχε, καὶ πρὸς ἐμέ, τὸν τότε καὶ συμπαρόν-
τα σοι καὶ συνεωρακότα καὶ συνανακρίναντα πάν-
τα καὶ συναγάμενον ἀμέλει καὶ μαντείας τότε
οὐκ οἶδ᾽ ὅθεν ὁ Ἀπολλοφάνης ἀπάρχεται, καὶ πρὸς
ἐμέ, ὥσπερ τὰ γιγνόμενα, συμβάλλων ἔφη ταῦ-
τα, ὦ καλὲ Διονύσιε θείων ἀμοιβαὶ πραγμάτων.
τοσαῦτα ὡς κατ᾽ ἐπιστολὴν ἡμῖν εἰρήσθω· σὺ δ᾽ ἱκα-
νὸς καὶ τὰ ἐλλείποντα προσαναπληρῶσαι, καὶ
προσαγαγεῖν τελέως τῷ θεῷ τὸν ἄνδρα σοφὸν τὰ
πολλὰ ὄντα, καὶ ἴσως οὐκ ἀπαξιώσαντα πρᾴως
μαθεῖν τὴν ὑπέρσοφον τῆς θρησκείας ἡμῶν ἀλή-
θειαν.

Δημοφίλῳ θεραπευτῇ περὶ ἰδιοπραγί-
ας καὶ χρηστότητος.

Αἱ τῶν ἑβραίων ἱστορίαι φασὶν ὦ γεννάδα δημόφιλε
καὶ τὸν ἱερὸν ἐκεῖνον μωσέα διὰ τὴν πολλὴν πρα-
ότητα τῆς θεοφανίας ἠξιωμένον. καὶ εἴποτε αὐ-
τὸν ἔξω τῆς θείας ὄψεως ἀναγράφουσιν οὐ πρὸ
τῆς πραότητος ἐκβάλλουσι τοῦ θεοῦ· λέγουσι δὲ
ὅτι λίαν ἐπαυθαδιαζομένῳ καὶ ἀντιτείνοντι ταῖς
θείαις βουλαῖς ὠργίσθη θυμῷ κύριος. ὅταν δὲ αὐ-
τὸν ἀνακήρυκτον ποιῶσι ταῖς θεοκρίτοις ἀξίαις
ἐκ τῆς προὐχούσης τἀγαθοῦ θεομιμησίας ἀνακη-
ρύττεται. καὶ γὰρ ἦν πρᾶος σφόδρα καὶ ὑπὲρ τού-
του λέγεται θεράπων θεοῦ καὶ εἰς θεοπτίαν ἁπάν-
των τῶν προφητῶν ἀξιώτερος. ἀλλὰ καὶ ὅτι πρὸς αὐ-
τὸν καὶ τὸν ἀαρὼν ἱταμοί τινες ὑπὲρ ἀρχιερωσύνης
καὶ ἐθναρχίας ἐφιλονείκουν ὑπερεῖχεν μὲν ἁπά-
σης φιλοτιμίας καὶ φιλαρχίας καὶ παρεχώρει
τῷ θεοκρίτῳ τὴν τοῦ λαοῦ προστασίαν. ἐπειδὴ δὲ
καὶ ἐπισυνέστησαν αὐτῷ καὶ περὶ τῶν προτέρων ὀ-
νειδίζοντες ἠπείλουν καὶ ἤδη σχεδὸν ἐπήεσαν ἐ-
πεβόα τε μὲν ὁ πρᾶος τὸν ἀγαθὸν εἰς σωτηρίαν· ἐ-
παρρησιάζετο δὲ λίαν ἐπιεικῶς ὅτι πάντων εἴη κα-
κῶν τοῖς ἀρχομένοις ἀναίτιος. ᾔδει γὰρ ὅτι χρὴ τὸν
ὁμιλοῦντα θεῷ τἀγαθῷ πρὸς τὸ ὅτι μάλιστα ὁμοι-
ότατον ὡς ἐφικτὸν ἀποτυποῦσθαι. καὶ ἑαυτῷ



συνειδέναι τὰς ἀγαθοφιλεῖς ἐργατείας. τί δὲ τὸν
θεοπάτορα δαβὶδ ἐποίει θεοφιλῆ. καὶ γὰρ ἀγα-
θὸν ὄντα. καὶ περὶ ἐχθροὺς ἀγαθὸν εὕρηκα φησὶν ὁ
ὑπεράγαθος καὶ φιλάγαθος ἄνδρα κατὰ τὴν καρ-
δίαν μου. καίτοι θεσμὸς ἀγαθὸς ἐδεδώρητο καὶ ὑπο-
ζυγίων ἐχθροῦ προνοεῖν καὶ ἰὼβ ὡς ἀκακίας ἐχό-
μενος ἐδικαιοῦτο. καὶ ἰωσὴφ τοὺς ἐπιβούλους ἀδελ-
φοὺς οὐκ ἠμύνατο. καὶ ἄβελ ἁπλῶς καὶ ἀνυπο-
πτως συνεστορεύετο τῷ ἀδελφοκτόνῳ. καὶ πάντας
ἡ θεολογία τοὺς ἀγαθοὺς ἀνακηρύττει μὴ προνο-
οῦντας τὰ κακὰ μὴ προσποιοῦντας ἀλλὰ μη-
δὲ πρὸς τὴν ἄλλων κακίας ἐκ τἀγαθοῦ μεταποι-
ουμένους. τοὐναντίον δὲ θεοειδῶς καὶ τοὺς κακοὺς
ἀγαθύνοντας καὶ ἐφαπλοῦντας. καὶ ἐπ' αὐτοὺς
τὴν πολλὴν αὐτῶν ἀγαθότητα. καὶ πρὸς τὸ ὅμοιον
ἐπιεικῶς ἐκκαλουμένους. ἀλλ' ἐπὶ τὸ ἀνάντης ἀνα-
νεύσωμεν οὐκ ἀνδρῶν ἀγαθῶν ἐπιεικείας οὐ φι-
λανθρώπων ἀγγέλων ἀγαθότητας ἐξαγγέλλον-
τας ἐλεούντων ἔθνη καὶ ὑπερευχομένων αὐτῶν ἀ-
γαθοῦ. καὶ ταῖς ὀλεθρίαις καὶ κακεργέτισιν ἐπιτι-
μώντων πληθύσιν καὶ ἀχθομένων μὲν ἐπὶ κα-
κοῖς. εὐφραινομένων δὲ τῇ σωτηρίᾳ τῶν εἰς τὰ ἀγα-
θὰ μετακαλουμένων. οὐδ' ὅσα ἄλλα περὶ τῶν ἀγα-
θοεργῶν ἀγγέλων ἡ θεολογία παραδίδωσιν. ἀλλὰ
τοῦ ὄντως ἀγαθοῦ καὶ ὑπεραγάθου χριστοῦ τὰς ἀγα-
θοποιοὺς ἀκτῖνας ἐν ἡσυχίᾳ παραδεχόμενοι πρὸς

αὐτῶν ἐπὶ τὰς θείας ἀγαθουργίας αὐτοῦ φωταγωγηθῶμεν. ἆρά γε οὐκ ἔστιν ἄφατόν τι καὶ ὑπὲρ νόησιν ἀγαθότητος ὅτι τὰ ὄντα εἶναι ποιεῖ. καὶ ὅτι πάντα αὐτὰ πρὸς τὸ εἶναι παρήγαγεν. καὶ πάντα βούλεται ἀεὶ γενέσθαι παρὰ τὴν οὐσίαν αὐτοῦ καὶ κοινωνικὰ τῶν αὐτοῦ κατὰ τὴν ἑκάστου ἐπιτηδειότητα. τί δὲ ὅτι καὶ τῶν ἀποφοιτώντων ἐρωτικῶς ἔχεται καὶ φιλονεικεῖ καὶ δεῖται μὴ ἀπαξιωθῆναι τῶν ἐρωμένων καὶ θρυπτομένων αὐτῶν. καὶ εἰκῆ καταγκαλούντων ἀνέχεται. καὶ αὐτὸς ἀπολογεῖται. καὶ μᾶλλον ἐπαγγέλλεται θεραπεύειν. καὶ ἐστὶν αὐτοῖς ἀπέχουσιν ὅμως προσιοῦσι προστρέχει καὶ ὑπαντᾷ. καὶ ὅλος ὅλους περιφὺς ἀσπάζεται. καὶ οὐκ ἐγκαλεῖ περὶ τῶν προτέρων. ἀλλ' ἀγαπᾷ τὰ παρόντα. καὶ ἑορτὴν ἄγει καὶ συγκαλεῖται τοὺς φίλους δηλαδὴ τοὺς ἀγαθοὺς ἵνα ᾖ πάντων εὐφραινομένων ἡ κατοικία. Δημόφιλος δὲ καὶ εἴ τις ἄλλος ἀγαθοῖς ἀπεχθάνεται. καὶ λίαν ἐνδίκως ἐπιτιμᾶται καὶ ἐκδιδάσκεται τὰ καλὰ καὶ ἀγαθύνεται.

Γ ὼς γὰρ οὐκ ἔδει φησὶ τὸν ἀγαθὸν ἐπὶ σωτηρίᾳ τῶν ἀπολωλότων εὐφραίνεσθαι. καὶ ζωῇ τῶν τεθανατωμένων.

Α μέλει καὶ ἐπ' ὤμων φέρει τὸ μόλις ἀποπλανῆς ἐπιστρέφον. καὶ τοὺς ἀγαθοὺς ἀγγέλους εἰς εὐφροσύνην ἐγείρει. καὶ χρηστός ἐστιν ἐπὶ τοὺς ἀχαρίστους. καὶ ἀνατέλλει τὸν ἥλιον αὐτοῦ ἐπὶ πονηροὺς καὶ



ἀγαθούς. καὶ αὐτὴν τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν ἀποφευγόντων.

Σ ὺ δὲ ὡς τὰ γράμματά σου δηλοῖ. καὶ προσπεσόντα τῷ ἱερεῖ τὸν ὡς φῂς ἀσεβῆ καὶ ἁμαρτωλόν. οὐκ οἶδ' ὅπως καθ' ἑαυτοῦ παρὼν ἀπελάκτισας.

Ε ἶτα ὁ μὲν ἐδεῖτο καὶ ὡμολόγει πρὸς ἰατρείαν κακῶν ἐληλυθέναι.

Σ ὺ δὲ οὐκ ἔφριξας, ἀλλὰ καὶ τὸν ἀγαθὸν ἱερέα μετὰ θράσους προεπηλάκιζες. ἐλεητὸν εἶναι μετανοοῦντα, καὶ τὸν ἀσεβῆ δικαιώσαντα, καὶ τέλος ἔξιθι ἔφης τῷ ἱερεῖ. μετὰ τῶν ὁμοίων, καὶ εἰσεπήδησας οὐκ ὄντος θεμιτοῦ πρὸς τὰ ἄδυτα, καὶ τὰ ἅγια τῶν ἁγίων συνέστειλας, καὶ γράφεις ἡμῖν. ὅτι μέλλοντα διαφθαρῆναι τὰ ἱερὰ προνοητικῶς ἀπέσωσα, καὶ ἔτι ἄχραντα διαφυλάττω. νῦν οὖν ἄκουε τῶν ἡμετέρων, οὐ θεμιτὸν ἱερέα πρὸς τῶν ὑπὲρ σὲ λειτουργῶν, ἢ τῶν ὁμοταγῶν σοι θεραπευτῶν εὐθύνεσθαι. κἂν ἀσεβεῖν εἰς τὰ θεῖα δοκῇ. κἂν ἄλλο τι τῶν ἀπειρημένων ἐλέγχηται δράσας. εἰ γὰρ ἀκοσμία καὶ ἀταξία τῶν θειοτάτων ἐστὶ καὶ ὅρων καὶ θεσμῶν ἔκβασις. οὐκ ἔχει λόγον ὑπὲρ θεοῦ τὴν θεοπαράδοτον ἀνατρέπεσθαι τάξιν. οὐ γὰρ ἐφ' ἑαυτὸν ὁ θεὸς ἐμερίσθη. πῶς γὰρ σταθήσεται ἡ βασιλεία αὐτοῦ. καὶ εἰ τοῦ θεοῦ ἐστιν ὡς τὰ λόγιά φησιν ἡ κρίσις. οἱ δὲ ἱερεῖς ἄγγελοι καὶ ὑποφῆται μετὰ τοὺς ἱεράρχας εἰσὶ τῶν θείων κριμάτων, πρὸς αὐτῶν τὰ θεῖα προσηκόντως σοι διὰ μέσων τῶν λειτουργῶν ὅταν ᾖ και-

ρὸς ἐκδιδάσκου δι᾽ ὧν. καὶ τὸ εἶναι θεραπευτὴς ἠξι-
ώθης. ἢ οὐχὶ καὶ τὰ ἱερὰ σύμβολα τοῦτο βοᾷ. καὶ
γὰρ οὐχ ἁπλῶς ἅπασιν αὐτῶν μὲν ἐξήρηται τὰ ἅγια τῶν
ἁγίων. πλησιάζει δὲ μᾶλλον αὐτοῖς ὁ τῶν ἱεροτελε-
στῶν διάκοσμος εἶτα, τῶν ἱερέων ἡ διακόσμησις. ἑ-
πομένως δὲ τούτοις ἡ τῶν λειτουργῶν. τοῖς δὲ τεταγ-
μένοις θεραπευταῖς. αἱ πύλαι τῶν ἀδύτων εἰσὶν ἀ-
φωρισμέναι. καθ᾽ ἃς, καὶ τελοῦνται. καὶ παρεστᾶ-
σιν, οὐ πρὸς φυλακὴν αὐτῶν. ἀλλὰ πρὸς τάξιν καὶ
ἐπίγνωσιν ἑαυτῶν. μᾶλλον τῷ λαῷ παρὰ τοὺς ἱε-
ρατικοὺς πλησιάζοντες. ὅθεν ἡ τῶν ἱερῶν ἁγία τε-
ξιαρχία. μεταλαμβάνειν αὐτοὺς ἱεροθετεῖ τῶν θείων.
ἑτέροις δηλαδὴ τοῖς ἐνδοτέροις αὐτῶν τὴν μετάδο-
σιν ἐγχειρήσασα. καὶ γὰρ οἱ περὶ τὸ θεῖον συμβολι-
κῶς ἀεὶ παρεστηκότες θυσιαστήριον. ὁρῶσι καὶ ἀκού-
ουσι τὰ θεῖα. τηλαυγῶς αὐτοῖς ἀνακαλυπτόμενα
καὶ προϊόντες ἀγαθοειδῶς ἐπὶ τὰ ἔξω τῶν θείων
παραπετασμάτων τοῖς ὑπηκόοις θεραπευταῖς.
καὶ τῷ ἱερῷ λαῷ, καὶ ταῖς καθαιρομέναις τάξεσιν
ἐκφαίνουσι κατ᾽ ἀξίαν τὰ ἱερὰ καλῶς ἄχραντα δια-
φυλαχθέντα, μέχρις ὅτε τυραννικῶς αὐτοῖς ἐπι-
στηδήσας. ἐκπομπευθῆναί σοι τὰ ἅγια τῶν ἁγίων
ἠνάγκασας οὐκ ἐθέλοντα. καὶ ἔχειν φῂς τὰ ἱερὰ
καὶ διαφυλάττειν.

Καί τοι οὔτε εἶδες οὔτε ἤκουσας, οὔτε ἔχεις τι τῶν προ-
σηκόντων τοῖς ἱερεῦσιν. ὥσπερ οὐδὲ τὴν ἀλήθειαν
τῶν λογίων ἔγνωκας ἑκάστης ἡμέρας αὐτὰ λογ-



μαχῶν ἐπὶ καταστροφῇ τῶν ἀκουόντων. καὶ εἰ μὲν
ἐθναρχίαν τις ἐνεχείρισεν οὐ προστεταγμένον αὐ-
τῷ παρὰ βασιλέως ἐνδίκως ἐτιμωρεῖτο. καὶ εἰ τὸν
ἄρχοντα δικαιοῦντά τινας, ἢ καταδικάζοντα, πα-
ρεστώς τις τῶν ὑπ᾽ αὐτῷ ταττομένων ἐπανακρίνειν
ἐτόλμησεν. οὔπω γάρ φημι προπηλακίζειν ἅμα
καὶ τῆς ἀρχῆς ἐκβάλλειν ἔδοξεν.

Σὺ δὲ ἄνθρωπε οὕτω τολμηρὸς εἶ κατὰ τὰ τοῦ πράου
καὶ ἀγαθοῦ καὶ τῆς ἱεραρχικῆς αὐτοῦ θεσμοθεσί-
ας, καὶ ταῦτα ἐχρῆν εἰπεῖν ὅταν ὑπὲρ ἀξίαν τις ἐγ-
χειρῶν. ὅμως εἰκότα πράττειν ἐδόκει. καὶ γὰρ οὐ-
δὲ τοῦτο ἐφικτὸν οὐδενί. τί γὰρ ἄτοπον ὀζίας ἐποίει
θυμιῶν τῷ θεῷ. τί δὲ ὁ σαοὺλ θύων. τί δὲ οἱ τυραννικοὶ
δαίμονες ἀληθῶς θεολογοῦντες τὸν ἰησοῦν. ἀλλ᾽ ἐ-
κήρυκτος τῇ θεολογίᾳ πᾶς ὁ ἀλλοτριεπίσκοπος,
καὶ ἕκαστος ἐν τῇ τάξει τῆς λειτουργείας αὐτοῦ
ἔσται. καὶ μόνος ὁ ἀρχιερεὺς εἰς τὰ ἅγια τῶν ἁγίων
εἰσελεύσεται, καὶ ἅπαξ τοῦ ἐνιαυτοῦ. καὶ τοῦτο ἐν
πάσῃ τῇ κατὰ νόμον ἱεραρχικῇ καθαρότητι. καὶ
οἱ ἱερεῖς περιστέλλουσιν τὰ ἅγια. καὶ οἱ λευῖται οὐ
μὴ ἅψονται τῶν ἁγίων, ἵνα μὴ ἀποθάνωσιν.

Καὶ ὠργίσθη θυμῷ κύριος ἐπὶ τῇ προπετείᾳ ὀζίᾳ.
καὶ μαριὰμ λεπροῦται τῷ νομοθέτῃ θεσμοθε-
τεῖν ἐγχειρήσασα. καὶ ἐπὶ τοὺς σκευᾶ υἱοὺς ἐφή-
λατο τὰ δαιμόνια. καὶ οὐκ ἀπέστελλον αὐτοὺς ἔ-
φη. καὶ αὐτοὶ ἔτρεχον, καὶ οὐκ ἐλάλουν πρὸς
αὐτοὺς καὶ αὐτοὶ ἐπροφήτευον, καὶ ὁ ἀσεβὴς,

θύων μοι μόσχον, ὡς ὁ ἀποκτείνων κύνα, καὶ ἁπλῶς εἰπεῖν οὐκ ἀνέχεται τῶν παρανόμων ἡ παντελὴς τοῦ θεοῦ δικαιοσύνη. λεγόντων δὲ αὐτῶν ἐπὶ τῷ ὀνόματί σου δυνάμεις πολλὰς ἐποιήσαμεν. καὶ οὐκ οἶδα ὑμᾶς ἀποκρίνεται. πορεύεσθε ἀπ' ἐμοῦ πάντες οἱ ἐργάται τῆς ἀνομίας.

Ὥστε οὐ θεμιτὸν ὡς τὰ ἱερὰ λόγιά φησιν οὐδὲ τὰ δίκαια μὴ κατ' ἀξίαν διώκειν. προσέχειν δὲ ἕκαστον ἑαυτῷ χρὴ καὶ μὴ τὰ ὑψηλότερα καὶ βαθύτερα ἐννοεῖν διανοεῖσθαι, δὲ μόνα τὰ κατ' ἀξίαν αὐτῷ προστεταγμένα.

Τί οὖν φής, οὐ χρὴ τοῖς ἱερέας ἀσεβοῦντας ἢ ἄλλο τι τῶν ἀτόπων ἐξελεγχομένους εὐθύνεσθαι, μόνοις δὲ ἐξέσται τοῖς καυχωμένοις ἐν νόμῳ διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν θεὸν ἀτιμάζειν, καὶ πῶς οἱ ἱερεῖς ἐκφάντορές εἰσι τοῦ θεοῦ. πῶς γὰρ ἐξαγγέλλουσι τῷ λαῷ τὰς θείας ἀρετάς, οὐκ ἐγνωκότες αὐτῶν τὴν δύναμιν ἢ πῶς φωτιοῦσιν οἱ ἐσκοτισμένοι. πῶς δὲ τοῦ θείου μεταδώσουσι πνεύματος, οὔτε εἰ ἔστι πνεῦμα ἅγιον ἕξει καὶ ἀληθείᾳ πεπιστευκότες. ἐγὼ δὲ ἀπολογήσομαί σοι πρὸς ταῦτα. καὶ γὰρ οὐκ ἐχθρὸς Δημόφιλος οὐδὲ ἀνέξομαί σε πλεονεκτηθῆναι τῷ σατανᾷ. καὶ γὰρ ἑκάστη τῶν περὶ θεὸν διακοσμήσεις θεοειδεστέρα τῆς μᾶλλον ἀφεστηκυίας ἐστί. καὶ φωτεινότερα ἅμα καὶ φωτιστικώτερα τὰ μᾶλλον τῷ ἀληθεῖ φωτὶ πλησιαίτερα.

Καὶ μὴ τοπικῶς ἐκλάβοις, ἀλλὰ κατὰ τὴν θεοδο-



χὴν ἐπὶ τὸ θεοτικὸν πλησιασμόν. εἰ τοίνυν ἡ τῶν ἱερέων διακόσμησις ἐστὶν ἡ φωτιστική, παντελῶς ἀποπέπτωκε τῆς ἱερατικῆς τάξεως καὶ δυνάμεως ὁ μὴ φωτιστικός, ἢ πού γε μᾶλλον ὁ ἀφώτιστος. καὶ τολμηρὸς ἔμοιγε δοκεῖ τοῖς ἱερατικοῖς ὁ τοιοῦτος ἐγχειρῶν, καὶ οὐ δέδοικεν οὐδὲ αἰσχύνεται τὰ θεῖα παρὰ τὴν ἀξίαν διώκων καὶ οἰόμενος θεὸν ἀγνοεῖν, ἅπερ αὐτὸς ἑαυτῷ συνέγνωκεν, καὶ ἀπατᾶν νομίζει τὸν ψευδωνύμως ὑπ' αὐτοῦ πατέρα καλούμενον, καὶ τολμᾷ τὰς ἐναγεῖς αὐτοῦ δυσφημίας, οὐ γὰρ εἴποιμι προσευχάς, ἐπὶ τὰ θεῖα σύμβολα χριστοειδῶς ἐπιλέγειν. οὐκ ἔστιν οὗτος ἱερεύς, οὐκ ἔστιν. ἀλλὰ δυσμενὴς δόλιος ἐμπαίκτης ἑαυτοῦ. καὶ λύκος ἐπὶ τὸν θεῖον λαὸν τῷ κωδίῳ καθωπλισμένος. Ἀλλ' οὐ Δημοφίλῳ ταῦτα θεμιτὸν εὐθύνειν. εἰ γὰρ ἡ θεολογία δικαίως τὰ δίκαια κελεύει μεταδιώκειν. δίκαια δέ ἐστι μεταδιώκειν. ὅταν ἀπονέμειν ἐθέλοι τις ἑκάστῳ τὰ κατ' ἀξίαν δικαίως. τοῦτο πᾶσι μεταδιωκτέον, οὐ παρὰ τὴν ἑαυτῶν ἀξίαν ἢ τάξιν. ἐπεὶ καὶ ἀγγέλους δίκαιον ἀπονέμεσθαι τὰ κατ' ἀξίαν, καὶ ἀφορίζεσθαι. πλὴν οὐ πρὸς ἡμῶν ὦ Δημόφιλε. δι' αὐτῶν δὲ ἡμῖν ἐκ θεοῦ καὶ αὐτοῖς διὰ τῶν ἐπιπρουχόντων ἀγγέλων, καὶ ἁπλῶς εἰπεῖν ἐν πᾶσι τοῖς οὖσι διὰ τῶν πρώτων τοῖς δευτέροις ἀπονέμεται τὰ κατ' ἀξίαν ὑπὸ τῆς πάντων εὐτάκτου καὶ δικαιοτάτης προνοίας.

Οἱ μὲν οὖν καὶ ἄλλων ἐπαρχεῖν ὑπὸ θεοῦ ταχθέντες ἀπονεμέτωσαν, μεθ' ἑαυτοὺς καὶ τοῖς ὑπηκόοις τὰ κατ' ἀξίαν· Δημόφιλος δὲ λόγῳ καὶ θυμῷ καὶ ἐπιθυμίᾳ τὰ κατ' ἀξίαν ἀφοριζέτω, καὶ μὴ ἀδικείτω τὴν ἑαυτοῦ τάξιν· ἀλλ' ἐπαρχέτω τῶν ὑφειμένων ὁ ὑπερκείμενος λόγος.

Εἰ γὰρ ἐπ' ἀγορᾶς ἰδόντες οἰκέτην δεσπότῃ καὶ πρεσβυτέρῳ, νεώτερον ἢ καὶ υἱὸν πατρὶ διαλοιδορούμενον ἅμα καὶ ἐπιόντα, καὶ πληγὰς ἐπιθέντα, καὶ ἀσεβεῖν ἐδοκοῦμεν· εἰ μὴ τοῖς κρείττοσιν ἐπιδραμόντες, ἐβοηθήσαμεν· καίτοιγε ἴσως ἐκεῖνοι προηδίκηντο· πῶς οὐκ αἰσχυνθησόμεθα παρορῶντες ὑπὸ θυμοῦ καὶ ἐπιθυμίας ἀδικούμενον λόγον καὶ τῆς ἐκ θεοῦ δοθείσης ἀρχῆς ἐκβαλλόμενον· καὶ ἐν ἑαυτοῖς ἀσεβῆ καὶ ἄδικον ἀταξίαν, καὶ στάσιν καὶ ἀκοσμίαν, ἐγείροντες, εἰκότως ὁ μακάριος ἡμῶν ἐκ θεοῦ νομοθέτης οὐκ ἀξιοῖ τῆς ἐκκλησίας τοῦ θεοῦ προΐστασθαι, τὸν μὴ τοῦ ἰδίου οἴκου καλῶς ἤδη προεστηκότα· καὶ γὰρ ὁ τάξας ἑαυτὸν· καὶ ἕτερον τάξει, καὶ ὁ ἕτερον, καὶ οἶκον, καὶ ὁ οἶκον καὶ πόλιν, καὶ ὁ πόλιν καὶ ἔθνος· καὶ ἁπλῶς εἰπεῖν ὡς τὰ λόγιά φησιν· ὁ ἐν ὀλίγῳ πιστός· καὶ ἐν πολλῷ πιστός ἐστι· καὶ ὁ ἐν ὀλίγῳ ἄπιστος καὶ ἐν πολλῷ ἄπιστός ἐστιν.

Αὐτὸς μὲν οὖν ἐπιθυμίᾳ καὶ θυμῷ καὶ λόγῳ, τὰ κατ' ἀξίαν ἀφόριζε· σοὶ δὲ οἱ θεῖοι λειτουργοί· καὶ τούτοις οἱ ἱερεῖς· ἱεράρχαι δὲ τοῖς ἱερεῦσι, καὶ τοῖς ἱεράρ-



χαις, οἱ ἀπόστολοι· καὶ οἱ τῶν ἀποστόλων διάδοχοι· καὶ εἴπου τις καὶ ἐν ἐκείνοις τοῦ προσήκοντος ἀποσφαλείη· παρὰ τῶν ὁμοταγῶν ἁγίων ἐπανορθωθήσεται· καὶ οὐ περιγραφήσεται τάξις ἐπὶ τάξιν· ἀλλ' ἕκαστος ἐν τῇ τάξει αὐτοῦ καὶ ἐν τῇ λειτουργίᾳ αὐτοῦ ἔσται· τοσαῦτά σοι παρ' ἡμῶν ὑπὲρ τοῦ εἰδέναι καὶ δρᾶν τὰ ἑαυτοῦ· περὶ δὲ τῆς εἰς τὸν ἄνδρα ὡς φῄς ἀσεβῆ καὶ ἀλιτήριον ἀπανθρωπίας. οὐκ οἶδα πῶς κλαύσομαι τὸ σύντριμμα τοῦ ἀγαπητοῦ μου· τίνος γὰρ οἴει θεραπευτής, ὑφ' ἡμῶν ταχθῆναι· καὶ γὰρ εἰ μὴ τοῦ ἀγαθοῦ· πάντως σοῦ καὶ ἡμῶν ἀνάγκης σε εἶναι καὶ τῆς καθ' ἡμᾶς θεραπείας ὅλης ἀλλότριον· καὶ ὥρα σοι καὶ θεὸν ζητῆσαι καὶ ἱερέας ἑτέρους, καὶ παρ' ἐκείνοις θηριωθῆναι, καὶ μᾶλλον ἢ τελεσθῆναι καὶ εἶναι τῆς φίλης ἀπανθρωπίας ἀμείλικτον ὑπηρέτην.

Ἆρα γὰρ ἡμεῖς αὐτοὶ πρὸς τὸ πάντη ἅγιον ἀποτετελέσμεθα καὶ οὐ δεόμεθα τῆς θείας ἐφ' ἑαυτοῖς φιλανθρωπίας, ἢ τὴν διπλῆν ἁμαρτίαν ὡς τὰ λόγιά φησι· κατὰ τοὺς ἀσεβεῖς ἁμαρτάνομεν· οὐκ εἰδότες ἐν τίνι προσκόπτομεν· ἀλλὰ καὶ δικαιοῦντες ἑαυτοὺς καὶ οἰόμενοι βλέπειν· ἀληθῶς δὲ οὐ βλέποντες.

Ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ· καὶ ἔφριξα ἐγώ, καὶ διαπιστῶ ἐμαυτῷ, καὶ εἰ μὴ τοῖς σοῖς ἐνέτυχον· ὡς οὐκ ὤφελον, γράμμασιν· οὐκ ἂν ἔπεισαν· εἴπερ ἄλλοι μέ τινες περὶ σοῦ πείθειν

ἠξίουν ὅτι Δημόφιλος οἴεται τὸν ἀγαθὸν αὐτὸν πάντα θεόν· οὐκ εἶναι καὶ φιλάνθρωπον οὔτε ἑαυτὸν δεῖσθαι τοῦ ἐλεοῦντος, ἢ σώζοντος· ἀλλὰ καὶ τοὺς ἱερέας ἀποχειροτονεῖ, τοὺς ἠξιωμένους ἀγαθότητι φέρειν τὰ ἀγνοήματα τοῦ λαοῦ, καὶ εἰδότας· ὅτι καὶ αὐτοὶ περίκεινται ἀσθένειαν· ἀλλ' ὁ θεαρχικὸς ἱεροτελεστὴς ἑτέρως ἀποτορνεύεται· καὶ χωρὶς τῶν ἁμαρτωλῶν ὡς τὰ ἱερὰ λόγιά φησιν ἀφωρισμένος καὶ τῆς εἰς ἑαυτὸν ἀγάπης ἀπόδειξιν ποιεῖται τὴν τῶν προβάτων ἐπιμελεστάτην ποιμαντικήν· καὶ πονηρὸν μὲν ἀποκαλεῖ τὸν μὴ ἀφέντα τῷ συνοικέτῃ τὴν ὀφειλήν, μήτι μερικῶς μεταδόντα τῆς δωρηθείσης αὐτῷ παμπόλλης ἀγαθότητος· δίκαιοι δὲ τῶν οἰκείων ἀπολαύειν αὐτόν· ὅπερ ἀναγκαῖον εὐλαβηθῆναι καὶ ἐμὲ καὶ Δημόφιλον· καὶ γὰρ καὶ τοῖς εἰς ἑαυτὸν ἀσεβοῦσιν ἐν αὐτῷ τῷ πάσχειν ἄφεσιν προσάγειν παρὰ τοῦ πατρός, ἐπιτιμᾷ δὲ καὶ τοῖς μαθηταῖς· ὅτι καὶ ἀσεβείας ἀνηλεῶς ἠξίωσαν κρίναι τοὺς ἐκδεδιωκότας αὐτὸν Σαμαρείτας· τοῦτο δὴ τὸ μυριόλεκτόν σου τῆς θρασείας ἐπιστολῆς, ἄνω γὰρ καὶ κάτω θρυλλεῖς ὡς οὐχ ἑαυτόν· ἀλλὰ τὸν θεὸν ἐξεδίκησας διὰ κακίας θεὸν μοι τὸν ἀγαθόν. Ἄπαγε οὐκ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν ἀλλὰ καὶ ἄκακός ἐστι καὶ ἐλεήμων, οὐκ ἐρίσει· οὐδὲ κραυγάσει· καὶ αὐτὸς πραΰς· καὶ αὐτὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν ὥστε οὐκ ἀποδεξόμεθά

σου



σου τὰς ἀζήλους ὁρμάς· οὐδ' εἰ μυριάκις ἀναλαβοις τὸν Φινεὲς καὶ τὸν Ἠλίαν· ταῦτα γὰρ ἀκούοντα τὸν Ἰησοῦν οὐκ ἤρεσκον οἱ τοῦ πρᾳέος τότε καὶ ἀγαθοῦ πνεύματος ἀμέτοχοι μαθηταί.

Καὶ γὰρ καὶ ὁ θειότατος ἡμῶν ἱεροθέτης, ἐν πρᾳότητι διδάσκει τοὺς ἀντιδιατιθεμένους τῇ διδασκαλίᾳ θεοῦ· διδάσκεσθαι γὰρ οὐ τιμωρεῖσθαι χρὴ τοὺς ἀγνοοῦντας· ὥσπερ καὶ τυφλοὺς οὐ κολάζομεν· ἀλλὰ χειραγωγοῦμεν· σὺ δὲ καὶ ἀναβλέπειν ἐπὶ τὸ φῶς ἀρχόμενον ἄνδρα κατὰ τῆς κόρρης διδοὺς ἀπωθεῖς· καὶ μετὰ πολλῆς αἰδοῦς προσιόντα θρασέως ἀπελάκτιζες· τοῦτο δὴ τὸ πολλῆς φρίκης ἄξιον ὄν, ὁ Χριστὸς ἀγαθὸς ὤν, ἐπὶ τὰ ὄρη πλανώμενον ἐπιζητεῖ, καὶ ἀποφεύγοντα προσκαλεῖται· καὶ εὑρεθέντα μόλις ἐπὶ τῶν ὤμων αἴρει· μὴ παρακαλῶ, μὴ κακῶς οὕτω περὶ ἑαυτῶν βουλευώμεθα· μηδὲ εἰς ἑαυτοὺς ὠθῶμεν τὸ ξίφος· οἱ μὲν γὰρ ἀδικεῖν τινάς· ἢ τοὐναντίον εὐεργετεῖν ἐπιχειροῦντες ἐκείνοις μὲν οὐ πάντως ἔδρασαν ἅπερ ἠθέλησαν· ἑαυτοῖς δὲ κακίαν ἢ ἀγαθότητα συνοικήσαντες ἢ θείων ἀρετῶν, ἢ ἀπηνῶν ἔμπλεοι παθῶν ἔσονται.

Καὶ οὗτοι μὲν ἀγγέλων ἀγαθῶν ὀπαδοὶ καὶ ξυνοδοιπόροι· καὶ ἐνθάδε καὶ ἐκεῖ σὺν πάσῃ εἰρήνῃ καὶ ἐλευθερίᾳ πάντων κακῶν εἰς τὸν ἀεὶ ὄντα αἰῶνα τὰς μακαριωτάτας ἀποκληρώσονται λήξεις, καὶ μετὰ θεοῦ καὶ ἀεὶ ἔσονται τὸ πάντων ἀγαθῶν μέγιστον· οὗτοι δὲ ἀποπεσοῦνται τῆς θείας ἅμα καὶ τῆς

ἑαυτῶν εἰρήνης, καὶ ἐνθάδε καὶ μετὰ θάνατον ἅμα τοῖς
ἀνιέροις δαίμοσιν ἔσονται· οὗ δὴ ἕνεκα ἡμῖν ἡ πολ-
λὴ σπουδὴ μετὰ θεοῦ τοῦ ἀγαθοῦ γενέσθαι καὶ εἶναι
σὺν κυρίῳ πάντοτε καὶ μὴ τοῖς κακοῖς ἐκ τοῦ δι-
καιοτάτου, συναφορισθῆναι τὰ κατ' ἀξίαν ἐξ ἑαυ-
τῶν ὑπομένοντας· ὅπερ ἐγὼ πάντων μάλιστα φο-
βοῦμαι καὶ εὔχομαι εἶναι πάντων κακῶν ἀμέτο-
χος· καὶ εἰ βούλει καὶ θείας ὁράσεως ἁγίου τινὸς
ἀνδρὸς ἐπιμνησθήσομαι, καὶ μὴ γελάσῃς ἀληθῆ
γὰρ ἐρῶ. Γενόμενόν ποτε κατὰ τὴν κρήτην ὁ ἱερὸς
ἐξεναγώγησε κάρπος, ἀνὴρ καὶ εἴ τις ἄλλος διὰ πολ-
λὴν καθαρότητα νοῦ πρὸς θεοπτίαν ἐπιτηδειότατος·
καὶ γοῦν οὐδὲ ταῖς ἁγίαις τῶν μυστηρίων τελεταῖς ἐνε-
χείρει· μὴ πρότερον αὐτῷ κατὰ τὰς προτελείους
εὐχὰς ἱερᾶς καὶ εὐμενοῦς ὁράσεως ἐπιφαινομένης·
ἔλεγεν οὖν, ὅτι λελυπηκότος αὐτόν ποτε τῶν ἀπίστων
τινός· ἡ λύπη δὲ ἦν, ὅτι τῆς ἐκκλησίας ἐκεῖνός τινα
πρὸς τὸ ἄθεον ἀπεπλάνησεν· ἔτι τῶν ἱλαρίων ἡμε-
ρῶν αὐτοῦ τελουμένων· δέον ἀμφοτέρων ἀγαθο-
πρεπῶς ὑπερεύξασθαι καὶ θεὸν σωτῆρα συλλήπτο-
ρα λαβόντα· τὸν μὲν ἐπιστρέψαι· τὸν δὲ ἀγαθότητι
νικῆσαι καὶ μὴ διαλείπειν νουθετοῦντα διὰ βίου
παντὸς, ἄχρις οὗ τὸ σήμερον καὶ οὕτως ἐπὶ τὴν θεί-
αν αὐτοὺς ἀγαγεῖν γνῶσιν· ὡς ἂν ἤδη καὶ τῶν ἀμ-
φισβητηθέντων αὐτοῖς κρινομένων· καὶ τῶν ἀλόγως
θρασυνομένων ἐννόμῳ δίκῃ σωφρονεῖν ἀναγκα-
ζομένων· ἀλλ' ἐν ἑαυτῷ μὴ πρότερον τοῦτο παθών,



οὐκ οἶδ' ὅπως τότε πολλήν τινα δυσμένειαν καὶ τὴν
πικρίαν ἐντήξας, ἐκοιμήθη· κατέδαρθε μὲν οὕτω κα-
κῶς ἔχων· ἑσπέρα γὰρ ἦν· περὶ δὲ μέσας νύκτας, εἰώ-
θει γὰρ εἰς τόνδε τὸν καιρὸν αὐτὸς ἐφ' ἑαυτοῦ πρὸς τοὺς
θείους ὕμνους ἐγρηγορέναι· διανίσταται μὲν οὐδὲ τῶν
ὕπνων αὐτῷ πολλῶν γεγονότων καὶ ἀεὶ ἐγκοπτομένων·
ἔξω ταραχῆς παραπολαύσας· ἑστὼς δὲ ὅμως εἰς
τὴν θείαν ὁμιλίαν, οὐκ εὐαγῶς ἠνιᾶτο καὶ ἐδυσχέρε-
νεν· οὐκ εἶναι δίκαιον λέγων· ἐζῶεν ἄνδρες ἄθεοι,
καὶ διαστρέφοντες τὰς ὁδοὺς κυρίου τὰς εὐθείας, καὶ
ταῦτα λέγων, ἐδεῖτο τοῦ θεοῦ πρηστῆρί τινι τὰς ἀμ-
φοτέρων εἰσάπαξ ἀνηλεῶς ἀποπαῦσαι ζωάς. Ταῦ-
τα δὲ εἰπὼν ἔλεγεν δόξαι ἰδεῖν ἄφνω τὸν οἶκον ἐν
ᾧπερ ἑστήκει διασεισθέντα πρότερον ἐκ τῆς ὀροφῆς
εἰς δύο μέσον διαιρεθέντα· καί τινα πυρὰν πολύφω-
τον ἐπίπροσθεν ἑαυτοῦ· καὶ ταύτην ἐδόκει γὰρ λοι-
πὸν ὕπαιθρος ὁ τόπος, ἐκ τοῦ οὐρανίου χώρου μέχρις
αὐτοῦ καταφερομένην· τὸν δὲ οὐρανὸν αὐτὸν ἀναπε-
πταμένον καὶ ἐπὶ τοῦ νώτου τοῦ οὐρανοῦ τὸν Ἰησοῦν
ἀπείρων ἀνθρωποειδῶς αὐτῷ παρεστηκότων ἀγγέ-
λων, καὶ ταῦτα μὲν ἄνωθεν ὁρᾶσθαι καὶ αὐτὸν θαυ-
μάζειν· κάτω δὲ κύψας ὁ κάρπος ἰδεῖν ἔφη, καὶ τοὔ-
δαφος αὐτὸ πρὸς ἀφανές τι χάσμα καὶ σκοτει-
νὸν διερρηγμένον, καὶ τοὺς μὲν ἄνδρας ἐκείνους, οἷς
ἐπηρᾶτο πρὸ αὐτοῦ κατὰ τὸ στόμιον ἑστηκέναι τοῦ
χάσματος ὑποτρόμους ἐλεεινούς· ὅσον οὔπω κα-
ταφερομένους ὑπὸ τῆς τῶν οἰκείων ποδῶν ἀστα-

εἴδας· κἀντεῦθεν δὲ ἀπὸ τοῦ χάσματος ὄφεις ἀνέρπειν· καὶ περὶ τοὺς πόδας αὐτῶν ὑποκινουμένους· ποτὲ μὲν ἀποσύρειν· ἐπανειλουμένους ἅμα καὶ ἐπιβαροῦντας καὶ ἐπανέλκοντας· ποτὲ δὲ τοῖς ὀδοῦσιν, ἢ τοῖς οὐραίοις ὑποτύφοντας, ἢ ὑπογαργαλίζοντας, καὶ διὰ παντὸς εἰς τὸ χάσμα ἐμβάλλειν μηχανωμένους· εἶναι δὲ καὶ ἄνδρας τινὰς ἐν μέσῳ τοῖς ὄφεσιν· κατὰ τῶν ἀνδρῶν συνεπιτιθεμένους· διαδονοῦντας ἅμα καὶ ὑπωθοῦντας καὶ καταπαίοντας. Ἐδόκουν δὲ εἶναι πρὸς τὸ πεσεῖν ἐκεῖνοι· τὰ μὲν ἄκοντες, τὰ δὲ ἑκόντες· ὑπὸ τοῦ κακοῦ κατ' ὀλίγον βιαζόμενοι. ἔλεγεν δὲ ὁ Κάρπος ἑαυτὸν ἡδέσθαι κάτω βλέποντα· τῶν ἄνω δὲ ἀμελεῖν· δυσχεραίνειν δὲ καὶ ὀλιγωρεῖν ὅτι μὴ πεπτώκασιν ἤδη· καὶ τῷ πράγματι πολλάκις ἐπιθέμενον καὶ ἀδυνατήσαντα, καὶ ἀχθεσθῆναι καὶ ἐπαρᾶσθαι, καὶ ἀνανεύσαντα· μόλις ἰδεῖν μὲν αὖθις τὸν οὐρανὸν ὡς πρὶν καὶ πρότερον ἑωράκει· τὸν δὲ Ἰησοῦν ἐλεήσαντα τὸ γιγνόμενον· ἐξαναστῆναι τοῦ ὑπερουρανίου θρόνου καὶ ἕως αὐτῶν καταβάντα καὶ χεῖρα ἀγαθὴν ὀρέγειν· καὶ τοὺς ἀγγέλους αὐτῷ συνεπιλαμβανομένους· ἄλλον ἄλλοθεν ἀντέχεσθαι τοῖν ἀνδροῖν· καὶ εἰπεῖν τῷ Κάρπῳ τὸν Ἰησοῦν τῆς χειρὸς ἤδη προτεταγμένης· παῖε κατ' ἐμοῦ λοιπόν, ἕτοιμος γάρ εἰμι καὶ αὖθις ὑπὲρ ἀνθρώπων ἀνασωζομένων παθεῖν, καὶ προσφιλές μοι τοῦτο μὴ ἄλλων ἁμαρτανόντων ἀνθρώπων· πλήν, ὅρα εἰ καλῶς ἔχει σοι τὴν ἐν τῷ



χάσματι καὶ μετὰ τῶν ὄφεων μονὴν ἀνταλλάξασθαι τῆς μετὰ θεοῦ καὶ τῶν ἀγαθῶν καὶ φιλανθρώπων ἀγγέλων. ταῦτά ἐστιν ἅ, ἐγὼ ἀκήκοώς πιστεύω ἀληθῆ εἶναι.

Τίτῳ ἱεράρχῃ ἐρωτήσαντι δι' ἐπιστολῆς· τίς ὁ τῆς σοφίας οἶκος· τίς ὁ κρατήρ· καὶ τίνα τὰ βρώματα αὐτῆς καὶ τὰ πόματα.

Ὁ μὲν ἱερὸς Τιμόθεος· ὦ καλὲ Τίτε· οὐκ οἶδα εἴ τινος τῶν διεγνωσμένων μοι θεολογικῶν συμβόλων ἀπελήλυθεν ἀνήκοος· ἀλλ' ἐν τῇ συμβολικῇ θεολογίᾳ διευκρινησάμεθα πάσας αὐτῷ τὰς τῶν λογίων περὶ θεοῦ δοκούσας εἶναι τοῖς πολλοῖς τερατολογίας· καὶ γὰρ ἀτοπίαν δεινὴν ἐναπομόργνυνται ταῖς ἀτελέσι τῶν ψυχῶν ὁπόταν οἱ τῆς ἀπορρήτου σοφίας πατέρες, δηλαδὴ τινῶν κρυφίων καὶ ἀποτετολμημένων αἰνιγμάτων ἐκφαίνουσι τὴν θείαν καὶ μυστικὴν καὶ ἄβατον τοῖς βεβήλοις ἀλήθειαν· διὸ καὶ ἀπιστοῦμεν οἱ πολλοὶ τοῖς περὶ τῶν θείων μυστηρίων λόγοις· θεώμεθα γὰρ μόνον αὐτὰ διὰ τῶν προσπεφυκότων αὐτοῖς αἰσθητῶν συμβόλων.

Δεῖ δὲ καὶ ἀποδύντας αὐτὰ ἐφ' ἑαυτῶν γυμνὰ καὶ καθαρὰ γενόμενα ἰδεῖν· οὕτω γὰρ ἂν θεώμενοι, σεβασθείημεν πηγὴν ζωῆς εἰς ἑαυτὴν θεομένην, καὶ ἐφ' ἑαυτῆς ἑστῶσαν ὁρῶντες καὶ μίαν τινὰ δύναμιν, ἁπλῆν αὐτοκίνητον, αὐτοενέργητον· ἑαυτὴν οὐκ ἀπο

λείπουσαν. ἀλλὰ γνώσει πασῶν γνώσεων ὑπερέ
χουσαν. καὶ ἀεὶ δι' ἑαυτῆς ἑαυτὴν θεωμένην.

Χρῆναι γοῦν αὐτῷ τε καὶ ἄλλοις παρ' ἡμῶν ᾠήθημεν.
ὡς οἷόν τε ἦν ἀναπτύξαι τὰ παντοδαπὰ μορφώ
ματα. τῆς περὶ θεοῦ συμβολικῆς ἱεροπλαστίας,
τὰ γὰρ ἐκτὸς αὐτῆς ὁπόσης ἀναπέπλησται τῆς ἀ
πειθάνου καὶ πλασματώδους τερατείας. οἷον αὐ
μὲν τῆς ὑπερουσίου θεογονίας. γαστέρα θεοῦ σωμα
τικῶς θεὸν γεννῶσαν ἀναπλαττούσης. καὶ λόγον
εἰς ἀέρα χεόμενον. ἀπὸ καρδίας ἀνδρικῆς ἐξερευγο
μένης αὐτὸν, καὶ πνεῦμα ἐκπνεόμενον ἀπὸ στόμα
τος ἀναγραφούσης καὶ κόλπους θεογονικοὺς ἐναγ
καλιζομένοις θεὸν ἰησοῦν σωματοπρεπῶς ἡμῖν ἐξ
υμνούσης, ἢ φυτικῶς ταῦτα διαπλαττούσης, καὶ
δένδρα τινὰ καὶ βλαστοὺς, καὶ ἄνθη, καὶ ῥίζας προ
βαλλομένης, ἢ πηγὰς ὑδάτων ἀναβλυζούσας, ἢ
ἀπαυγάσματα φωσαγωγικὰς φωτογονίας, ἢ
ἄλλας τινὰς ὑπερουσίων, ἢ θεολογιῶν ἐκφαντορι
κὰς ἱερογραφίας.

Ἐπὶ δὲ τῶν νοητῶν τοῦ θεοῦ προνοιῶν, ἢ δωρεῶν, ἢ ἐκ
φάνσεων, ἢ δυνάμεων, ἢ ἰδιοτήτων, ἢ λήξεων, ἢ μο
νῶν, ἢ προόδων, ἢ διακρίσεων, ἢ ἑνώσεων. ἀνδρο
πλαστίαν τῷ θεῷ, καὶ θηρίων, καὶ ζώων ἄλλων καὶ
φυτῶν, καὶ λίθων ποικιλομορφίαν περιπλαττού
σης, καὶ κόσμους αὐτῷ γυναικείους, ἢ βαρβαρικὰς
ὁπλοποιίας περιτιθείσης, καὶ κεραμείαν καὶ χωνευ
τήριον ὡς ἂν βαναύσῳ τινὶ προστιθείσης, καὶ ἵππους



αὐτῷ καὶ ἅρματα καὶ θρόνους ὑποστρωννυούσης. καὶ
δίαιτας τινὰς ὀψοποιικὰς ἀποσκευαζούσης, καὶ πε
πωκότα καὶ μεθύοντα καὶ ὑπνώττοντα, καὶ κραιπα
λῶντα διαπλαττούσης. τί ἄν τις εἴποι τὰς ὀργάς.
τὰς λύπας. τοὺς παντοδαποὺς ὅρκους. τὰς μετα
μελείας. τὰς ἀράς. τὰς μήνιδας. τὰ πολυειδῆ καὶ
λοξὰ τῆς ἁμαρτίας τῶν ἐπαγγελιῶν σοφίσμα
τα. τὴν ἐν τῇ γενέσει γιγαντομαχίαν. καθ' ἣν ἐπιβου
λεύειν ἐκ φόβου λέγεται τοῖς δυνατοῖς ἐκείνοις
ἀνδράσιν, καὶ ταῦτα τὴν οἰκοδομὴν οὐκ ἐπ' ἀδι
κίᾳ τινῶν ἑτέρων. ἀλλ' ὑπὲρ σωτηρίας τῆς ἑαυτῶν
μεμηχανημένοις. καὶ τὸ συμβούλιον ἐκεῖνο τὸ
κατ' οὐρανὸν ἀπὸ δόλῳ καὶ ἀπάτῃ τοῦ ἀχαάβ
σκευαζόμενον. καὶ τὰς τῶν ᾀσμάτων προσύλους
καὶ ἑταιρικὰς πολυπαθείας, καὶ ὅσα ἄλλα τῆς
πάντα τολμώσης ἐπὶ θεοπλαστίας ἱερὰ συνθήμα
τα φαινόμενα τῶν κρυφίων προβεβλημένα καὶ πε
πληθυσμένα, καὶ μεριστὰ τῶν ἑνιαίων καὶ ἀμερί
στων. τυπωτικὰ καὶ πολύμορφα τῶν ἀμορφώτων
καὶ ἀτυπώτων. ὧν εἴ τις ἰδεῖν δυνηθείη τὴν ἐντὸς
ἀποκεκρυμμένην εὐπρέπειαν, εὑρήσει μυστικὰ
καὶ θεοειδῆ πάντα, καὶ πολλοῦ τοῦ θεολογικοῦ
φωτὸς ἀναπεπλησμένα.

Μὴ γὰρ οἰώμεθα τὰ φαινόμενα τῶν συνθημάτων ὑ
πὲρ ἑαυτῶν ἀναπεπλάσθαι. προβεβλῆσθαι δὲ
τῆς ἀπορρήτου καὶ ἀθεάτου τοῖς πολλοῖς ἐπι
στήμης ὡς μὴ τοῖς βεβήλοις εὐχείρωτα εἶναι τὰ

πανίερα· μόνοις δὲ ἀνακαλύπτεσθαι τοῖς τῆς ὁσιότητος γνησίοις ἐρασταῖς· ὡς πᾶσαν τὴν παιδαριώδη φαντασίαν ἐπὶ τῶν ἱερῶν συμβόλων ἀποσκευαζομένοις· καὶ ἱκανοῖς διαβαίνειν ἁπλότητι νοῦ, καὶ θεωρητικῆς δυνάμεως ἐπιτηδειότητι· πρὸς τὴν ἁπλῆν καὶ ὑπερφυῆ καὶ ὑπεριδρυμένην τῶν συμβόλων ἀλήθειαν. ἄλλως τε καὶ τοῦτο ἐννοῆσαι χρή· τὸ διττὴν εἶναι τὴν τῶν θεολόγων παράδοσιν· τὴν μὲν ἀπόρρητον καὶ μυστικήν· τὴν δὲ ἐμφανῆ καὶ γνωριμωτέραν· καὶ τὴν μὲν συμβολικὴν καὶ τελεστικήν· τὴν δὲ φιλόσοφον καὶ ἀποδεικτικήν, καὶ συμπέπλεκται τῷ ῥητῷ τὸ ἄρρητον· καὶ τὸ μὲν πείθει καὶ καταδεῖται τῶν λεγομένων τὴν ἀλήθειαν· τὸ δὲ δρᾷ καὶ ἐνιδρύει τῷ θεῷ ταῖς ἀδιδάκτοις μυσταγωγίαις· καὶ μήν· οὐδὲ κατὰ τὰς τῶν ἁγιωτάτων μυστηρίων τελετὰς οἱ τῆς καθ᾽ ἡμᾶς, ἢ τῆς νομικῆς παραδόσεως ἱερομύσται τῶν θεοπρεπῶν ἀπέσχοντο συμβόλων· ἀλλὰ καὶ τοὺς πανιερωτάτους ἀγγέλους δι᾽ αἰνιγμάτων τὰ θεῖα μυστικῶς προάγοντας ὁρῶμεν· καὶ αὐτὸν Ἰησοῦν ἐν παραβολαῖς θεολογοῦντα· καὶ τὰ θεουργὰ μυστήρια παραδιδόντα διὰ τυπικῆς τραπεζώσεως.

Καὶ γὰρ ἦν εἰκὸς οὐ μόνον ἄχραντα τοῖς πολλοῖς ἀποσώζεσθαι τὰ ἅγια τῶν ἁγίων ἀλλὰ καὶ αὐτὴν τὴν ἀνθρωπίνην ζωὴν ἀμέριστον ἅμα καὶ μεριστὴν ὑπάρχουσαν, οἰκείως ἑαυτῇ τὰς θείας ἐλλάμπεσθαι γνώσεις.



Καὶ τὸ μὲν ἀπαθὲς τῆς ψυχῆς, εἰς τὰ ἁπλᾶ καὶ ἐνδότατα τῶν θεοειδῶν ἀγαλμάτων ἀφωρίσθαι θεάματα· τὸ παθητικὸν δὲ αὐτῆς συμφυῶς θεραπεύειν ἅμα καὶ ἀνατείνειν ἐπὶ τὰ θειότατα, τοῖς προμεμηχανημένοις τῶν τυπικῶν συμβόλων ἀναπλασμοῖς, ὡς συγγενῆ τὰ τοιαῦτα πέφυκεν παραπετάσματα, καὶ δηλοῦσιν ὅσοι καὶ προκαλυμμάτων ἐκτὸς θεολογίας σαφοῦς ἀκηκοότες· ἐν ἑαυτοῖς ἀναπλάττουσι τύπον τινὰ πρὸς τὴν νόησιν αὐτοὺς τῆς εἰρημένης θεολογίας χειραγωγοῦντα.

Καὶ αὐτὴ δὲ τοῦ φαινομένου παντὸς ἡ κοσμουργία· τῶν ἀοράτων τοῦ θεοῦ προβέβληται· καθά φησιν ὅ τε Παῦλος καὶ ὁ ἀληθὴς λόγος, διὸ καὶ οἱ θεολόγοι, τὰ μὲν πολιτικῶς καὶ ἐννόμως ἐπισκοποῦσι· τὰ δὲ καθαρτικῶς καὶ ἀχράντως, καὶ τὰ μὲν ἀνθρωπικῶς καὶ μέσως· τὰ δὲ ὑπερκοσμίως καὶ τελεσιουργικῶς· καὶ ποτὲ μὲν ἀπὸ τῶν νόμων τῶν φαινομένων· ποτὲ δὲ ἀπὸ τῶν ἀφανῶν θεσμῶν κατὰ τὸ προσῆκον τοῖς ὑποκειμένοις ἱεροῖς πράγμασι καὶ νοῖς καὶ ψυχαῖς· οὐ γὰρ ἱστορίαν ψιλὴν ἀλλὰ ζωτικὴν ἔχει τελείωσιν· ὁ προσκείμενος ἅπας τε καὶ διὰ πάντων λόγος.

Χρὴ τοίνυν καὶ ἡμᾶς, ἀντὶ τῆς δημώδους περὶ αὐτῶν ὑπολήψεως, εἴσω τῶν ἱερῶν συμβόλων ἱεροπρεπῶς διαβαίνειν καὶ μηδὲ ἀτιμάζειν αὐτὰ τῶν θείων ὄντα χαρακτήρων ἔκγονα καὶ ἀποτυπώματα, καὶ εἰκόνας ἐμφανεῖς τῶν ἀπορρήτων καὶ ὑπερφυ

ὧν θεαμάτων. καὶ γὰρ οὐ μόνον τὰ ὑπερούσια φῶτα καὶ τὰ νοητὰ, καὶ ἁπλῶς τὰ θεῖα τοῖς τυπικοῖς διαποικίλλεται συμβόλοις· ὡς πῦρ ὁ ὑπερούσιος θεὸς λεγόμενος, καὶ τὰ νοητὰ τοῦ θεοῦ λόγια πεπυρωμένα· προσέτι δὲ καὶ τῶν νοητῶν ἅμα καὶ νοερῶν ἀγγέλων οἱ θεοειδεῖς διάκοσμοι ποικίλαις μορφαῖς διαγράφονται καὶ πολυειδέσιν, καὶ ἐμπυρίοις σχηματισμοῖς· καὶ ἄλλως χρὴ τὴν αὐτὴν τοῦ πυρὸς εἰκόνα κατὰ τὸ ὑπερνόητον θεοῦ λεγομένην ἐκλαβεῖν, ἄλλως δὲ κατὰ τῶν νοητῶν αὐτοῦ προνοιῶν ἢ λόγων· καὶ ἄλλως ἐπὶ τῶν ἀγγέλων· καὶ τὴν μὲν κατ' αἰτίαν, τὴν δὲ καθ' ὕπαρξιν, τὴν δὲ κατὰ μέθεξιν· καὶ ἄλλα ἄλλως ὡς ἡ κατ' αὐτὰ θεωρία καὶ ἐπιστημονικὴ διάταξις ὁροθετεῖ. καὶ μὴ ὡς ἔτυχεν τὰ ἱερὰ σύμβολα συμφύρειν· ἀλλὰ προσηκόντως αὐτὰ ταῖς αἰτίαις, ἢ ταῖς ὑπάρξεσιν, ἢ ταῖς δυνάμεσι, ἢ ταῖς τάξεσιν, ἢ ταῖς ἀξίαις ἀναπτύσσειν, ὧν καὶ ἐστὶν ἐκφαντορικὰ συνθήματα. καὶ ὅπως μὴ πόρρω τοῦ δέοντος ἀποστέλλοιμεν, ἐπ' αὐτὴν ἤδη τὴν προτεθεῖσαν ὑφ' ἡμῶν ζήτησιν ἰτέον. καὶ λέγομεν ὅτι πᾶσα τροφὴ τελεσιουργός ἐστι τῶν τρεφομένων, τὴν ἀτέλειαν αὐτῶν καὶ τὴν ἔνδειαν ἀποπληροῦσα, καὶ τὸ ἀσθενὲς θεραπεύουσα, καὶ τὴν ζωὴν αὐτῶν φρουροῦσα καὶ ἀναθάλλειν ποιοῦσα καὶ ἀνανεάζουσα καὶ ζωτικὴν αὐτοῖς συμπάθειαν δωρουμένη, καὶ ἁπλῶς τοῦ ἀνιῶντος καὶ τοῦ ἀτελοῦς



ἐλάτειρα, καὶ τῆς εὐφροσύνης αὐτῶν καὶ τῆς τελειότητος χορηγός.

Καλῶς οὖν ἡ ὑπέρσοφος καὶ ἀγαθὴ σοφία πρὸς τῶν λογίων ὑμνεῖται κρατῆρα μυστικὸν ἱστῶσα. καὶ τὸ ἱερὸν αὐτοῦ πόμα προχέουσα. μᾶλλον δὲ πρὸ τούτων τὰς στερεὰς τροφὰς προτιθεῖσα, καὶ μετὰ ὑψηλοῦ κηρύγματος αὐτὴ τῶν δεομένων αὐτῆς ἀγαθοπρεπῶς ἐφιεμένη.

Διττὴν οὖν τὴν τροφὴν ἡ θεία σοφία προτίθεισιν. τὴν μὲν στερεὰν καὶ μόνιμον. τὴν δὲ ὑγρὰν καὶ προχεομένην καὶ ἐπὶ κρατῆρι χορηγεῖ τὰς προνοητικὰς αὐτῆς ἀγαθότητας.

Ὁ μὲν οὖν κρατὴρ περιφερὴς ὢν καὶ ἀναπεπτασμένος, σύμβολον ἔστω τῆς ἀνηπλωμένης ἅμα καὶ ἐπὶ πάντα περιπορευομένης. ἀνάρχου καὶ ἀτελευτήτου τῶν ὅλων προνοίας.

Ἀλλ' ἐπειδὴ καὶ ἐπὶ πάντα προϊοῦσα. μένει ἐν ἑαυτῇ καὶ ἕστηκεν ἐν ἀκινήτῳ ταυτότητι καὶ παντελῶς ἀνεκφοιτήτῳ.

Ἑαυτῆς ἱδρυμένη μονίμως καὶ ἀραρότως αὐτός τε κρατὴρ ἕστηκεν.

Οἰκοδομοῦσα δὲ καὶ ἡ σοφία οἶκον ἑαυτῇ λέγεται, καὶ ἐν αὐτῷ καὶ τὰς στερεὰς τροφὰς καὶ τὰ πόματα. καὶ τὸν κρατῆρα προτιθεμένη ὡς εἶναι τοῖς τὰ θεῖα θεοπρεπῶς συμβάλλουσι. δῆλον ὅτι καὶ πρόνοια παντελής ἐστιν ὁ τοῦ εἶναι καὶ εὖ εἶναι τὰ

πάντα αἴτιος, καὶ ἐπὶ πάντα πρόεισι· καὶ ἐν τῷ παν-
τὶ γίγνεται· καὶ περιέχει τὰ πάντα· καὶ αὖθις ὁ αὐ-
τὸς ἐν τῷ αὐτῷ καθ' ὑπεροχὴν, οὐδὲν ἐν οὐδενί καὶ
οὐδέν ἐστιν· ἀλλ' ἐξῄρηται τῶν ὅλων· αὐτὸς ἐν αὐτῷ
ταυτῶς καὶ ἀϊδίως ὢν, καὶ ἑστηκὼς καὶ μένων καὶ
ἀεὶ κατὰ ταὐτὰ καὶ ὡσαύτως ἔχων· καὶ οὐδαμῶς
ἔξω αὐτοῦ γιγνόμενος· οὐδὲ τῆς οἰκείας ἕδρας καὶ
ἀκινήτου μονῆς καὶ ἑστίας ἀπολειπόμενος· ἀλλὰ
καὶ ἐν αὐτῇ τὰς ὅλας καὶ παντελεῖς προνοίας ἀ-
γαθουργῶν καὶ προϊὼν ἐπὶ πάντα· καὶ μένων ἐφ'
ἑαυτοῦ· καὶ ἑστὼς ἀεὶ καὶ κινούμενος· καὶ οὔτε ἑ-
στὼς, οὔτε κινούμενος· ἀλλ' ὡς αὐτός φαίη τὰς προνοη-
τικὰς ἐνεργείας ἐν τῇ μονιμότητι· καὶ τὴν μονὴν ἐν
τῷ προνοεῖν συμφυῶς ἅμα καὶ ὑπερφυῶς ἔχων.

Ἀλλὰ τίς ἡ στερεὰ τροφὴ καὶ τίς ἡ ὑγρά· ταύτας γὰρ
ἡ ἀγαθὴ σοφία δωρεῖσθαι ἅμα καὶ προνοεῖν ὑμνεῖ-
ται. Τὴν μὲν οὖν στερεὰν τροφὴν σύνθημα φέρειν
οἴομαι τῆς νοερᾶς καὶ μονίμου τελειότητος καὶ ταυ-
τότητος, καθ' ἣν τὰ θεῖα κατὰ ἑστῶσαν καὶ δυνατὴν
καὶ ἑνιαίαν ἀδιαίρετον γνῶσιν μετέχεται πρὸς τῶν
νοερῶν αἰσθητηρίων ἐκείνων· οἷς ὁ θειότατος Παῦ-
λος ἐκ τῆς σοφίας εἰληφὼς τῆς ὄντως στερεᾶς τρο-
φῆς μεταδίδωσι.

Τὴν δὲ ὑγρὰν τῆς διαχυτικῆς ἅμα καὶ ἐπὶ πάντα
προϊέναι σπευδούσης ἀπορροῆς· καὶ ἔτι διὰ ποικί-
λων καὶ πολλῶν καὶ μεριστῶν· ἐπὶ τὴν ἁπλῆν καὶ
ἀτρεμῆ θεογνωσίαν τοὺς τρεφομένους οἰκείως αὐ-



τοῖς ἀγαθότητα χειραγωγούσης· διὸ καὶ δρόσῳ
καὶ ὕδατι τὰ θεῖα καὶ νοητὰ λόγια, καὶ γάλακτι,
καὶ οἴνῳ καὶ μέλιτι παρεικάζεται· διὰ τὴν ζωογό-
νον αὐτῶν ὡς ἐν ὕδατι δύναμιν, καὶ αὐξητικὴν ὡς
ἐν γάλακτι· καὶ ἀναζωτικὴν ὡς ἐν οἴνῳ καὶ καθαρ-
τικὴν ἅμα καὶ φρουρητικὴν ὡς ἐν μέλιτι· ταῦτα γὰρ
ἡ θεία σοφία δωρεῖται τοῖς προσιοῦσιν ἀφθόνων
αὐτοῖς· καὶ ἀνεκλειπτῶν εὐωχιῶν ἐπιρροίαν χορη-
γοῦσα καὶ ὑπερβλύζουσα· τοῦτο δὴ τὸ ἀληθῶς εὐω-
χεῖν καὶ διὰ ταῦτα ζωοποιὸς ἅμα καὶ κουροτρό-
φος, καὶ ἀνανεωτικὴ καὶ τελεσιουργὸς ὑμνουμένη.

Κατὰ ταύτην δὲ τὴν ἱερὰν τῆς εὐωχίας ἀνάπτυξιν.
καὶ αὐτὸς ὁ πάντων ἀγαθῶν αἴτιος θεὸς μεθύειν
λέγεται διὰ τὴν ὑπερπλήρη καὶ ὑπερνόησιν τῆς εὐω-
χίας, ἢ κυριώτερον εἰπεῖν εὐοχίας, τοῦ θεοῦ παντε-
λῆ καὶ ἄφατον ἀμετρίαν, ὡς γὰρ ἐφ' ἡμῶν κατὰ
τὸ χεῖρον ἡ μέθη καὶ ἀσύμμετρος ἀποπλήρωσίς
ἐστι, καὶ νοῦ καὶ φρενῶν ἔκστασις, οὕτω κατὰ τὸ
κρεῖττον ἐπὶ θεοῦ τὴν μέθην οὐκ ἄλλο τι χρὴ διανο-
εῖσθαι παρὰ τὴν ὑπερπλήρη κατ' αἰτίαν προϋπού-
σαν ἐν αὐτῷ πάντων τῶν ἀγαθῶν ἀμετρίαν· ἀλλὰ
καὶ τὴν ἐπακολουθοῦσαν τῇ μέθῃ· τοῦ φρονεῖν ἔκ-
στασιν, τὴν ὑπεροχὴν τοῦ θεοῦ τὴν ὑπερνόησιν οἰητέ-
ον· καθ' ἣν ἐξῄρηται τοῦ νοεῖν ὑπὲρ τὸ νοεῖν ὤν, καὶ
ὑπὲρ τὸ νοεῖσθαι, καὶ ὑπὲρ αὐτὸ τὸ εἶναι, καὶ ἁπλῶς
ἁπάντων ὅσα ἐστὶν ἀγαθὰ μεμεθυσμένος ἅμα
καὶ ἐξεστηκὼς ἐστὶν ὁ θεὸς ὡς πάντων αὐτῶν ἅμα

καὶ ὑπερπλήρης ὤν, ἀμετρίας πάσης ὑπερβολῇ, καὶ αὖθις ἔξω καὶ ἐπέκεινα τῶν ὅλων ἀφωρισμένος.

Α πὸ δὴ τούτων ὁρμώμενοι καὶ τὰ ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ τῶν ὁσίων συμπόσια. κατὰ τὸν αὐτὸν ἐκληψόμεθα τρόπον. παρελθὼν γάρ φησιν αὐτὸς ὁ βασιλεὺς κατακλινεῖ αὐτοὺς, καὶ αὐτὸς διακονήσει αὐτοῖς.

Ε μφαίνει δὲ ταῦτα κοινήν τινα καὶ ὁμονοητικὴν τῶν ἁγίων ἐπὶ τοῖς θείοις ἀγαθοῖς κοινωνίαν, καὶ ἐκκλησίαν πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς καὶ πνεύματα δικαίων πᾶσιν ἀγαθοῖς τετελειωμένα. καὶ πάντων ἀγαθῶν ἀποπεπλησμένα.

Καὶ τὴν ἀνάκλισιν ἀνάπαυλαν οἰόμεθα, τῶν πολλῶν πόνων, καὶ ζωὴν ἀπήμονα. καὶ πολιτείαν ἔνθεον. ἐν φωτὶ καὶ χώρᾳ ζώντων. ἁπάσης εὐπαθείας ἱερᾶς ἀναπεπλησμένην. καὶ παντοδαπῶν καὶ μακαρίων ἀγαθῶν ἄφθονον χορηγίαν καθ' ἣν εὐφροσύνης ἁπάσης ἀναπίμπλανται.

Τ ούτου δὴ τοῦ εὐφραίνοντος ἰησοῦ καὶ ἀνακλίνοντος αὐτοὺς καὶ διακονοῦντος, καὶ τὴν αἰωνίαν ἀνάπαυλαν δωρουμένου καὶ τὴν ἀποπλήρωσιν τῶν καλῶν διανέμοντος ἅμα καὶ ἐπιρρέοντος.

Ε πιζητήσεις δὲ εὖ οἶδα καὶ τὸν εὐφημούμενον ὕπνον τοῦ θεοῦ, καὶ τὴν ἐγρήγορσιν ἀναπτυχθῆναι, καὶ ὅταν φῶμεν θεῖον μὲν ὕπνον εἶναι. τὸ ἐξῃρημένον τοῦ θεοῦ καὶ ἀκοινώνητον. ἀπὸ τῶν προνοουμένων. ἐγρήγορσιν δὲ τὴν εἰς τὸ προνοεῖν αὐτοῦ τῶν παιδείας ἢ σω-



τηρίας δεομένων προσοχήν.

Ε π' ἄλλα δὲ θεολογικὰ σύμβολα μετελεύσῃ. διὸ καὶ περιττὸν οἰηθέντες εἶναι τὸ τὰ αὐτὰ τοῖς αὐτοῖς ἐπανακυκλοῦντας ἕτερα δοκεῖν λέγειν. ἅμα δὲ καὶ ὑμᾶς εἰς τὰ καλὰ πείθεσθαι συνεγνωκότες, τὰ μὲν τῆς ἐπιστολῆς ἄχρι τῶν εἰρημένων ἀποπαύομεν, ἐκτετικότες ὡς οἶμαι καὶ πολλαπλάσια τῶν ἐν τοῖς ἡμετέροις γράμμασιν ἐπωφλημένων.

Α ὐτὴν δὲ ὅλην ἡμῶν τὴν συμβολικὴν θεολογίαν ἀποστέλλομεν. καθ' ἣν εὑρήσεις μετὰ τοῦ τῆς σοφίας οἴκου, καὶ τοὺς στύλους τοὺς ἑπτὰ διευκρινημένους, καὶ τὴν στερεὰν αὐτῆς τροφὴν, εἰς θύματα καὶ ἄρτους διῃρημένην, καὶ τίς ἡ τοῦ οἴνου κρᾶσις. καὶ αὖθις τε, τίς ἡ ἀπὸ τῆς μέθης τοῦ θεοῦ κραιπάλη. καὶ αὐτὰ δὲ τὰ νῦν εἰρημένα διεξοδικώτερον ἐν αὐτῇ διήρθρωται, καὶ ἔστιν ὡς οἶμαι πασῶν τῶν συμβολικῶν θεολογιῶν εὑρετὴς ἀγαθὴ, καὶ συμβαίνουσα ταῖς τῶν λογίων ἱεραῖς παραδόσεσι καὶ ἀληθείαις.

Ἰωάννῃ θεολόγῳ ἀποστόλῳ καὶ εὐαγγελιστῇ περιορισθέντι κατὰ πάτμον τὴν νῆσον.

Προσαγορεύω σε τὴν ἱερὰν ψυχὴν ἠγαπημένε· καὶ ἔστι μοι τοῦτο πρὸς σὲ παρὰ τοὺς πολλοὺς ἰδιαίτερον. χαῖρε ἀληθῶς ἠγαπημένε τῷ ὄντως ἐραστῷ καὶ ἐφετῷ καὶ ἀγαπητῷ, λίαν ἠγαπημένε. τί θαυμαστὸν εἰ χριστὸς ἀληθεύει. καὶ τοὺς μαθητὰς οἱ ἄδικοι τῶν πόλεων ἐξελαύνουσιν. αὐτοὶ τὰ κατ' ἀξίαν ἑαυτοῖς ἀπονέμοντες καὶ τῶν ἁγίων οἱ ἐναγεῖς ἀποδιαστελλόμενοι καὶ ἀποφοιτῶντες. ἀληθῶς ἐμφανεῖς εἰκόνες εἰσὶ τὰ ὁρατὰ τῶν ἀοράτων. οὐδὲ γὰρ ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις αἴτιος ἔσται τῶν ἐξ αὐτοῦ δικαίων ἀφορισμῶν ὁ θεός. ἀλλ' οἱ τοῦ θεοῦ παντελῶς ἑαυτοὺς ἀφορίσαντες. ὥσπερ καὶ θατέρους ὁρῶμεν ἐντεῦθεν ἤδη μετὰ τοῦ θεοῦ γιγνομένους. ἐπειδὴ ἀληθείας ὄντες ἐρασταὶ τῆς προσπαθείας μὲν ἀναχωροῦσι τῶν ὑλικῶν, ἐν πάσῃ δὲ πάντων κακῶν ἐλευθερίᾳ καὶ ἔρωτι θείῳ τῶν ἀγαθῶν ἁπάντων εἰρήνην ἀγαπῶσι καὶ τὸν ἁγιασμὸν κἀκ τῆς παρούσης ζωῆς ἀπάρχονται τῆς μελλούσης ἀγγελοπρεπῶς ἐν μέσῳ ἀνθρώπων ἐμπολιτευόμενοι. ξὺν ἀπαθείᾳ πάσῃ καὶ θεωνυμίᾳ καὶ ἀγαθότητι. καὶ τοῖς ἄλλοις ἀγαθοῖς. ὑμᾶς μὲν οὖν οὐκ ἄν ποτε οὕτω μανείην ὡς ἡγήσασθαί τι πάσχειν. ἀλλὰ καὶ τὰ σώματος πάθη κατὰ μόνον τὸ κρίνειν

κρίνειν



κρίνειν αὐτὰ διαισθάνεσθαι πιστεύω. τοὺς δὲ ἀδικοῦντας ὑμᾶς καὶ περιορίζειν οἰομένους. οὐκ ὀρθῶς τὸν τοῦ εὐαγγελίου ἥλιον ἐνδίκως αἰτιώμενος, εὔχομαι τούτων ἀφιεμένοις. ὧν ἐφ' ἑαυτοὺς δρῶσιν ἐπὶ τἀγαθὸν τρέπεσθαι. καὶ πρὸς ἑαυτοὺς ὑμᾶς ἐφελκύσασθαι. καὶ μεταλαβεῖν τοῦ φωτός. ἡμᾶς δὲ οὐδὲ τοὐναντίον ἀποστερήσει τῆς ἰωάννου παμφαοῦς ἀκτῖνος. νῦν μὲν ἐντρυζομένους τῇ μνήμῃ καὶ ἀνανεώσει τῆς σῆς ἀληθοῦς θεολογίας. μικρὸν δὲ ὕστερον. ἐρῶ γάρ, εἰ καὶ τολμηρὸν ὑμῖν αὐτοῖς ἑνωθησομένοις. ἀξιόπιστος δὲ πάντως εἰμὶ τὰ προεγνωσμένα σοι καὶ μαθὼν ἐκ θεοῦ καὶ λέγων ὅτι καὶ τῆς ἐν πάτμῳ φυλακῆς ἀφεθήσῃ. καὶ εἰς τὴν ἀσιάτιδα γῆν ἐπανήξεις. καὶ δράσεις ἐκεῖ τοῦ ἀγαθοῦ θεοῦ μιμήματα. καὶ τοῖς μετὰ σὲ παραδώσεις.

Τέλος τῶν δέκα ἐπιστολῶν τοῦ ἁγίου διονυσίου.

Πολυκράτους διαδόχου ἀρχιεπισκόπου ἐφέσου ἐκ τῆς ἐπιστολῆς τῆς πρὸς βίκτορα τὸν διάδοχον καὶ ἀρχιεπίσκοπον τῆς μεγάλης ῥώμης.

Καὶ γὰρ κατὰ τὴν ἀσίαν μεγάλα στοιχεῖα κεκοίμηνται. ἅτινα ἀναστήσεται τῇ ἐσχάτῃ ἡμέρᾳ, τῆς παρουσίας τοῦ κυρίου ἐν ᾗ ἔρχεται μετὰ δόξης. ἐξ οὐρανοῦ καὶ ἀναζητήσει πάντας τοὺς ἁγίους. φίλιπ-

πον ὄντα τῶν δώδεκα ἀποστόλων· ὅς κεκοίμηται ἐν ἱερᾷ πόλει· καὶ δύο θυγατέρες αὐτοῦ γεγηρακυῖαι παρθένοι· καὶ ἡ ἑτέρα αὐτοῦ θυγάτηρ ἐν ἁγίῳ πνεύματι πολιτευσαμένη ἐν ἐφέσῳ ἀναπέπαυται. ἔτι δὲ καὶ ἰωάννης ὁ ἐπὶ τὸ στῆθος ἰησοῦ ἀναπεσών, ὅς ἐγενήθη ἱερεὺς τὸ πέταλον πεφορηκώς, καὶ μάρτυς καὶ διδάσκαλος· οὗτος ἐν ἐφέσῳ κεκοίμηται.

## Κλήμεντος πρεσβυτέρου ἀλεξανδρείας ἡγουμένου τῆς σχολῆς ἐκ τοῦ ἐπιγεγραμμένου αὐτῷ λόγου τίς ὁ σωζόμενος πλούσιος.

Ἵνα δὲ ἐπιθαρρήσῃς· οὕτω μετανοήσας ἀληθῶς ὅτι σοὶ μένει σωτηρίας ἐλπὶς ἀξιόχρεως ἄκουσον οὐ μῦθον ἀλλὰ ὄντα λόγον περὶ ἰωάννου τοῦ ἀποστόλου παραδεδομένον καὶ μνήμῃ πεφυλαγμένον.

Ἐπειδὴ γὰρ τοῦ τυράννου τελευτήσαντος ἀπὸ πάτμου τῆς νήσου μετῆλθεν ἐπὶ τὴν ἔφεσον· ἀπῄει παρακαλούμενος· καὶ ἐπὶ τὰ πλησιόχωρα τῶν ἐθνῶν· ὅπου μὲν ἐπισκόπους καταστήσων· ὅπου δὲ ὅλας ἐκκλησίας ἁρμόσων· ὅπου δὲ κλῆρον· ἕνα τέ τινα κληρώσων τῶν ὑπὸ τοῦ πνεύματος σημαινομένων ἐλθὼν οὖν ἐπί τινα τῶν οὐ μακρὰν πόλεων· ἧς καὶ τοὔνομα λέγουσιν ἔνιοι· καὶ τὰ ἄλλα ἀναπαύσας τοὺς ἀδελφοὺς ἐπὶ πᾶσι τῷ καθεστῶτι προσβλέψας ἐπισκόπῳ νεανίσκον ἱκανὸν τῷ σώματι καὶ τὴν ὄψιν ἀστεῖον καὶ θερμὸν τὴν ψυχήν· ἰδών· τοῦτον ἔφη σοὶ παρακατατίθεμαι, μετὰ πάσης σπουδῆς ἐπὶ τῆς ἐκκλησίας καὶ τοῦ χριστοῦ μάρτυρος· τοῦ δὲ δεχομένου καὶ πάντα ὑπισχνουμένου· καὶ πάλιν τὰ αὐτὰ διελέγετο, καὶ διεμαρτύρατο.

Εἶτα ὁ μὲν ἀπῆρεν ἐπὶ τὴν ἔφεσον· ὁ δὲ πρεσβύτερος ἀναλαβὼν οἴκαδε τὸν παραδοθέντα νεανίσκον ἔτρεφεν· συνεῖχεν· ἔθαλπεν· τὸ τελευταῖον· ἐφώτισεν· καὶ μετὰ τοῦτο ὑφέστη· καὶ τῆς πλείονος ἐπιμελείας καὶ παραφυλακῆς, ὡς τέλειον αὐτῷ φυλακτήριον ἐπιστήσας τὴν σφραγῖδα τοῦ κυρίου.

Τῷ δὲ ἀνέσεως πρὸ ὥρας λαβομένῳ· προσφθείρονταί τινες ἥλικες ἀργοὶ καὶ ἀπερρωγότες, ἠθάδεις κακῶν· καὶ πρῶτον μὲν δι᾽ ἑστιάσεων πολυτελῶν ἐπάγονται αὐτόν, εἶτα που καὶ νύκτωρ· ἐπὶ λωποδυσίαν ἐξιόντες, συνεπάγονται· εἶτα τι καὶ μεῖζον συμπράττειν ἠξίουν· ὁ δὲ κατ᾽ ὀλίγον προσεθίζετο· καὶ διὰ μέγεθος φύσεως, ἐκστάς, ὥσπερ ἄστομος καὶ εὔρωστος ἵππος ὀρθῆς ὁδοῦ· καὶ τὸν χαλινὸν ἐνδακὼν μειζόνως κατὰ τῶν βαράθρων ἐφέρετο· ἀπογνοὺς δὲ τελέως τὴν ἐν θεῷ σωτηρίαν, οὐδὲν ἔτι μικρὸν διενοεῖτο· ἀλλὰ μέγα τι πράξας, ἐπειδήπερ ἅπαξ ἀπολώλει ἴσα τοῖς ἄλλοις παθεῖν ἠξίου· αὐτοὺς δὲ τούτους ἀναλαβὼν καὶ λῃστήριον συγκροτήσας ἕτοιμος λῄσταρχος ἦν, βιαιότατος καὶ χαλεπώτατος· χρόνος ἐν μέσῳ, καί τινος ἐμπεσούσης χρείας· ἀνακαλοῦσι τὸν ἰωάννην· ὁ

δὲ ἐπὶ τὰ ἄλλα ὧν χάριν ἥκεν κατεστήσατο. ἄγε δὴ ἔφη ὦ ἐπίσκοπε τὴν παραθήκην ἀπόδος ἡμῖν. ἣν ἐγώ τε καὶ ὁ χριστός σοι παρεκατεθέμεθα ἐπὶ τῆς ἐκκλησίας ἧς προκαθέζῃ μάρτυρος.

Ο δὲ τὸ μὲν πρῶτον ἐξεπλάγη χρήματα οἰόμενος ἅπερ οὐκ ἔλαβεν συκοφαντεῖσθαι. καὶ οὔτε πιστεύειν εἶχεν ὑπὲρ ὧν οὐκ εἶχεν οὔτε ἀπιστεῖν ἰωάννῃ.

Ως δὲ τὸν νεανίσκον εἶπεν ἀπαιτῶ καὶ τὴν ψυχὴν ἀδελφοῦ στενάξας κάτωθεν ὁ πρεσβύτης. καὶ ἔτι καὶ ἐπιδακρύσας ἐκεῖνος ἔφη τέθνηκεν. πῶς καὶ πότε καὶ τίνα θάνατον. θεῷ τέθνηκεν εἶπεν. ἀπέβη γὰρ πονηρὸς καὶ ἐξώλης καὶ τὸ κεφάλαιον λῃστής. καὶ νῦν ἀντὶ τῆς ἐκκλησίας τὸ ὄρος προκατείληφεν μεθ' ὁμοίου στρατιωτικοῦ. καταρρηξάμενος δὲ ὁ ἀπόστολος τὴν ἐσθῆτα καὶ μετὰ μεγάλης οἰμωγῆς πληξάμενος τὴν κεφαλὴν καλόν γε ἔφησε φύλακα τῆς τἀδελφοῦ ψυχῆς κατέλειπον. ἀλλ' ἵππος ἤδη μοι παρέστω καὶ ἡγεμὼν γενέσθω μοί τις τῆς ὁδοῦ. ἤλαυνεν ὥσπερ εἶχεν αὐτόθεν ἀπὸ τῆς ἐκκλησίας. ἐλθὼν δὲ εἰς τὸ χωρίον ὑπὸ τῆς φυλακῆς τῶν λῃστῶν ἁλίσκεται μήτε φεύγων μήτε παραιτούμενος ἀλλὰ βοῶν ἐπὶ τοῦτο ἐλήλυθα. ἐπὶ τὸν ἄρχοντα ὑμῶν ἀγάγετέ με. ὅς τέως ὥσπερ ὥπλιστο ἀνέμενεν. ὡς δὲ προσιόντα ἐγνώρισεν τὸν ἰωάννην εἰς φυγὴν αἰδεσθεὶς ἐτρέπετο. ὁ δὲ ἐδίωκε κατὰ κράτος ἐπιλαθόμενος τῆς ἑαυτοῦ ἡλικίας κεκραγὼς τί με φεύγεις τὸν σεαυτοῦ πατέρα. τὸν γυμνὸν τὸν γέροντα ἐλέησόν με τέκνον. μὴ φοβοῦ ἔχεις ἔτι ζωῆς ἐλπίδα. ἐγὼ χριστῷ δώσω λόγον ὑπὲρ σοῦ ἂν δέῃ τὸν σὸν θάνατον ἑκὼν ὑπομενῶ, ὡς ὁ κύριος τὸν ὑπὲρ ἡμῶν ὑπὲρ σοῦ τὴν ψυχὴν ἀντιδώσω τὴν ἐμήν. στῆθι πίστευσον χριστός με ἀπέστειλεν. ὁ δὲ ἀκούσας. πρῶτον μὲν ἔστη κάτω βλέπων εἶτα ἔρριψεν τὰ ὅπλα. εἶτα τρέμων ἔκλαιεν πικρῶς. προσελθόντα δὲ τὸν γέροντα περιέλαβεν καὶ ἀπολογούμενος ταῖς οἰμωγαῖς ὡς ἐδύνατο καὶ τοῖς δάκρυσιν βαπτιζόμενος ἐκ δευτέρου μόνον ἀποκρύπτων τὴν δεξιάν. ὁ δὲ ἐγγυώμενος ἐπομνύμενος ὡς ἄφεσιν αὐτῷ παρὰ τοῦ πατρὸς ηὕρηται δεόμενος γονυπετῶν αὐτὴν τὴν δεξιὰν ὡς ὑπὸ τῆς μετανοίας κεκαθαρμένην καταφιλῶν ἐπὶ τὴν ἐκκλησίαν ἐπανήγαγεν. καὶ δαψιλέσιν εὐχαῖς ἐξαιτούμενος. συνεχέσι δὲ νηστείαις συναγωνιζόμενος. ποικίλαις δὲ ῥήσεσι λόγων κατεπᾴδων αὐτοῦ τὴν γνώμην οὐ πρότερον ἀπῆλθεν ὥς φασι πρὶν αὐτὸν ἀποκαταστῆσαι τῇ ἐκκλησίᾳ διδοὺς μέγα παράδειγμα μετανοίας ἀληθινῆς καὶ μέγα γνώρισμα παλιγγενεσίας τρόπαιον ἀναστάσεως βλεπομένης.

Ταύτης τῆς ἱστορίας μέμνηται εὐσέβιος ὁ παμφίλου. καὶ ἰωάννης ἐπίσκοπος κωνσταντινουπόλεως ὁ χρυσόστομος.

## Φίλωνος περὶ τῶν ἐκ περιτομῆς πιστευσάντων ἐν αἰγύπτῳ χριστιανῶν ἅμα καὶ μοναχῶν ἐκ τοῦ ἐπιγεγραμμένου λόγου αὐτῷ περὶ βίου θεωρητικοῦ· περὶ ἱκετῶν.

Πολλαχοῦ μὲν οὖν τῆς οἰκουμένης ἐστὶ τὸ γένος· ἔδει γὰρ ἀγαθοῦ τελείου μετασχεῖν καὶ τὴν ἑλλάδα καὶ τὴν βάρβαρον. πλεονάζει δὲ ἐν αἰγύπτῳ καθέκαστον τῶν ἐπικαλουμένων νομῶν· καὶ μάλιστα περὶ τὴν ἀλεξάνδρειαν. οἱ δὲ πανταχόθεν ἄριστοι καθάπερ ἐς πατρίδα θεραπευτῶν ἀποικίαν στέλλονται πρός τι χωρίον ἐπιτηδειότατον· ὅπερ ἐστὶν ὑπὲρ λίμνης μαρίας κείμενον ἐπὶ γεωλόφου χαμαλεωτέρου σφόδρα εὐκαίρως· ἀσφαλίας γε ἕνεκα καὶ ἀέρος εὐκρασίας.

### Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου.

Ἐν ἑκάστῃ δὲ οἰκίᾳ ἐστὶν οἴκημα ἱερὸν ὃ καλεῖται σεμνεῖον καὶ μοναστήριον ἐν ᾧ μονούμενοι τὰ τοῦ σεμνοῦ βίου μυστήρια τελοῦνται μηδὲν ἐσκομίζοντες μὴ ποτὸν μὴ σιτίον μηδέ τι τῶν ἄλλων ὅσα πρὸς τὰς τοῦ σώματος χρείας ἀναγκαῖα· ἀλλὰ νόμους καὶ λόγια θεσπισθέντα διὰ τῶν προφητῶν καὶ ὕμνους καὶ τὰ ἄλλα οἷς ἐπιστήμη καὶ εὐσέβεια συναύξεται καὶ τελειοῦται.

### Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου.

Τὸ δὲ ἐξ ἑωθινοῦ μέχρις ἑσπέρας διάστημα σύμπαν αὐτοῖς ἐστιν ἄσκησις· ἐντυγχάνοντες γὰρ τοῖς ἱεροῖς γράμμασι φιλοσοφοῦσι τὴν πάτριον φιλοσοφίαν ἀλληγοροῦντες· ἐπειδὴ σύμβολα τὰ τῆς ῥητῆς ἑρμηνείας νομίζουσιν ἀποκεκρυμμένης φύσεως ἐν ὑπονοίαις δηλουμένοις. ἔστι δὲ αὐτοῖς καὶ συγγράμματα παλαιῶν ἀνδρῶν οἳ τῆς αἱρέσεως αὐτῶν ἀρχηγέται γενόμενοι πολλὰ μνημεῖα τῆς ἐν τοῖς ἀλληγορουμένοις ἰδέας ἀπολειπόμενοι καθάπερ τισὶν ἀρχετύποις χρώμενοι μιμοῦνται τῆς προαιρέσεως τὸν τρόπον.

### Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου.

Ὥστε οὐ θεωροῦσι μόνον ἀλλὰ καὶ ποιοῦσιν ᾄσματα καὶ ὕμνους ἐς τὸν θεὸν διὰ παντοίων μέτρων καὶ μελῶν ἀριθμοῖς σεμνοτέροις ἀναγκαίως χαράσσοντες.

### Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου.

Ἐγκράτειαν δὲ ὥσπερ τινὰ θεμέλιον προκαταβαλλόμενοι τῇ ψυχῇ τὰς ἄλλας ἐποικοδομοῦσιν ἀρετάς· σιτίον ἢ ποτὸν οὐδεὶς ἂν αὐτῶν προσενέγκατο πρὸ ἡλίου δύσεως· ἐπεὶ τὸ μὲν φιλοσοφεῖν ἄξιον φωτὸς κρίνουσιν εἶναι σκότους δὲ τὰς τοῦ σώματος ἀνάγκας. ὅθεν τῷ μὲν ἡμέραν τοῖς δὲ νυκτὸς

βραχύ τι μέρος ἔνειμαν. ἔνιοι δὲ καὶ διὰ τριῶν ἡμερῶν ὑπομιμνήσκονται τροφῆς, οἷς πλείων ὁ πόθος ἐπιστήμης ἐνίδρυται. τινὲς δὲ οὕτως ἐνευφραίνονται καὶ τρυφῶσιν ὑπὸ σοφίας ἑστιώμενοι πλουσίως καὶ ἀφθόνως τὰ δόγματα χορηγούσης, ὡς καὶ διπλασίονα χρόνον ἀντέχειν καὶ μόλις δι' ἓξ ἡμερῶν ἀπογεύεσθαι τροφῆς ἀναγκαίας ἐθισθέντες.

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου.

Ε ἰσὶν δὲ καὶ γυναῖκες θεραπευτρίδες, ὧν αἱ πλεῖσται γηραλέαι παρθένοι τυγχάνουσι, τὴν ἁγνείαν οὐκ ἀνάγκῃ καθάπερ ἔνιαι τῶν παρ' ἕλλησιν ἱερειῶν φυλάττουσαι μᾶλλον ἢ καθ' ἑκούσιον γνώμην διὰ ζῆλον καὶ πόθον σοφίας, ᾗ συμβιοῦν σπουδάσασαι τῶν περὶ τὸ σῶμα ἡδονῶν ἠλόγησαν, οὐ θνητῶν ἐγγόνων ἀλλ' ἀθανάτων ὀρεχθεῖσαι, ἃ μόνη τίκτειν ἐφ' ἑαυτῆς οἵα τέ ἐστιν ἡ θεοφιλὴς ψυχή.

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου.

Α ἱ δὲ ἐξηγήσεις τῶν ἱερῶν γραμμάτων γίνονται αὐτοῖς δι' ὑπονοιῶν ἐν ἀλληγορίαις. ἅπασα γὰρ ἡ νομοθεσία δοκεῖ τοῖς ἀνδράσι τούτοις ἐοικέναι ζώῳ, καὶ σῶμα μὲν ἔχειν τὰς ῥητὰς διατάξεις, ψυχὴν δὲ τὸν ἐναποκείμενον ταῖς λέξεσιν ἀόρατον νοῦν, ὃν ἤρξατο διαφερόντως τῇ οἰκείᾳ αὐγῇ θεωρεῖν ὡς διὰ κατόπτρου τῶν ὀνομάτων ἐξαίσια κάλλη νοημάτων ἐμφαινόμενα κατιδοῦσα.

Μ έμνηται τούτου καὶ εὐσέβιος ὁ παμφίλου. τινὲς δέ φασι ταῦτα τὸν φίλωνα περὶ τῶν κοινῶν ἰουδαίων εἰπεῖν, ἄλλοι περὶ ἐσσηνῶν ἐβιωναίων, ἄλλοι περὶ ναζωραίων ἰουδαίων, ἄλλοι περὶ τῶν ἐκ περιτομῆς πιστῶν καὶ πεπιστευκότων εἰς χριστὸν καὶ φυλασσόντων τὸν νόμον μωσέως ἰουδαϊκῶς. ἄλλοι περὶ τελείων χριστιανῶν, οἵας δὲ ἦσαν αἱρέσεως μοναχικὸν ζῶντες βίον θεραπευταὶ ἐκ τούτου ὠνομάζοντο. οὐ μόνον δὲ εὐσέβιος ὁ παμφίλου καὶ φίλων ὁ ἰουδαῖος, ἀλλὰ καὶ ὁ μακάριος διονύσιος ὁ ἀρεοπαγίτης ὁ μαθητὴς τοῦ ἁγίου παύλου τοῦ ἀποστόλου ὁ γενόμενος ἐπίσκοπος ἀθηνῶν ἐν τῷ περὶ τῆς ἐκκλησιαστικῆς ἱεραρχίας τοὺς μοναχοὺς ἔφη τὸ παλαιὸν καὶ θεραπευτὰς ὀνομάζεσθαι

λείπει ἐνταῦθά τι.

# ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΔΙΟ/ΝΥΣΙΟΥ ΑΡΕΟΠΑΓΙΤΟΥ.

Μετὰ τὴν μακαρίαν καὶ ἐνδοξοτά/
την ἀνάστασιν τοῦ κυρίου καὶ θεοῦ
μ ἡμῶν ἰησοῦ χριστοῦ καὶ τὴν τοῦ ἀ/
ληθινοῦ θεοῦ ἀνδρικοῦ αὐτοῦ ναοῦ
ὑπὸ ἰουδαϊκῆς παρανομίας ὡς αὐ
τὸς εἶπεν διαλύειν καθότι ἑαυτοῦ
θεία ἐξουσία τριήμερος ἐκ νεκρῶν ἐγήγερται.

Ε τι δὲ καὶ μετὰ τὴν ἐκ τῆς ἡμετέρας ταπεινώσεως ἑ/
αυτῷ κατὰ σάρκα ὑπεράνω πάσης οὐρανίου στρα
τιᾶς καὶ ἐπάνω πάσης ἀγγελικῆς τάξεως ὕψωσιν
καὶ ἀνάβασιν καθ᾽ ἣν τῷ θεῷ καὶ πατρὶ ἑαυτὸν ἰδίῳ
θελήματι προσήνεγκεν.

Ε τι δὲ καὶ μετὰ τὴν μεθ᾽ ἡμέρας διὰ τῆς ἁγίας αὐτοῦ
ἀναλήψεως ἐν τοῖς ἁγίοις ἀποστόλοις τοῦ ἁγίου
αὐτοῦ πνεύματος ἔκχυσιν καθ᾽ ἣν ἐξουσίαν εἰλήφα
σιν δῆσαι καὶ λῦσαι καὶ ταῖς ἁγίαις αὐτοῦ ἐκκλησί
αις ἄρχοντας προέδρους προστήσασθαι καθὼς προ
ώρισεν πρὸ τοῦ τὸν κόσμον γενέσθαι.

Μ ετὰ καιροὺς τῆς γενέσεως πόλεως ῥώμης ἐν ἔτει ὀγ
δοεικοστῷ ὀγδόῳ. ἀπολαβομένου τὴν ἀρχὴν νέρω/
νος καίσαρος πέμπτου, πέμπτου αὐτοῦ ὄντος ἀπὸ
αὐγούστου. ὁ μακάριος πέτρος ὁ ἀπόστολος μετὰ καὶ
τῶν ἑτέρων ἀποστόλων ἀποσταλέντες κηρύξαι τὸ εὐ
αγγέλιον πάσῃ τῇ οἰκουμένῃ. αὐτὸς μεθ᾽ ἱκανὰ ἔτη

τοῦ αὐτοῦ κηρύγματος τὴν ὑψηλοτάτην ῥωμαίων
βασιλεύουσαν ῥώμην καταλαβὼν κἀκεῖσε κηρύ
ξαι οὐρανόθεν ἐνεπιστεύθη· ἵνα ὡς κορυφαῖος τῶν ἁγί
ων ἀποστόλων ἐν τῇ τάξει τῆς ἀποστολῆς γεγονὼς
πρῶτος ἐν ῥώμῃ γίνεται· ἐν τοῖς ἀγῶσι, συμμέτο
χος τῶν τοῦ χριστοῦ παθημάτων καὶ γὰρ ἡ πόλις ὡς
μεγάλοις συνεχομένη σφάλμασιν μείζοσιν ἔχρη
ζεν πρὸς τοῖς διορθωθῆναι· ἵνα οὗ ἦν ἡ πληγὴ βαρυτά
τη· ἐκεῖ γένηται καὶ ἡ χάρις μεγάλη· εἶτα καθὼς
εἴρηται ὁ τύραννος καὶ ἀσεβὴς νέρων τὴν γῆν καὶ
τὴν θάλασσαν οἰόμενος καθυποτάξαι τῇ ἑαυτοῦ
τυραννίδι· ὀργῇ ἀπηνείας ἑαυτοῦ καὶ ἰταμότητι μα
νίας λυσσήσας· κατὰ τῶν δούλων τοῦ χριστοῦ ἐξήφθη·
καὶ ἐν τῷ τεσσαρεσκαιδεκάτῳ ἔτει τῆς αὐτοῦ τυ
ραννικῆς αὐτοκρατορίας τοὺς μακαρίους πέτρον,
καὶ παῦλον ἀδίκῳ θανάτῳ κατεδίκασεν διὰ ἐκχύ
σεως τοῦ μακαρίου αὐτῶν αἵματος· καὶ διὰ νίκης
μαρτυρίου ἀξίως καὶ ὡς ἄκων προπέμψας αὐτοὺς
εἰς τὴν τῶν οὐρανῶν βασιλείαν· ὅμως πρὸ τοῦ τὸν
μακάριον πέτρον διὰ τῆς νίκης τοῦ μαρτυρίου
καταξιωθῆναι τῆς ἐν τῇ τῶν οὐρανῶν βασιλείᾳ σὺν
διαγωγῆς τῷ μακαρίῳ κλήμεντι τὴν ἐξουσίαν τῆς
ἐκκλησίας παρέθετο λέγων ὥσπερ παρὰ τοῦ κυρίου
μου ἰησοῦ χριστοῦ λῦσαι καὶ δῆσαι ἐμοὶ δεδώρηται
ἐξουσία· οὕτω καὶ τὴν αὐτὴν ἐξουσίαν αἰωνίως δω
ροῦμαί σοι καὶ δίδωμι· ἵνα ὃ ἂν δήσῃς ἐπὶ τῆς γῆς·
ἔσται δεδεμένος ἐν τοῖς οὐρανοῖς.



Τ αύτην τὴν ἐξουσίαν πεπληρωμένην τοῖς μετέπει
τα τελείοις καὶ ἀξίοις ἐν ταῖς ἐκκλησίαις προελθεῖν
καταλέλειπεν κλῆρον· περὶ μὲν τούτων ἐκ τῆς ἀ
κολουθίας τοῦ κατ' ἐκεῖνο καιροῦ τῆς ἀποστο
λικῆς ἐκκλησίας ἐν ὀλίγῳ διηγησάμενοι ἐπὶ τοὺς τοῦ
μακαρίου διονυσίου ἀγῶνας μετενέγκω τὸν λό
γον ἵνα καθὼς λέλεκται ἐκ τῆς τῶν χρόνων ἀκο
λουθίας περὶ αὐτοῦ ὀλίγα διεξέλθωμεν.

Μ ετὰ τὴν τοῦ κυρίου καὶ θεοῦ ἡμῶν ἰησοῦ χριστοῦ ἔν
δοξοτάτην ἀνάληψιν ὅτε ὁ μακάριος ἀπόστολος
παῦλος διὰ τῆς χάριτος τοῦ ἁγίου πνεύματος
ἀπὸ τῆς πλάνης τῆς ἀπιστίας εἰς ὁδὸν σωτηρίας
ἐπέστρεψεν ὥστε πίστιν ἣν πρώην ἐπολέμησεν· ἐν ἐ
σχάτοις πεπληρωμένην ἐνδόξῃ κηρύξαι· καὶ κατὰ
τὴν τοῦ κυρίου διάταξιν σκεῦος ἐκλογῆς γένηται
ἐν τοῖς ἔθνεσιν.

Τ ότε γὰρ τότε κηρύττων τὸ ὄνομα τοῦ κυρίου ἡμῶν
ἰησοῦ χριστοῦ τοῖς ἀγνοοῦσιν ἔθνεσιν παρεγένετο
ἐν ἀθήναις· κἀκεῖσε καὶ τὸν ἅγιον ἄνδρα τουτονὶ
διονύσιον ἐθνικοῖς ἔθεσι πρώην ἐμπλεχόμενον· εἰς
ὁδὸν σωτηρίας ὁδηγήσας ἐπέστρεψεν· καὶ τῷ ἱερῷ
βαπτίσματι ἀναγεννήσας θείᾳ ἁγιωσύνῃ αὖθις ἐ
στερέωσεν· τότε δὴ ὅτε τὰς ἀκάνθας καὶ τριβόλους
τῆς πλάνης ἐκ τοῦ βυθοῦ τῆς καρδίας αὐτοῦ διὰ
τῆς χάριτος τοῦ ἁγίου πνεύματος ἀπέτεμεν· καὶ
καρπὸν καὶ νέον βλάστημα ὡς ἐν τῇ ἀγαθῇ γῇ
ἀποδιδόμενον θείῳ λόγῳ καὶ τῇ ἐντεῦθεν θεωρίᾳ

ἀνέδειξεν· ὅτι δὲ καὶ οἱ χριστοῦ στρατιῶται ὁσημέ-
ραι τῷ θείῳ ἔρωτι φλεγόμενοι πανταχόσε ἔθεον τῆς
θείας χάριτος ἄνωθεν αὐτοῖς συμπροπεμπομένης·
τότε καὶ ὁ μακάριος οὑτοσὶ διονύσιος τῷ τοῦ σταυ-
ροῦ ἀρότρῳ τὴν θάλασσαν διατεμών· ἀπὸ ἀθηνῶν
τὴν ῥώμην κατέλαβεν οὐρανίῳ καὶ θείῳ θελήματι
ὡς ὑπὸ θεοῦ ἠγαπημένος.

Εἰσελθὼν δὲ καὶ εὑρὼν τὸν μακάριον κλήμεντα ὡς
ἀνωτέρω εἴρηται τὴν τῆς ἀποστολικῆς καθέδρας ἔ-
χοντα ἐξουσίαν· μετὰ τῆς καθηκούσης τιμῆς εὐθέως
ὡς οἷόν τε ἦν ὑποδέδεκται· καὶ ἐν αὐτῷ τῷ καιρῷ
ὅτι ὁ μακάριος ἀνὴρ διονύσιος τοῦ μακαρίου κλή-
μεντος τοῖς ἴχνεσιν προσήγγισεν καὶ τῇ ἀποστολι-
κῇ ἁγιωσύνῃ ἑαυτὸν ἐμπαρέθετο διδάσκαλος καὶ
αὐτὸς ἀποφανθεὶς καὶ τρόπῳ τῷ πρέποντι διδα-
σκάλῳ ὑπὸ τοῦ ἁγίου κλήμεντος τιμηθεὶς καὶ ἀ-
ξίαν παρ' αὐτοῦ καὶ οἰκειοτάτην τιμὴν ὡς παρὰ
θεοῦ εἰληφὼς χάριν ἐκομίσατο· καὶ ἐν ὅσῳ θεὸς ὁ
παντοδύναμος τῷ μακαρίῳ διονυσίῳ ζωαρκεῖν ἐπι
ἐδωρήσατο ἕως ἡμῶν αὐτὸν πᾶσιν ἐπ' εὐσεβείᾳ φα-
νερώσας· καὶ ὁ ἅγιος κλήμης τότε φίλιππόν τινα
ἱσπανίας ἐπίσκοπον προεστήσατο καὶ τὴν ἐξουσίαν
ἣν αὐτὸς ὁ θεῖος κλήμης ἀπὸ τοῦ μακαρίου πέ-
τρου ἔλαβεν δέδωκεν αὐτῷ λέγων· πορευθεὶς ἐν
τοῖς μέρεσι τῆς δύσεως κήρυξον τὸ εὐαγγέλιον
τῆς βασιλείας τῶν οὐρανῶν καὶ δῆσαι καὶ λῦσαι
ἔστω σοι ἐξουσία· ἵνα τοῦ χριστοῦ τὸ εὐαγγέλιον καὶ



διά σου εἰς μῆκος καὶ πλάτος ἐκχυθῇ ὅπως πα-
ρὰ τοῦ κυρίου ὡς πιστὸς δοῦλος ἀξιωθῇς ἀκοῦσαι
εὖ δοῦλε ἀγαθὲ καὶ πιστὲ ἐπὶ ὀλίγων ἧς πιστὸς ἐπὶ
πολλῶν σε καταστήσω εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυ-
ρίου σου· κοινωνοὶ δὲ τοῦ ἁγίου διονυσίου ἦσαν· σα-
τουρνῖνος· μάρκελλος· καὶ λουκιανὸς σὺν αὐτῷ ὄν-
τες ἵνα ἐκ στόματος δύο καὶ τριῶν μαρτύρων ἡ
τῶν χριστιανῶν πίστις τοῖς ἀγνοοῦσι μέρεσι παρα-
δοθῇ.

Τούτων δὲ ὁμοῦ συνελθόντων καὶ πορευομένων, ἦλ-
θον εἰς λιμένα ἀριλαδὴ τῆς πόλεως.

Τότε ὁ ἅγιος διονύσιος· μάρκελλον εἰς ἱσπανίαν ἀ-
πέστειλεν ἵνα τὸν λόγον τῆς ζωῆς ταῖς ἐκκλησί-
αις τοῦ χριστοῦ παραθήσῃ· αὐτὸς δὲ ὁ ἅγιος διονύσι-
ος τῇ τοῦ ἁγίου πνεύματος θέρμῃ ἀναφθεὶς καὶ
ἀποστολικῇ πληρωθεὶς ἐξουσίᾳ ἄνωθεν παρὰ τοῦ ἁ-
γίου πνεύματος σὺν τῷ ἁγίῳ κλήμεντι θεῖα λό-
για κατασπεῖραι τοῖς ἔθνεσιν ἐδέξατο πίστει διε-
νειμεν πᾶσι τοῖς ἑσπερίοις μέρεσιν· τὴν σκληρότη-
τα δὲ τῶν ἀπείρων ἐκεῖσε ἐθνῶν μὴ δεδοικὼς μηδὲ
τῆς ἀσεβείας τοῦ λαοῦ φοβηθεὶς προῆλθεν ἐπὶ τὸ
κήρυγμα τὸ τοῦ μακαρίου ἀρχηγοῦ τῶν ἀποστό-
λων στερεωθεὶς πνεύματι τοῦ ἐν ῥώμῃ γενομένου
καὶ δοθέντος τοῖς ἀπίστοις πρὸς τιμωρίαν· καὶ ὅτε
ἀπὸ τῆς γαλλίας ὑποστρέψας ἐπὶ πλεῖω τοῖς ἐθνι-
κοῖς ἔθεσιν ἀναφθεῖσαν ἔγνω τὴν πλάνην τῆς χώ-
ρας ἐκείνης· τότε θείᾳ σκέπῃ χρηματισθεὶς δυνα-

τὸς καὶ ἀληθινὸς ἀπεδείχθη. συῤῥίψας ἑαυτὸν
τοῖς ἀγῶσιν ἵνα ὡς ἄξιος ὑπάρχων ὁμολογίας καὶ
πληρώσεως γενέσθαι μὴ φοβηθῇ καὶ μάρτυς.

A κοιτανίας δὲ τοῖς μέρεσι τὸν ἅγιον ἀντωνῖνον ἀ-
πεστείλας αὐτὸς σὺν τῷ ἁγίῳ λουκιανῷ καὶ τῷ ἁ-
γίῳ ῥουστικῷ καὶ τῷ ἁγίῳ ἐλευθερίῳ ἐν παρησίᾳ
τῇ πόλει ἐπορεύθη. ὁ ἅγιος δὲ λουκιανὸς πρεσβυ-
τερικῇ τιμῇ τετιμημένος εἰς τὴν βελβακενσαίνα
ἀπεστάλη πόλιν καὶ αὐτὸς ὁμοίως τοῖς ἀπίστοις
λαοῖς τὸ εὐαγγέλιον τῆς ἀληθείας παραθήσῃ. αὐ-
τὸς δὲ ὁ ἅγιος διονύσιος ἐν τῇ παρησίᾳ διέμεινεν,
ἥτις πόλις καθ' μακρὰ ἦν, ἀλλ' οὖν ἐθνικῆς πλάνης
καὶ μιασμοῦ ὑπῆρχεν ἔμπλεος. ἄλλως προγέγρα-
πται ἡ καὶ μεγάλης ὑπῆρχεν ἐθνικῆς πλάνης πε-
πληρωμένη καὶ μεμιασμένη. ἀλλὰ καρποφόρος
ἦν καὶ δένδροις κεκοσμημένη. ἀμπέλοις δὲ καὶ
βότρυσιν ὡς ἐκ πηγῶν ῥέουσα καὶ προσφέρουσα
τοῖς οἰκείοις διέλαμπεν. ἐν οἷς καὶ πραγματεί-
αις τραπεζίτων ἀπόσαι γυναὶ τῆς πόλεως καὶ τ
περίξ αὐτὴ τετειχισμένη γύρου. καὶ πλῆθος εἶναι ἰχθύ-
ων πρὸς τούτοις ἀπὸ τοῦ ποταμοῦ ὡς ἀπὸ προσώ-
που τῆς θαλάττης κυμάτων δίκην προσφέρουσα
παρεῖχεν. οὐκ ὀλίγην δὲ καὶ ὁ ποταμὸς τοῦ τεί-
χους ἐγινώσκετο οὐκ ἔχων βοήθειαν. καὶ αὐτὸς
γὰρ τῷ πλάτει τῆς πόλεως τῷ ἰδίῳ πλάτει ὥσ-
περ νῆσον τῷ ὕδατι αὐτὴν περιεκύκλου.

T οῦτον οὖν τὸν τόπον ὁ θεοῦ δοῦλος προοδεύσας. καὶ
τῷ



τῷ στερεῷ τῆς πίστεως ὁπλισάμενος θεῷ τῷ παν-
τοδυνάμῳ πανταχοῦ βοηθοῦντι καὶ συνοδεύοντι
αὐτῷ ἐκκλησίαν ἐκεῖσε κατὰ τὴν δύναμιν αὐτοῦ
καθ' ὅτι νέος ἀκμὴν προσήλυτος ὑπῆρχεν τῷ κυρίῳ
ἡμῶν ἰησοῦ χριστῷ εἰς τιμὴν ἀνέστησεν. καὶ λαὸν νέ-
ον ἐν τῇ ἀληθείᾳ τοῦ εὐαγγελίου δεδιδαγμένον τῷ ἁ-
γίῳ αὖθις ἐκεῖ βαπτίσματι κατεφώτισεν. ἐν ὅσῳ
δὲ ὁ μακάριος ἀνὴρ ἡμέρας καὶ νυκτὸς διδασκαλι-
καῖς συνεστήσατο εὐσεβείαις τὴν πληθὺν καὶ τοῦ χρι-
στοῦ ὁ λαὸς ἐκ τοῦ ἀρχαίου ἐχθροῦ τοῦ φάρυγγος
ἐλυτρώθη. οὓς κατέσυρεν τὸ πρὶν ὁ βελίαρ τούτοις
ἀξίως παραπέμψαι εἰς τοὺς οὐρανοὺς διὰ τῆς πί-
στεως ὁ ἅγιος ἐσπούδαζεν. φήμη δὲ τῆς ἁγιωσύνης αὐ-
τοῦ εἰς μῆκος καὶ πλάτος αὖθις ἐξεχύθη. ὥστε οὐκ
ὀλίγη τῶν πιστῶν τοῦ λαοῦ ἄθρυσις ἄξιον αὐτὸν ἐ-
δόξαζεν ἐπίσκοπον ἔχειν.

O ὕτως οὖν μετὰ ταῦτα τοῦ ἱερατικοῦ βαθμοῦ ταῖς
θείαις ὑπουργίαις διαδότης καὶ ἁγιάζων. δεδοκι-
μασμένα πρόσωπα ὡς ἀξίους γενομένους ἑαυτῷ
εἰς βαθμὸν ἀνῆκεν. ἀλλ' ὁ κύριος ἡμῶν ἰησοῦς χριστὸς
ὁ τῷ μακαριωτάτῳ ἀνδρὶ διονυσίῳ μὴ συγχωρῶν
ἐπὶ τὴν φήμην κρύπτεσθαι ὡς τεθέντι λύχνῳ σὺν λυ-
χνίαν ἐν ταῖς τῶν ἀπίστων διανοίαις τὸ φῶς αὐτοῦ
ἀκτινοειδῶς παρέθετο. καὶ τοσαύτας δι' αὐτοῦ κα-
τηξίωσεν γενέσθαι καὶ δυνάμεις ὅτι τῶν πολεμίων
ἐθνῶν τὰς καρδίας οὐκ ἔλαττον τῶν εὐαγγελιζο-
μένων ἀπέδειξε. ὥστε ἐξ αὐτῶν τῶν δυνάμεων καὶ

θαυμασίων αὐτοῦ καθ' ἡμέραν ἐνδυναμοῦσθαι καὶ
προστίθεσθαι δίκην τοῦ καιροῦ ὅτι ταῦτα ἐξ ὑπαρ-
χῆς ἐγένοντο.

Τοῦ ἁγίου δὲ ἀνδρὸς ὡς φωνῆ βοῶντος εἰς μῆκος καὶ
πλάτος ἐκχυθείσης τῆς φήμης τοῦ ὀνόματος ἐπὶ
τοσοῦτον διαλάμψαι τὸ πῶς καὶ δομετιανὸν τὸν
τότε τὸν δεύτερον τῶν χριστιανῶν διωγμὸν ποιήσαν-
τα μετὰ νέρωνα κελεῦσαι ἐλθεῖν πρὸς αὐτὸν εἰς τὴν
αὐλὴν αὐτοῦ. ὅστις εἰς τοσαύτην λύσσαν ἀναξιότη-
τος ἐξήφθη καὶ παρήχθη ὥστε προστάξαι ἵνα ὅπου
δ' ἂν χριστιανόν τινα εὕροιεν αὐτὸς ἢ αὐτοῦ, ἢ θῦσαι
μεμαμμένοις πείσειεν, ἢ ποικίλαις βασάνοις
περιπεσόντα θανάτῳ μαχαίρας παραδοθῆναι. τού-
τοις δὲ τοῖς νόμοις ὑποτάξας ἑαυτῷ γένη κεκλημέ-
να. μέγας τοῖς τοῦ Χριστοῦ δούλοις ἐγένετο διωγμὸς
ἐν τοῖς ἐκεῖσε περιτρέχων. οὐδεμιᾶς τοῖς διὰ Χρι-
στὸν ἀγωνιζομένοις ἐνεστώσης ζωῆς συγχωρουμέ-
νης διὰ πάσης. οὐδεμία γὰρ τῶν ἁγίων μαρτύρων
ὑπῆρχεν παραίτησις ἐλευθερίας. ἀλλὰ καὶ πάντες
οἱ αὐτοῦ τὴν ἀσέβειαν φυλάττοντες τοῦ δόγμα-
τος ὅπερ προστεταγμένον αὐτοῖς ὑπὸ τοῦ καίσα-
ρος εἴη. ὑπερβῆναι διὰ παντὸς οὐκ ἀπετόλμων. ἀλλ'
ἔτι καὶ ἀπλέκτων ἀθροισμάτων μετὰ μεγάλης βοῆς καὶ
ἀπηνίας τοῖς μέρεσιν ἀπέστειλεν πάσης τῆς δύ-
σεως ὅπως τὸν ἅγιον ἄνδρα τοῦτον διονύσιον ἀνα-
ζητοῦντες εὕροιεν εἰ δυνηθῶσιν. ἵνα ἢ τὰ προσταγ-
ματα τοῦ ἐξουσιάζοντος ἐκπληρῶσαι πείσωσιν. ἢ



τιμωρίαις μὴ βουλόμενον παραιτεῖσθαι ἀμέτρη-
τοις, ἢ τὴν κεφαλὴν ἀποτμηθῆναι.

Μετὰ δὲ ταῦτα τὰ προστάγματα τοῦ ἄρχοντος ὁ ὄ-
χλος προσδέξασθαι τῆς γαλλικῆς συναπήχθη
τοὺς τυράννους τοῦ διελθεῖν ἐν τοῖς συνορίοις αὐτῶν.
καὶ παρευθὺ τοῦ μακαρίου ἐκείνου ἀνδρὸς τὸ ἐπά-
ξιον ὄνομα ἐνεφανίσθη αὐτοῖς. οὕτως οὖν ὡς αὐ-
τοῖς ἐγένετο προστεταγμένον. ταχίστῳ δρόμῳ
προθύμῳ καρδίᾳ καὶ ἠλλοιωμένῳ προσώπῳ εἰς
παρήσαν εἰσελθόντες ἐκεῖσε τὸν ἅγιον ἄνδρα του-
τονὶ διονύσιον εὗρον κατὰ τῶν ἀπίστων πολεμοῦν-
τα καὶ διδάγμασιν καθ' ἑκάστην πλήθη λαῶν εἰς
τὴν πίστιν τοῦ Χριστοῦ προσκαλούμενον. μετ' αὐτοῦ
δὲ καὶ τὸν μακάριον ἄνδρα ῥούστικον τὸν πρεσβύ-
τερον καὶ ἐλευθέριον τὸν διάκονον οὓς αὐτὸς ὁ μα-
κάριος ἀνὴρ εἰς τοὺς ἰδίους βαθμοὺς καθιέρωσεν.
τοῖς οὖν διδάγμασιν αὐτοῦ κοινωνοὺς καὶ μαθη-
τὰς ὄντας τῶν διωκτῶν ἡ σκληρότης καὶ ἡ ἀσέβεια
κατέλαβεν ἅμα. οὔτι γὰρ οἱ ἅγιοι ἄνδρες ἀπὸ τοῦ
μακαρίου διονυσίου ἀχώριστοι ὑπῆρχον οὓς καὶ ἡ
θεία εὐσέβεια προεγίνωσκεν ὑπάρχειν συγκλη-
ρονόμοις. ἔχαιρεν οὖν ὁ ἀγαθὸς πατὴρ ἐν τοῖς δυσὶ
προκόπτουσιν υἱοῖς ὅτι ἄξιοι ἦσαν υἱοὶ τοῦ πατρὸς
τὸ φορτίον ἐν ἐνδύματι τοῖς ἁγίοις ἐλαφρὸν βα-
στάσαι. ἵνα τὸ βάρος τῆς σαρκὸς ἀποθέμενοι. ἐν
καθαρῷ δυνηθῶσιν αἴρεσθαι. οἷς καὶ φωστῆ-
σιῶν.

Θαυμάζω δὲ πῶς ἀόπλοις ἀνδράσιν οὐκ ἠδύνατο πλῆθος ἐνόπλιος ἀντιστῆναι· τότε οὖν ὁ ἀρχέκακος ἐχθρὸς θεωρῶν τὴν ἑαυτοῦ δύναμιν ἀπολλυμένην καὶ τὴν τοῦ κυρίου φυλαττομένην καὶ νικῶσαν· καὶ καθ᾽ ἑκάστην τοῦ λαοῦ προβαίνουσαν πίστιν, πάσῃ τῇ τέχνῃ αὐτοῦ εἰς ἔχθραν πολεμικὴν ἥτις ἦν καθωπλισμένη κατ᾽ αὐτῶν ἐπέστρεψεν· καὶ αὐτοὺς τοὺς εἰς ἕνα καὶ ἀληθινὸν κύριον πιστεύοντας καὶ τῷ ἁγίῳ βαπτίσματι ἤδη πεπληρωμένους τῆς τούτου διδασκαλίας ἑαυτῷ πιστεῦσαι διὰ πολλῶν βασάνων ἐξομολογουμένοις ἔσπευδε πεῖσαι· ἀλλ᾽ οἱ ἅγιοι ἄνδρες ὁμολογηταὶ καὶ μάρτυρες τὴν αὐτοῦ καὶ τῶν ἀσεβῶν λύσσαν τῇ ἁγίᾳ διδασκαλίᾳ αὐτῶν καὶ ταῖς μεγάλαις δυνάμεσιν διαλύοντες ἐπεστήριζον τοὺς μαθητὰς συναντῶντες τοῖς ἀνόμοις· οὐδενὶ φόβῳ τῶν ἀσεβῶν προσέχοντες τὴν τοῦ χριστοῦ ἐκκλησίαν καθ᾽ ἡμέραν αὐξάνουσαν ἐπροίκιζεν· καὶ ὅτε ἡ ἐκκλησία ὑπὸ τῶν ἰδίων διδασκάλων τῷ λόγῳ ἐγένετο τεθεμελιωμένη ἱκανῶς· ἣ καὶ τὰ μάλιστα συνεταράχθη καὶ ὡς καταιγίδι, συνεχέθη τῶν διωκτῶν τότε αὐξανομένων τῇ τυραννίδι· τότε καὶ αὐτὴ μάλιστα γερμανία ἡ μεγάλη χώρα θηριώδους σκληρότητος καὶ ἀσεβείας μετέχουσα ὑποτεταγμένῃ καρδίᾳ καὶ κατανενυγμένῃ· τὸ τράχηλον ἑαυτῆς τῷ τοῦ χριστοῦ ζυγῷ ὑποθεῖσα τα καὶ διδαμασμένη· ἔχαιρεν τῇ τῶν διδασκάλων στερεωθεῖσα πίστει· καὶ αὖθις κατέρριπτον τὰ εἴδωλα αὐτῶν τὰ



ἐκ τῆς αὐτῶν ἐξόδου ᾠκοδομημένα· καὶ λιμένα σωτηρίας εὑρόντες τὰ εἰδώλων ἔχαιρον ἀπολέσθαι τὰ ναυάγια. Ἐθρήνει οὖν τότε ἡ μερὶς κινηθεῖσα τοῦ διαβόλου ὅτι ἡ νικητικὴ ἐκκλησία πιστῶν λεγεώνων ἐξενίκησεν καὶ ὅτε ταῦτα ἐγένοντο θυμῷ ἀσεβείας οἱ ὑπηρέται τῇ σκληρότητι ἐξαφθέντες ἕνα ἐκ τούτων τὸν ἅγιον ἄνδρα διονύσιον μετὰ μεγάλης καρδίας καὶ πίστεως κατατολμήσαντα αὐτὸν ἰδόντες προσελθόντες εἶπον. οὐκ εἶ σὺ ὁ ἀνώνυμος γέρων ὁ τῶν θεῶν ἡμῶν τὸ σέβας κενώσας καὶ τοῖς ἀνικήτοις ἄρχουσιν ἀντιπείθων καὶ τὰ δόγματα αὐτῶν ἀποβαλλόμενος, ἃ ποτὲ νῦν τινος ἑαυτὸν λέγεις τὸν λάτριν· ἢ ποίαν ἐξομολόγησιν τῆς ἑαυτοῦ ἐξουσίας προγράφεις· τότε λοιπὸν οὗτοι οἱ τρισμακάριοι ἄνδρες διονύσιος ῥούστικος καὶ ἐλευθέριος τῶν τριῶν παίδων τῶν ἐν καμίνῳ τοῦ πυρὸς περιπατούντων τῷ πνεύματι ἐμπεπιστωμένοι καὶ τοῖς χαρίσμασιν ὡς ἐξ ἑνὸς στόματος τοιαύτην τῶν ἐρωτώντων ἔδωκαν ἀπόκρισιν. ἡ δούλωσις ἡμῶν· χριστιανῶν νόμῳ γινώσκεται δεδουλωμένη· ὅντινα οὖν ἐξομολογούμεθα φανερῶς τοῖς ὠσὶν ὑμῶν ἐνηχοῦμεν· ἐξομολογούμεθα γὰρ καὶ κηρύσσομεν καθὼς καὶ πιστεύομεν πατέρα καὶ ἰησοῦν καὶ πνεῦμα ἅγιον· πατέρα ἀγέννητον· ἰησοῦν ἐκ μόνου πατρὸς γεννηθέντα· καὶ πνεῦμα ἅγιον ἐκ πατρὸς ἐκπορευόμενον·

Πρὸς ταῦτα οἱ ἀσεβεῖς διῶκται καὶ τύραννοι τοὺς μακαρίους ἐπηρώτων ἁγίους τοιαῦτα ἀποφθεγγό

μενοι. καὶ λοιπὸν τῶν ἀρχόντων ἡμῶν ἐξ ὑμῶν κα-
ταφρονεῖται ἡ κέλευσις παραβλέπεσθαι. καὶ οὐχ
ἡ ὑμετέρα ἐξομολόγησις τῶν ἀνικήτων θεῶν τῇ ἐξ-
ουσίᾳ ὑπόκειται. οἱ δὲ ἅγιοι ὡς ἀνωτέρω εἴρηται ἐν
μιᾷ ψυχῇ ἀποκριθέντες εἶπον· ὡς προέφημεν χρι-
στὸν θεοῦ Ἰησοῦν γεννηθέντα ἐκ Μαρίας παρθένου
παντὶ τῷ λαῷ ἀληθῶς προαναγγέλλοντες καὶ κη-
ρύσσοντες κατατολμῶντες καὶ πιστεύομεν καὶ ἐξο-
μολογούμεθα. καὶ στόματι οὐ καταπαυόμεθα ὑμνοῦν-
τες. ἐν ταύτῃ τῶν ἁγίων ἀνδρῶν πίστει καὶ ἀποστο-
λῇ ἐνδυναμωθέντες διαμένωμεν. οἱ δὲ ἀσεβεῖς διῶ-
κται καὶ τύραννοι μικρὰν ἄνεσιν δώσαντες τῶν μα-
καρίων τραχήλων· διὰ τὴν πίστιν τοῦ χριστοῦ ἐτον-
μαθέντων· ξίφει ἀποκόψαι τὰς κεφαλάς. ἀπο-
διδόντες τῇ γῇ τὰ σώματα. τῶν μακαρίων ψυχῶν
τῷ οὐρανῷ ἀποδοθεισῶν. φανερωθείσης δὲ τῆς ἁγί-
ας ἀγαθότητος τοῖς μάρτυσιν ὧν δέδεται ἡ νίκη
μετὰ τοῦ σώματος ἀποτμηθεῖσα ἡ κεφαλὴ τοῦ δι-
δασκάλου. ἐβλέπετο ἐκείνοις τοῖς δυναμένοις
πίστει ὁρᾶν καὶ γλώσσῃ κυρίῳ ὁμολογεῖν ὡς ζῶσα
καὶ προβαίνουσα.

Ω ἀληθῶς μακαρία πληθὺς καὶ τῷ κυρίῳ ἡμῶν ἐν τῇ
χάριτι ἀναμεμιγμένη. ὢ ἁγία καὶ ἐπαινετὴ ἀδελ-
φότης. ἐν οἷς οὔτε πρῶτος δεύτερος δύναται γενέ-
σθαι οὔτε τρίτος· ἀλλὰ τῆς ἁγίας τριάδος τὴν δό-
ξαν ἐξομολογούμενοι ὡς ἀπὸ σημείου ἑνὸς τῆς πό-
λεως εἰς μικρὸν βουνὸν ἄξιοι γεγόνασι μαρτυρίου



διὰ τῆς ἁγίας τριάδος ἁγιασθέντες.

Ε κεῖνται οὖν εἰς τὴν κορυφὴν τοῦ βουνοῦ ἀποτμηθέν-
τα σώματα ἀτίμητα πεπληρωμένα τῷ μαρτυρίῳ
τοῦ χριστοῦ καθὼς προελάλησαν οἱ προφῆται περὶ
τῶν μελλόντων. ὅτι τίμιος ἐναντίον κυρίου ὁ θάνα-
τος τῶν ὁσίων αὐτοῦ. ἔπειτα οὖν φανερωθείσης τῶν μαρ-
τύρων καὶ ἱερέων τῆς ἀξίας καὶ τῆς ἐνδοξότητος
διὰ τὴν σωτηριοφόρον τοῦ διδασκάλου ἐπαρθῆσα-
σαν πίστιν, ἤρξατο ὁ καρπὸς ἀνατεῖλαι καὶ ἐκείνῳ
πλέον δόξαν γενέσθαι διὰ τοῦ μαρτυρίου ἑαυτοῦ
τὴν νίκην τῶν συνόντων.

Τ οῦ μακαρίου δὲ Διονυσίου καὶ ἀρχιερέως τιμῶντες
τὸ μαρτύριον. τὸ ἅγιον αὐτοῦ ἀνδρὸς ψυχῆς σῶμα
πιστεύομεν ἐγηγέρθαι. καὶ γὰρ τῇ μακαρίᾳ χειρὶ
ἑαυτοῦ τὴν κεφαλὴν ἀπὸ τοῦ σώματος ὑπὸ τῶν ἀνό-
μων τῷ ξίφει ἀποτμηθεῖσαν ἔλαβεν καὶ κρεμα-
μένην τῷ βραχίονι ἐνηγκαλίσατο καὶ ἀπὸ τῆς τοῦ
βουνοῦ κορυφῆς δύο μίλια πλήρης ἐνισχύι τοῖς πο-
σὶν ἐβάστασεν. νέον καὶ ἀρχαῖον καὶ τοῖς μετέπει-
τα ἐξάκουστον θαῦμα ἀνδρὸς ψυχῆς καὶ κεφαλῆς σῶ-
μα ὡς ζῶν τρέχειν κατὰ τὸ ἔθος. καὶ ἄλλον ἤδη τε-
θνηκότα ἰσχυροῖς προβαίνειν ἴχνεσιν. τῶν μακαρίων
οὖν πάλιν ῥουστίκου καὶ ἐλευθερίου φοβηθέντες οἱ ἀ-
σεβεῖς μήπως συνελθόντες λαοὶ πίστει δεδοκιμα-
σμένοι εὐχῇ τὰ σώματα αὐτῶν ἑαυτοῖς εἰς ἀντίληψιν
ἐν σωροῖς καταθήσονται. γενομένης βουλῆς. εἰς ἄκα-
τον ἐν τῇ ἀβύσσῳ σιωπηδὸν τοῦ ὕδατος ἀπολῦσαι.

ἀλλὰ θεὸς ὁ παντοδύναμος ἀγαθὸς δίκαιος καὶ ἐλεήμων ὁ τὸ ἔλεος αὐτοῦ ἀπὸ τοῦ αἰῶνος γένοις οὐδέποτε παρίδων· ὁ τὸν φαραὼ τὴν βουλὴν τῇ ἐρυθρᾷ θαλάσσῃ καταβυθίσας καὶ τοῦ ἀχιτόφελ ἐν χονί χοινίου τὸν τράχηλον ἀποκόψας· αὐτὸς καὶ τὴν ἀσύστατον τούτων βουλὴν τῷ ἐλέει αὐτοῦ κατέβαλεν ἵνα τὰ λαμπρὰ δύο φωστήρια μὴ τῷ βυθῷ τῶν κυμάτων καταχαλυφθῶσιν· ἀλλὰ τοῦ χριστοῦ ἡ ἐκκλησία δυνατοὺς ἔχει ἀεὶ πολεμιστάς.

Εν τούτοις γυνὴ ἔντιμος κατοῦλα ὀνόματι ἥτις ἐθνικοῖς φόβοις ἀκμὴν κρατουμένη ὑπῆρχεν· ἐπιστρέψασα τότε εἰς τὴν πίστιν τοῦ χριστοῦ διὰ τῶν θαυμάτων τῶν μαρτύρων ἑαυτὴν εἰς ἐπιθυμίαν ἐξέδωκεν. καὶ τῇ γνώμῃ ἔδειξεν καὶ τοῖς ἔργοις τοῦ πόθου τὴν δύναμιν· καὶ ἐλέει θεοῦ καταυγεῖσα ἐπελθούσης αὐτῇ ἄνωθεν δυνάμεως· συμβόλιον ἔλαβεν. καὶ δὴ εἰς συμπόσιον ἱκέτευσεν ἐλθεῖν τοὺς διώκτας· καὶ ὅτε αὐτοῖς πολλὰ δῶρα προσήνεγκεν. ἀπεκάλυψε τὴν μνήμην τῆς κακοβουλίας αὐτῶν ἐξήνεγκεν κατὰ τῶν μαρτύρων· τοῖς δὲ πιστοῖς τὰ ἀπόκρυφα τῆς καρδίας αὐτῆς φανερώσασα· προσέταξεν ἵνα συλλήσωσιν κρυπτῶς τὰ ἔντιμα σώματα τῶν μαρτύρων εἰς ἓν τῶν μερῶν τῆς πόλεως ἐν τῇ πέτρᾳ τῇ εἰς μακρὸν κειμένῃ πεδίον τὸ ἑτοιμασθὲν εἰς σορὰν ἐπὶ τοῦ μέλλοντος καταχώσαντες ἀποκρύψωσιν· οἵτινες τὰ κελευσθέντα πληρώσαντες· σπουδέως τὸ αὐτοῖς προσταχθὲν ἐπετέλεσαν.



Ω κλεψοσύνη ἐπαινετὴ ἥτις οὐ προσήγαγεν ζημίαν ἀλλὰ μᾶλλον ἐπωφελὲς κέρδος· εἶτα ὡς ἔθος ἐστὶ τοῖς παροῦσιν τὴν χώραν, αὐτοῦ πώλοις ἐκδέχεσθαι τοῦ ἐνεγκεῖν τὸν καρπόν· οὕτω τῶν μακαρίων μαρτύρων ἐστὶν ἡ χώρα ἐκείνη πεπληρωμένη προικὸς καὶ χάριτος εὐθυνουμένη· ὅπως ἑκατονταπλασίονα καρπὸν οἱ πιστεύοντες γεωργοὶ ἀμήσωνται· ἀξιούμενοι σωτηρίας καὶ μέγα θησαυρὸν τοῖς μετέπειτα καταλείψωσιν ἁγιωσύνης.

Η προρηθεῖσα δὲ κοσμιωτάτη μὴ ἐπιλαθομένη τῶν μαρτύρων τὸν ἁγιασμὸν ὡς ἤδη τῶν τυράννων ἰδία καταπαύσασαν τὴν φλεγμωσύνην τὸ προνάθετον ὀφείλοντα φυλάττειν τῶν ἁγίων μαρτύρων τὰ ὀστᾶ πάσῃ ἐπιμελείᾳ κατεξήτησεν· καὶ εὑροῦσα μέγα τροῦλον· οἰκοδομὴν ἐσφράγισεν· ἣν θαυμασιωτάτην καὶ μητροφαμήλιον γυναῖκα οὐ χωρὶς ἀξίας πιστευόμεθα· αὐτὴν δὲ φόβου τῶν ἁγίων μαρτύρων τούτων ὁμοιωθῆναι· ὅτι εἰ μὴ καὶ αὐτὴν ὁ λυτρωτὴς πάντων εἰς πίστιν τοῦ ἰδίου ὀνόματος ἐλθεῖν ἠξίωσεν· οὐδέποτε ἡ καρδία αὐτῆς συμβουλίαν τοιαύτην ἐξήνεγκεν· ἀλλ' ἐκ τούτου χωρὶς πάσης αὐτολογίας πιστευόμεν· ὅτι τῶν μακαρίων μαρτύρων τὰ ὀστᾶ διεφύλαξεν δι' ἀγαθῆς βουλῆς ὡς ἀξία αὐτοῦ γινομένη· καὶ ταῖς ἱκεσίαις αὐτῶν ἐν τῇ πίστει προκόψασα ἐν ἀληθείᾳ.

Τῶν χριστιανῶν δὲ ἡ πληθύς· ὡς πόλις οὖσα διὰ τῆς τῶν μακαρίων μαρτύρων διδασκαλίας ἐπιστρέ-

ψασα παντὶ μόχθῳ καὶ καμάτῳ καθὼς ἠδύναιτο
μετὰ πάσης προσευχῆς καὶ μεγάλης ἐπιθυμίας ἐ-
παίνῳ τῶν μακαρίων σωμάτων τῶν ἁγίων μαρτύρων
ἐκκλησίαν οἰκοδομήσασα καὶ ἐν τῇ ἁγίᾳ δόξῃ τῆς
ἁγίας τριάδος τρίτον ἀριθμὸν ἀξίως μετὰ ἀρωμάτων
κατέθεντο τὰ ἄξια σώματα θεῷ τῷ παντοδυνάμῳ
βοηθοῦντι ἐν ἀγαθοῖς καθ' ἡμέραν δυνάμεσι καὶ ση-
μείοις διαλάμπουσιν. οἷος οὖν λόγος ἢ ποία γλῶσ-
σα τοσοῦτον ἐπαρκέσαι διηγήσασθαι τὰς δυνάμεις
ὁπόταν οὐδὲ αὐτοὶ δύνανται ἀνθρωπίνῳ λογισμῷ
κατανοῆσαι τὰ ἑαυτῶν. ἀσθενοῦσι γὰρ σωτηρίαν. χω-
λοῖς. τὸ περιπατεῖν. τυφλοῖς. φῶς. κωφοῖς. τὸ
ἀκούειν. καὶ ἀλάλοις διδόντες λόγον. καὶ ἀκάθαρ-
τα πνεύματα παρεδρεύοντα τοῖς σώμασιν ἐκδιώ-
κοντες ἀπαύστως παρέχουσι τὰς ἰάσεις. καὶ ἀγα-
θῇ εὐχῇ καὶ μακαρίᾳ ὑπακοῇ πειθόμενοι ἡμεῖς
εἰ καὶ τὰ μάλιστα οἱ ἀνάξιοι ταῖς αὐτῶν πιστεύομεν
προσευχαῖς βοηθούμενοι σώζεσθαι ἢ καὶ ἐξιστάμε-
νοι ὡς ἀνάξιοι τὰς αὐτῶν ὑμῖν ἀξίας παραστῆσαι
πειρώμεθα. οὐχὶ γὰρ ἐκ τῶν ἡμετέρων τρόπων κε-
κτήμεθα; ἢ οἰκείᾳ προγνώσει. ἀλλ' ἐκ παλαιᾶς διη-
γήσεως ὑμῖν ἐξηνύχη. καὶ ὃ ἐκ μέρους ἐκ παγίου ἀρ-
χαίου ὀλίγα καθὰ ἠδυνήθημεν καὶ ἀπὸ μακρῶν
χρόνων ἀκηκόαμεν ἐν συγγραφῇ παρεδώκαμεν.
οὐκ αὐτομολήσαντες περὶ τὴν ἐξήγησιν ὡς εἴρηται.
ἀλλ' ὡς τῶν μεγάλων ἐγνωσμένων διηγήματα διδασκά-
λων φοβούμενοι τὸν θεὸν καὶ τῇ μερίμνῃ τῆς ἀγά-



πης ἀναπλώμενοι πολλὰ τῶν μακαρίων ἀνδρῶν
φωτεινὰ θαύματα ἠγωνισάμεθα εἰς ἔπαινον χρι-
στοῦ. καὶ δόξαν τῶν μαρτύρων καὶ ἀνάμνησιν ἐνέ-
χάτοις ἱεροῖς παραδοῦναι χάρταις. ἵνα μὴ ὑπο-
βλέψαντες καὶ ἀμελήσαντες καὶ τῷ ἀρχεκάκῳ γρη-
γοροῦντι καθ' ἡμῶν ἐχθρῷ καὶ φθονοῦντι πειθόμενοι.
σιγήσαντες ὁμοίως τοῖς λέγουσιν. ὅτι φλογὶ καυ-
στικῇ κατακεκαυμένα ἐστὶ τὰ συγγράμματα αὐ-
τῶν ἀποτύχωμεν τῆς χάριτος αὐτῶν.

Τῶν δὲ ἡμετέρων ἐννοιῶν γρηγορούντων τῇ αὐτῶν χά-
ριτι καὶ χωρούντων ἐξ ὀλίγων τῶν συγγεγραμμέ-
νων δύνανται τὰ νοηθέντα καὶ ῥηθέντα εἶναι μεγάλα.

Ταῦτα δὲ χωρὶς φόβου πιστεύομεν πολλοὺς αὐτοὺς
καὶ ἑτέροις διὰ χριστὸν ὑπομεμενηκέναι ἀγῶνας. ὅ-
τι καὶ ἕως τοῦ νῦν τοσαῦτα δι' αὐτῶν ἡ θεία δύναμις
καταξιοῖ φανερωθῆναι θαυμάσια. ὥστε ἐξίστασθαι
πάντας τοὺς οἰκοῦντας καὶ παρατυγχάνοντας.

Ἔπαθον οὖν οἱ μακάριοι μάρτυρες τοῦ χριστοῦ διονύσιος.
ῥούστικος καὶ ἐλευθέριος ἑβδόμῃ καλανδῶν ὀκτω-
βρίου ἐπὶ δομετιανοῦ βασιλέως ἐν τοῖς μέρεσι τῆς
γαλλίας καὶ παρησίας πόλεως. βασιλεύον-
τος τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ἅ-
μα τοῦ πατρὸς καὶ τοῦ ἁγίου
πνεύματος νῦν καὶ ἀεὶ
καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων
ἀμήν.

I mpreſſum eſt hoc aureum Dionyſii opus, in
Aedibus Philippi iuntæ bibliopolæ, anno
ſalutifere incarnationis. M.D.XVI. Die
xxix. Iulii. Pontificatus Leonis decimi, an/
no Quarto.

a b c d e f g h i k l m n o p q r ſ
t u x y z &. Quaterniones omnes.
præter b qui eſt duernio.

